GEORGII MONACHI

CHRONICON

EDIDIT

CAROLVS DE BOOR

EDITIONEM ANNI MCMIV
CORRECTIOREM CVRAVIT

PETER WIRTH

VOLVMEN II

TEXTVM GENVINVM INDE A VESPASIANI IMPERIO
CONTINENS



STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI MCMLXXVIII

Editio stereotypa editionis anni MCMIV correctior

CIP-Kurztitelaufnahme der Deutschen Bibliothek

Georgius ⟨Hamartolus⟩ :
[Chronicon]
Georgii Monachi chronicon / ed. Carolvs de Boor.
– Ed. stereotypa ed. anni 1904 / corr. cur.
Peter Wirth. – Stutgardiae [Stuttgart] : Teubner.
Vol. 2. Textum genuinum inde a Vespasiani
imperio continens. – 1978.
(Bibliotheca scriptorum Graecorum et Romanorum
Teubneriana)
ISBN 3-519-01393-2

Printed in Germany
Druck: Allgäuer Zeitungsverlag GmbH, Kempten/Allgäu
Binderei: F. Wochner KG, Horb/N.

[ι'. Περὶ Οὐεσπασιανοῦ.]

Μετὰ δὲ Οὐιτέλιον ἐβασίλευσεν Οὐεσπασιανός, υἱὸς Νέ- 285 M.
ρωνος, ἔτη θ'. ὃς ἐν τῇ Ἰουδαίᾳ στεφθεὶς ἄκων ὑπὸ τοῦ
στρατοῦ καὶ εἰς Ῥώμην ἐπανελθὼν ἐνεχείρισε τὸν ἐν τῇ
Ἰουδαίᾳ πόλεμον τῷ υἱῷ αὐτοῦ Τίτῳ. ὁ δὲ πύργους κατα- 5
σκευάσας ἀνὰ πηχῶν ν' τὸ ὕψος ἔχοντας καὶ πολλὰς καὶ
διαφόρους ἑλεπόλεις παραστήσας καὶ διχόθεν τύπτεσθαι τὸ
τεῖχος προστάξας τοὺς Ἰουδαίους ἐκ τοῦ πρώτου τείχους τοῖς
λιθοβόλοις καὶ τοῖς λοιποῖς ἐξήλασε μηχανήμασιν. καὶ πρὸς
τὸ δεύτερον τεῖχος καταφυγόντες κἀκεῖθεν πάλιν ὁμοίως 10
ἀπελασθέντες μέχρι τοῦ τρίτου τείχους ἐπολέμουν ἰσχυρῶς
ἐκεῖθεν. καὶ γενομένης καρτερᾶς τῆς μάχης ἔπιπτεν ἐξ ἑκα-
τέρας παρατάξεως πλῆθος ἄπειρον. οἱ δὲ πονηρότεροι τῶν
Ἰουδαίων, οἱ καὶ στασιασταὶ κληθέντες, δεινῶς τὴν πόλιν
ἅπασαν κατέτρυχον. εἴ που γὰρ κεκλεισμένην θύραν εἶδον, 15
ταύτην συντρίψαντες εἰσεπήδων καὶ ἐκ τῶν φαρύγγων τὸν
ψωμὸν ἀναθλίβοντες ἥρπαζον. καὶ γέροντας μὲν ἐβασάνιζον 286 M.
ἀντεχομένους τροφῆς, γυναῖκας δὲ ἀπὸ τῆς κόμης ἐσπάρατ-

3—5 *cf.* Eus. hist. eccl. III, 5. — 13—*p.* 384, 4 *cf.* Eus. Hist. eccl. III, 6, 6 *ex* Jos. Bell. V, 431 *sqq.*

2 οὐιτέλειον B ἰουτέλιον AC ἰουστέλειον M. — οὐεσπεσιανός ER. — υἱὸς νέρωνος *eras. in* A *om.* V. — 6 καὶ *ante* διαφόρους *om.* FN. — 7 καὶ *om.* N. — 11 ἀπελασθέντες ACN ἀπελαθέντες FLRV ἀπελθόντες B ἐξελασθέντες E. — 12 ἐκεῖθεν. γενομ. δὲ καρτ. CF. — τῆς *om.* FRV. — 12. 13 ἑκατ. τῆς παρατάξεως N. — 16 εἰσεπήδουν (εἰσεπιδ. AM) codd. *praeter* BV. *In* D *m. 2 in mg.* δων *adscr.* — φαρύγων DV *corr. in* D *nesc. q. m.*

τον καὶ τὰ νήπια ἐπὶ τῆς γῆς ἔρασσον, ὀρόβοις δὲ τοὺς πόρους τῶν αἰδοίων αὐτῶν ἐμφράττοντες καὶ ῥάβδοις ὀξείαις τὰς ἕδρας τῶν ἀθλίων διαπερῶντες ἠνάγκαζον πρὸς τὸ δράκα μίαν ἀλφίτου καταμηνῦσαι κεκρυμμένην. οὕτω δεινὸς πάν-
5 *των κατεκράτει λιμός, ὥστε οἱ μὲν ἀκατέργαστον ἤσθιον τὸν σῖτον, οἱ δὲ ζύμην ἐπιφλέγοντες ὀλίγον τῷ πυρὶ θᾶττον ἀνήρπαζον. οἱ δὲ ἀπορώτεροι χόρτου σπαράγματα διεμασσῶντο. αἱ δὲ μητέρες ἐν χερσὶ μαραινομένων αὐτῶν τῶν βρεφῶν παρελογίζοντο αὐτὰ διὰ τὴν ὑπερβάλλουσαν βίαν τε*
10 *καὶ ἀνάγκην. γέροντες δὲ καὶ νέοι καὶ νήπια ὥσπερ εἴδωλα παρερχόμενοι καὶ λιμῷ τηκόμενοι καὶ καταπίπτοντες, τοὺς μὲν καταπατοῦντες οἱ στασιασταὶ ἐφόνευον, τοὺς δὲ ἔτι ἐμπνέοντας καὶ ἐρριμμένους διὰ ξίφους ἀπέκτενον. ὁ δὲ Τῖτος περὶ τὰς φάραγγας τοὺς Ἰουδαίους ἀγρίαν πόαν εἰς τροφὴν*
15 *ἀναλέγοντας συλλαβόμενος τοὺς μὲν πλησίον τοῦ τείχους ἐκρέμασεν, τοὺς δὲ χειροκοπήσας εἰς τὴν πόλιν ἀπέστειλε καταπλῆξαι τοὺς στασιαστὰς βουλόμενος. πᾶσα δὲ οἰκία ἐκ τῆς ἐνδείας νεκρῶν πληρουμένη καὶ ἀπόζουσα, λοιμὸς τῇ πόλει χαλεπὸς ἐνέσκηψεν. ὅθεν οἱ στασιασταὶ τὴν δυσωδίαν*
20 *μὴ φέροντες ἔρριπτον ἀπὸ τοῦ τείχους αὐτοὺς ἐπὶ τὰς φάραγγας ἔτι πολλοὺς αὐτῶν ἐμπνέοντας. οἱ τοίνυν στασιασταὶ ὑπὸ λιμοῦ πιεζόμενοι λάθρα πρὸς τὸ ὄρος τῶν ἐλαιῶν ἐξώρμησαν, οὓς οἱ Ῥωμαῖοι καταδιώξαντες εἰς φυγὴν ἔτρεψαν. Ῥωμαῖος δέ τις τῶν ἱππέων ὁ δοκιμώτατος τοὺς Ἰουδαίους*
25 *ὠθουμένους κατὰ τῆς φάραγγος θεασάμενος, ἐκ πλαγίου*

4—7 *cf.* Eus. Hist. eccl. III, 6, 3. — 7—8 *ib.* 6, 19. — 8—10 *ib.* 6, 5. — 10—11 *ib.* 6, 12. — 13—17 Jos. Bell. V, 446 *sqq.* — 19—21 Eus. III, 6, 15. — 21—*p.* 385, 9 Jos. Bell. VI, 157 *sqq.*

1 *τὰ om.* N. — *τῆς om.* FN. — *ἐράσσων* M *ἔρρασσον* recc. nonnulli *ἤρασσον* E *ἔρησσον* V. — 3 *διαπερόντες* A *et* recc. quidam *διαπερονῶντες* F *διασπείροντες* V. — 4 *δεινῶς* CN *δεινὸς ex δεινὼς* L. — 7 *ἥρπαζον* N. — *διεμάσσωντο* A *διεμάσσοντο* M *διεμασῶντο* CDF. — 13 *ἀπέκτεννον* AM *ἀπέκταινον* B. — *τῖτος* BFLRV *τίτος* ACEN. — 18 *λιμὸς* CM. — 25 *κατὰ τῆς φάρ. ὠθουμένους* N.

παρελαύνων τὸν ἵππον ἁρπάζει τινὰ νεανίαν τῶν στασιαστῶν φεύγοντα στιβαρὸν κατὰ τὸ σῶμα καὶ ὡπλισμένον ἐκ τοῦ σφυροῦ δραξάμενος, ἑαυτὸν ἐπικλίνας τοῦ ἵππου τρέχοντος καὶ τὸν Ἰουδαῖον ἔφιππον καταδιώκοντος. καὶ τοσοῦτον τῆς 287 M. *δεξιᾶς τόνον καὶ τοῦ λοιποῦ σώματος ἐπιδειξάμενος καὶ τῆς* 5 *ἱππικῆς τέχνης τὴν ἀρετὴν ὥσπερ τι κειμήλιον ἧκε τῷ Καίσαρι κομίζων τὸν αἰχμάλωτον. ὁ δὲ Τῖτος ὑπερθαυμάσας τῆς ἰσχύος τούτου καὶ δυνάμεως τὸ ἀήττητον, δώροις αὐτὸν ἀμείψας τὸν ληφθέντα προσέταξεν ἀναιρεθῆναι.*

Τῆς δέ γε πόλεως ὑπὸ τῶν Ῥωμαίων σφοδρῶς πορθου- 10 *μένης, ὁ λιμὸς τοὺς κατὰ τὴν πόλιν πλείους τοῦ πολέμου διέφθειρεν· διὸ δὴ καὶ ἀδελφοὶ κατὰ ἀδελφῶν καὶ συγγενεῖς κατὰ συγγενῶν ξιφήρεις εἰς τοὺς οἴκους ἐχώρουν τὰς ἀλλήλων τροφὰς ἁρπάζοντες. καὶ μέν γε καὶ γυναῖκες ἀνδρῶν καὶ παῖδες πατέρων καὶ τὸ ἐλεεινότερον μητέρες νηπίων* 15 *ἥρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφὰς καὶ παντελῶς τῶν φιλτάτων οὐκ ἐφείδοντο. καὶ ἄλλοι μὲν ὑπ' ἐνδείας κεχηνότες ὥσπερ κύνες λυσσῶντες ἐσφάλλοντο καὶ περιεφέροντο μεθυόντων δίκην, ὡς διὰ σπλάγχνων καὶ μυελῶν τοῦ λιμοῦ χωροῦντος καὶ πρὸς θάνατον βίαιον τὴν ψυχὴν* 20 *ἐλαύνοντος, ἄλλοι δὲ τῶν ἀθεμίτων ἐφήπτοντο, ὧν οὐδὲ τὰ ῥυπαρὰ τῶν ἀλόγων προσίενται, τελευταῖον δὲ ζωστῆρας διεμασσῶντο καὶ ὑποδήματα καὶ τὰ δέρματα τῶν θυρεῶν ἤσθιον ἀποδέροντες. γυνὴ δέ τις Μαρία τοὔνομα γένει καὶ πλούτῳ περίβλεπτος ἐκ τῆς χώρας πρὸς τὴν πόλιν καταφυ-* 25 *γοῦσα, πᾶσαν αὐτῆς τὴν ὕπαρξιν καὶ τὰς διατροφὰς οἱ*

10—14 Jos. Bell. VI, 193 *sq*. — 14—17 Eus. III, 6, 5. — 17—19 Eus. III, 6, 18 *e* Jos. Bell. VI *cp*. 3. — 19—20 Eus. *ib*. 6, 23. — 21—24 *ib*. 6, 19. — 24—*p*. 387, 14 *ib*. 6, 21 *sqq*.

2 *ὁπλισμένον* ABDL *et* recc. nonnulli. — 7 *τῖτος* BDFLV *et* recc. nonnulli *τίτος* ACEM *et* alii recentiorum. — 14 *καὶ μέντοι καὶ* BR. — 15 *καὶ ante τὸ om*. N. — 18 *ἐφάλλοντο* (*ἐφ' ἄλλ*. D) NRV. — 23 *διεμάσσοντο* M *διεμασῶντο* DL. — 24 *ἀποδέρροντες* BV *ἀπεκδέροντες* R. — *ἀποδέρ. ἤσθιον* V *ἤσθιον om*. A. — *ὀνόματι μαρία* AC

στασιασταὶ καθ' ἡμέραν εἰσπηδῶντες διήρπαζον. καὶ λοιπὸν τροφῆς ἀποροῦσα καὶ παιδίον ὑπομάζιον ἔχουσα τοῦτο κατα-θύει, καὶ ὀπτήσασα τὸ μὲν ἥμισυ ἐσθίει, τὸ δὲ ἕτερον κα-λύψασα διετήρει. οἱ δὲ στασιασταὶ καθὼς εἰώθασιν εἰσελ-
5 *θόντες καὶ τῆς κνίσης αἰσθόμενοι ἠπείλουν ἀναιρήσειν αὐτήν, εἰ μὴ ὅπερ ἔκρυψεν ἐπιδείξῃ. ἡ δὲ τὰ λείψανα τοῦ παι-δαρίου προαγαγοῦσα· τοῦτο δή, φησίν, τὸ ἐμόν ποτε γνή-σιον τέκνον καὶ νῦν πανάθλιον φάγετε καὶ ὑμεῖς, καὶ γὰρ κἀγὼ βέβρωκα. εἰ δὲ ἀποστρέφεσθε, καὶ τὸ λοιπὸν ἐμοὶ*
288 M. 10 *καταλείψατε. οἱ δὲ τὰς ὄψεις ἑαυτῶν ἱκανῶς τύψαντες ὑπεξῆλθον τοῦ δώματος καταπεπληγμένοι καὶ τρέμοντες. καὶ οὕτω τὸ καλῶς ἐκ κοιλίας ἐξελθὸν βρέφος εἰς τὴν αὐτὴν πάλιν κακῶς ὑπέστρεψεν ἀθλίαν γαστέρα. ὅπερ ἀκούσαντες οἱ ἐν τῇ πόλει πάντες ἀποθανεῖν ἐν τάχει προσηύχοντο.*
15 *μενοῦν γε καὶ ἄλλα τοιαῦτα καὶ χείρονα καὶ δυσδιήγητα γεγόνασιν ἐν τῇ πόλει τότε. ἐν δὲ τῇ περιοχῇ καὶ τῷ πο-λέμῳ γίνεται τοῖς Ἰουδαίοις ἐξαίφνης θύελλα σφοδροτάτη, ἥτις τὰ μὲν εἰς αὐτοὺς παρὰ τῶν Ῥωμαίων πεμπόμενα εὐστόχως ἔφερεν, τὰ δὲ παρ' αὐτῶν εἰς ἐκείνους πλάγια*
20 *παραχρῆμα παρέσυρεν. καὶ οἱ Ῥωμαῖοι θεασάμενοι τὰς ὄψεις τῶν Ἰουδαίων ἐκ τῆς θυέλλης ἀμαυρωθείσας λαθραίως αὐτοῖς ἐπαναβαίνοντες εὐτόνως αὐτοὺς κατέκτενον. κἀντεῦ-θεν λοιπὸν ᾔσθοντο πολλοί, ὅτι θεήλατός ἐστιν ἡ πληγή, καὶ κατὰ θεομηνίαν ταῦτα πάσχουσιν. καὶ οὕτως ἐν δυσὶν*
25 *ἔτεσι παραλαβὼν τὴν Ἱερουσαλὴμ ὁ Τίτος πᾶσαν κατέλυσε καὶ ἐνέπρησε μετὰ τοῦ ἐν αὐτῇ ναοῦ κατὰ τὴν τοῦ κυρίου προαγόρευσιν.*

---

5 *κνίσις* C *κνήσις* A *κνίσσης* BERV. — 6 *ἐπιδείξει* AB *et* recc. nonnulli *ἐπιδείξοι* CDELV (*δείξειε* Eus.). — *παιδίον* FM. — 11 *δόματος* EFR *et* L *lit. ut vid. ex δόγματος*. — 18 *πεμ-πόμενα βέλη* L. — 19 *ἤφερε* ACLR. — 22 *ἐπαναβαίνοντα* CER *ἐπαναβαίνοντας* A *ἐπεμβαίνοντες* N. — *κατέκταινον* AV *κατέ-κτεννον* M *κατέκτειναν* B. — 24 *καὶ — πάσχουσιν om.* CF. — 25 *ὁ τίτος τὴν ἱερουσαλὴμ* B. — *τίτος* ACEM *et* recc. quidam. — 26 *κατὰ τὴν τοῦ κ. ἀπόφασιν* D *κατὰ τὴν ἀπόφασιν κυρίου* M.

Εἰπόντων γὰρ τῶν μαθητῶν περὶ τοῦ ἱεροῦ ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, ἔφη· ταῦτα ἃ θεωρεῖτε πάντα ἐλεύσονται ἡμέραι, ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται. ὅταν δὲ ἴδητε κυκλουμένην τὴν Ἱερουσαλὴμ ὑπὸ στρατοπέδων, τότε γνῶτε, ὅτι ἤγγικεν 5 *ἡ ἐρήμωσις αὐτῆς. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. ἔσται γὰρ ἀνάγκη μεγάλη καὶ ὀργὴ τῷ λαῷ τούτῳ, καὶ πεσοῦνται ἐν στόματι ῥομφαίας καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη. καὶ ἔσται Ἱερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν ἄχρι πληρωθῶσι* 10 289 M. *καιροὶ ἐθνῶν. καί· ἔσται θλίψις τοιαύτη, οἵα οὐδέποτε γέγονεν οὐδὲ μὴ ἔσται.*

Ταῦτα δὲ πάντα πεπόνθασιν οἱ ἐχθροὶ τῆς ζωῆς αὐτῶν Ἰουδαῖοι κυριευθέντες ὑπὸ τῶν Ῥωμαίων ὡς ἀπωσάμενοι Χριστὸν τὸν βασιλέα τοῦ παντός, καὶ τὸν τῶν Ῥωμαίων 15 *βασιλέα δυσσεβῶς ἐπισπασάμενοι κράζοντες· οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. καί· τὸ αἷμα Χριστοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. διὸ καὶ μέχρι τῆς συντελείας τὴν εἰς τὰ ἔθνη πάντα διασπορὰν καὶ ταλαιπωρίαν ἕξουσιν αὐτῶν τὰ τέκνα, καθάπερ τινὲς δραπέται μαστιγίαι τε καὶ παρα-* 20 *πλῆγες μηδὲν τῶν νομίμων ἐπιτελεῖν δυνάμενοι. ὑποφόρους γὰρ ἔχοντες αὐτοὺς Ῥωμαῖοι οὐκ ἐῶσι τοῖς ἰδίοις κεχρῆσθαι δικαιώμασιν, ἐπειδήπερ ἑκουσίως ἐπεσπάσαντο τὴν δουλείαν εἰπόντες· οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. καί· ἐὰν μὴ*

---

1 Luc. 21, 5; 6. — 4 *ib. v.* 20; 23; 24. *cf.* Eus. III, 7, 1; 5. — 11 Matth. 24, 21. — 16 Joh. 19, 15. — 17 Matth. 27, 25. — 21—*p.* 388, 12 Constitt. Apost. VI, 24; 25. — 24 Joh. 11, 48.

2. 3 *ταῦτα πάντα ἃ θεωρεῖτε* L *πάντα om.* C Luc. — 4. 5 *τὴν ἱερ. κυκλ. ὑπὸ στρατ.* C *κυκλ. ὑπὸ στρατ. τὴν ἱερ.* L Luc. — 6 *οὐαῖ* AC. — *καὶ ταῖς θηλαζούσαις hic om.* N *et v.* 7 *post ἡμέραις add.: ἔτι δὲ καὶ ταῖς θηλαζούσαις.* — 10 *ἱερουσαλὴμ ἔσται* AN Luc. — *ἀχρισσότου* F *ἄχρις οὗ* Eus. — 11 *οὐ γέγονε* F Matth. *οὐ γέγονε πώποτε* B *et* recc. quidam. — 12 *οὐδοὐμὴ* D Matth. — 17 *τοῦ χριστοῦ* R *αὐτοῦ* BF Matth. — 20 *παράπληγες* CEFR *παρὰ πλήγες* M. — 22 *αὐτοὺς ἔχοντες* BN.

ἀποκτείνωμεν τὸν Χριστόν, πάντες εἰς αὐτὸν πιστεύσουσιν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν τὸν τόπον καὶ τὸ ἔθνος. οἵ γε καὶ ἄκοντες προεφήτευσαν. καὶ γὰρ ἐπίστευσαν εἰς αὐτὸν τὰ ἔθνη, καὶ αὐτοὶ τῆς ἐξουσίας ὑπὸ 5 Ῥωμαίων ἀφῃρέθησαν καὶ τῆς νομικῆς λατρείας, κεκωλυμένοι δέ εἰσι καὶ ἀναιρεῖν οὓς θέλουσι καὶ θύειν ὅτε βούλονται. διὸ καὶ ἐπικατάρατοί εἰσι μὴ δυνάμενοι ποιεῖν τὰ διατεταγμένα. ἐπικατάρατος γάρ, φησίν, πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι 10 αὐτά. ἀδύνατον δέ ἐστιν ἐν διασπορᾷ μεταξὺ ἐθνῶν ὄντας πάντα ἐπιτελεῖν αὐτοὺς τὰ τοῦ νόμου καὶ τὴν λατρείαν ἐν ἑνὶ τόπῳ περιγεγραμμένην, ὡς ἐν λόγῳ κυρίου Μωσῆς διετάξατο. τί οὖν πρὸς ταῦτά φατε, ὦ Ἰουδαῖοι; καὶ τί τὸ αἴτιον τῶν τοσούτων καὶ τηλικούτων ὑμᾶς κατειληφότων 15 κακῶν; ἆρά γε συνήκατε, ὅτι οὐκ εἰς ὁμόδουλον ἀλλ' εἰς θεὸν προσκεκρουκότες εἰκότως ταῦτα πεπόνθατε καὶ ἀσύγ- 290 M. γνωστα πάσχετε; εἰς αὐτὸν γὰρ ὄντως ἐκεῖνον τὸν ποιητὴν καὶ εὐεργέτην ἐξημάρτετε, ὦ ἐμβρόντητοι, καὶ παροινήσατε, καθὼς αὐτὸς διὰ Ἠσαΐου περὶ ὑμῶν ἀναφωνῶν ἔλεγεν· 20 υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. καί· τί ποιήσω τῷ ἀμπελῶνί μου καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. καί· ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. ποίας δὲ ἀκάνθας λέγει καὶ ποίαν ἀνομίαν καὶ 25 κραυγήν; ἢ δῆλον ὅτι ὥσπερ ἐστεφανώσατε αὐτὸν ἐπὶ τοῦ πάθους ἀνόμως κράζοντες· ἆρον, ἆρον, σταύρωσον αὐτόν. ὡς καὶ διὰ Ἱερεμίου περὶ τῆς θεομάχου καὶ μιαρᾶς ὑμῶν

8 Deuteron. 27, 26 Gal. 3, 10. — 20 Jes. 1, 2. — Jes. 5, 4. — 22 Jes. 5, 7. — 26 Joh. 19, 15.

2 καὶ τὸν τόπον LV Joh. Const. — 5 καὶ κολυμένοι C καὶ κωλυόμενοι B. — 6 οὓς ἂν θέλουσιν (ἐθελ. D) N οὓς θέλωσιν L (οὓς ἂν θέλωσι Const.). — 12 μωσῆς D μωϋσῆς RV. — 17 ἐκεῖνον ὄντως R ἐκεῖνον om. A. — 24 ποίας — 25 κραυγήν om. MR. — 25 ἤ A ἢ rell. — δηλονότι BLRV. — ἅπερ CMRV.

συναγωγῆς πάλιν φησίν· ἐγένετο ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, καὶ διὰ τοῦτο ἐμίσησα αὐτήν. ἣν δὴ βέβηλον συναγωγὴν καὶ θεήλατον ὡς τοῦτο δράσασαν καὶ Σολομὼν θριαμβεύων φάσκει· ἐξέλθετε, θυγατέρες Σιών, καὶ ἴδετε ἐν τῷ στεφάνῳ, ᾧ ἐστε- 5 *φάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ. μητέρα μὲν αὐτοῦ λέγει κατὰ σάρκα τὴν τῶν Ἰουδαίων συναγωγήν. σὰρξ γάρ μου, φησίν, ἐξ αὐτῶν. ἡμέραν δὲ νυμφεύσεως αὐτοῦ δηλοῖ, καθ' ἣν ὁ μὲν τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ἐνυμφεύσατο, ἡ δὲ πεφενακισμένη καὶ ματαιόφρων* 10 *ἐκείνη συναγωγὴ στέφανον ἐξ ἀκανθῶν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ θεῖσα καὶ ὡς ἐπευφραινομένη καὶ ἐμπαίζουσα αὐτὸν ἔλεγεν· χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων. πρὸς οὓς ἀποτεινόμενος Ἡσαΐας πληκτικώτερον ἔφη· ἐν τίνι ἐνετρυφήσατε καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν, τέκνα ἀπωλείας* 15 *καὶ σπέρμα ἄνομον; ὅθεν αὐτὸς ὁ κύριος διὰ Ὠσηὲ τοῦ προφήτου σχετλιαστικῶς εἶπεν· οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ, δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμὲ καὶ πονηρὰ ἐπ' ἐμὲ ἐλογίσαντο. καί· διὰ τοῦτο κατεπόθη Ἰσραὴλ καὶ εἰς οὐδὲν ἐγένετο καὶ ἔστιν ὥσπερ σκεῦος ἄχρηστον ἐν τοῖς* 20 291 M. *ἔθνεσιν. ὁμοίως καὶ διὰ Ἱερεμίου πάλιν φησίν· παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε, καὶ γνώσῃ ὅτι πικρόν σοι τὸ καταλιπεῖν σε ἐμέ, καὶ οὐκ ηὐδόκησα ἐν σοι. ὁ δέ γε θεῖος Δαυὶδ ὥσπερ διαπριόμενος καθ' ὑμῶν καὶ ἐπαρᾶται πρὸς τὸν παροινηθέντα κύριον λέγων· σκο-* 25 *τισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν*

---

1 Jerem. 12, 8. — 5 Cant. 3, 11. — 8 Hosea 9, 12. — 13 Joh. 19, 3. — 14 Jes. 57, 4. — 17 Hos. 7, 13; 15. — 19 Hos. 8, 8. — 21 Jerem. 2, 19. — 25 Psalm. 68 (69), 24; 25; 28; 29.

6 *αὐτὸν om.* BCR *post* *ἡ μήτηρ αὐτοῦ ins.* M. — 7 *τῶν om.* N. — 8 *ἡ σάρξ μου γάρ φησιν* V *μου γὰρ etiam* MR *γὰρ om.* A. — 16 *ὡσηὲ* FV *et* recc. nonnulli *ὡσιὲ* C *ὡσιαὶ* A *ὀσιὲ* M. — 17 *σχεδιαστικῶς* C *χλευαστικῶς* B. — 19 *ἱερουσαλὴμ* RV. — 20 *οὐθὲν* A *et ut vid.* M. — 25 *καὶ om.* NR.

νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς, καὶ πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου. ἐξαλειφθήτωσαν ἐκ βίβλου 5 *ζώντων καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. καί· διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου καὶ κατάβαλε αὐτούς, ὁ ὑπερασπιστής μου κύριε, καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξουσιν, καὶ γνώσονται ὅτι ὁ θεὸς δεσπόζει τοῦ Ἰακὼβ καὶ τῶν περάτων* 10 *τῆς γῆς, ἐφ' ἧς δήπουθεν διασπαρέντες ἐνδίκως ἐπιγνώσονται πάντως ὅτι θεός ἐστιν ὁ χριστὸς τοῦ πατρὸς αὐτῶν Ἰακὼβ καὶ κυριεύσει τὰ σύμπαντα καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. οὕτω γε μὴν καὶ ὁ θεοφάντωρ Μωϋσῆς προκαθαπτόμενος καὶ στηλιτεύων ὑμᾶς ὡς βδελυροὺς* 15 *καὶ ἄφρονάς τε καὶ ἀγνώμονας ἔφη· τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός. οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε; κἀντεῦθεν εἰκότως φησὶν ὁ θεός· εἶπον, διασπερῶ αὐτούς, παύσω δὴ ἐξ* 20 *ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν. καὶ μέντοι καὶ ὁ κλεινὸς Ἱερεμίας μᾶλλον σαφηνίζων τίς οὗτός ἐστιν ὁ ταῦτα πεπονθὼς ὑφ' ὑμῶν ἐκβοᾷ λέγων· πνεῦμα πρὸ προσώπου ἡμῶν χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν, οὗ εἴπαμεν· ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν.* 25 *τοιαῦτα γοῦν καὶ Σολομὼν αὖθις ἐκ προσώπου ὑμῶν τῶν* 292 M. *θεομάχων διαρρήδην προαγορεύει φάσκων· ἐνεδρεύσωμεν τὸν*

---

5 Psalm. 58 (59), 12—14. — 12 Prov. 24, 12. — 15 Deuteron. 32, 5; 6. — 19 *ib. v.* 26. — 22 Thren. 4, 20. — 26 Sap. 2, 12 *sqq.*

1 *σύγκαψον* BCNR. — 6 *κατάγαγε* B Psalm. — 8 *ὑπάρξωσιν* AC. — 12 *κυριεύει* CFR. — 15 *καὶ ante ἄφρονας om.* BV *τε καὶ ἄφρονας καὶ* F *καὶ ἄφρονας καὶ* L. — 18 *ἐκτήσ. σε καὶ om.* F *ἐκτίσατο* ABM. — 22 *ἐβόα* N. — *προσώπ. ὑμῶν* NV *et* recc. nonnulli. — 23 *διαφθ. ὑμῶν* BMRV. — 24 *οὗ εἴπομεν* (*-ωμεν* M) NV *οὗ οὐκ εἴπομεν* R. — 26 *προσαγορεύει* CR.

δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ὀνειδίζει ἡμῖν ἁμαρτίας νόμου καὶ ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ καὶ παῖδα κυρίου ἑαυτὸν ὀνομάζει. ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν καὶ βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ἐστὶν ὁ βίος 5 *αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν, μακαρίζει δὲ ἔσχατα δικαίων καὶ ἀλαζονεύεται πατέρα θεόν. ἴδωμεν, εἰ οἱ λόγοι αὐτοῦ εἰσιν ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. εἰ γάρ ἐστι δίκαιος καὶ* 10 *υἱὸς θεοῦ, ἀντιλήψεται αὐτοῦ καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων. ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτὸν καὶ ἴδωμεν, εἰ ἔσται αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. ὧν τὴν* 15 *παράνοιάν τε καὶ δυσμένειαν εὖ μάλα κατακερτομῶν ἐπήγαγεν· ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν, ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν, καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ. οὓς δὴ καὶ ὁ θεσπέσιος Ἠσαΐας θρηνῶν συνᾳδόντως λέγει· οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι ἐβουλεύσαντο βουλὴν πονηρὰν* 20 *καθ' ἑαυτῶν εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. δέδεικται τοίνυν ἐναργέστατα ἡ αἰτία τῆς ὑμῶν ἀπὸ θεοῦ ἀλλοτριώσεώς τε καὶ ἐγκαταλείψεως καὶ τῆς διηνεκοῦς καὶ ἀπεράντου ταλαιπωρίας, εἴπερ βούλεσθε ἀκούοντες ἐπιγνῶναι.* 25

Καὶ περὶ μὲν τῆς ἐν Βαβυλῶνι αἰχμαλωσίας ὑμῶν ὡρισμένον χρόνον εἶπον οἱ προφῆται καὶ μέν γε καὶ τὴν ἐπάνοδον καὶ τὴν οἰκοδομὴν τῆς πόλεως προκατήγγειλαν. ἀκούσατε γὰρ Ἱερεμίου πρὸς ὑμᾶς λέγοντος· διὰ τὰς ἁμαρτίας, ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ, ἀχθήσεσθε εἰς Βαβυλῶνα 30

---

20 Jes. 3, 9; 10. — 29 Jer. Ep. 1; 2.

5 *ἐστὶ τοῖς ἄλλοις* CFM. — 14 *καὶ om.* N. — 15 *ἔσται αὐτῷ* FR. — 20 *οὐαῖ* AC. — *διότι*] *ὅτι* BN. — 26 *ὁρισμένον* ADFLV.

αἰχμάλωτοι ὑπὸ Ναβουχοδονόσωρ βασιλέως Βαβυλῶνος. εἰσελθόντες οὖν εἰς Βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη ο΄, μετὰ δὲ τοῦτο ἐξάξω ὑμᾶς ἐκεῖθεν μετ' εἰρήνης, λέγει κύριος. καὶ
293 M. *πάλιν· καὶ δουλεύσουσιν ἐν τοῖς ἔθνεσιν ἔτη ο΄, καὶ ἐν τῷ*
5 *πληρωθῆναι τὰ ο΄ ἔτη ἀποκαταστήσω τὸν Ἰσραὴλ εἰς τὸν τόπον αὐτοῦ, φησὶ κύριος. καὶ περὶ τῆς οἰκοδομῆς τῆς πόλεως ὁ Ἡσαΐας ἔφη· οὕτω λέγει κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη. αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλω-*
10 *σίαν τοῦ λαοῦ μου ἐπιστρέψει. περὶ ἧς οἰκοδομῆς καὶ Ἀγγαῖος φάσκει· τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου ἐλάλησε κύριος πρός με λέγων· εἰπὸν δὴ πρὸς Ζοροβάβελ καὶ πρὸς Ἰησοῦν τὸν ἱερέα καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ λέγων· τίς ἐξ ὑμῶν, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ*
15 *αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς νῦν βλέπετε αὐτὸν ὡς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν; καὶ νῦν κατίσχυε, Ζοροβάβελ καὶ Ἰησοῦ καὶ πᾶς ὁ λαός, καὶ οἰκοδομήσετε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ. καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει κύριος. ὥσπερ τοίνυν Σο-*
20 *λομὼν τῆς πρώτης οἰκοδομῆς τοῦ ναοῦ γέγονε δομήτωρ, οὕτω Ζοροβάβελ τῆς δευτέρας καὶ ἐσχάτης. φησὶ γὰρ Ζαχαρίας· αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν. εἰ μὲν οὖν ἔμελλε πάλιν ἀναστήσεσθαι, εἶπεν ἂν ὁ προφήτης· καὶ ἔσται ἡ*
25 *δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν ἔμπροσθεν. τῷ δὲ εἰπεῖν· ὑπὲρ τὴν πρώτην, τὴν δευτέραν ἐσχάτην ὑπέφηνε καὶ τελευταίαν. ὡς γὰρ οὐκ ἔστι τῆς πρώτης προτέρα, οὕτως*

---

4 Jer. 25, 11; 12. — 7 Jes. 45, 1; 13. — 12 Hag. 2, 1 *sqq.* — 22 Zach. 4, 9.

7 *χρηστῷ* ACFV. — 11 *φάσκει*] *ἔφη* BM. — *ἔτει om.* L. — *ἐπὶ om.* CN. — *δαρεῖος* C. — 12 *εἶπον* codd. *praeter* E. — 14 *ἴδε* AM *οἶδε* V. — 19 *ὁ σολομῶν* BV. — 21 *τῆς δευτέρας* — 22 *Ζοροβάβελ om.* BCELR. — 22 *ἐθεμελίωσεν* BCLR. — 23 *ἐπιτελοῦσιν* CM. — 25 *τῷ* E *τὸ* rell.

οὐδὲ τῆς ἐσχάτης ἐσχατωτέρα. ὥστε οὖν, εἰ μὲν εἶπεν· ἡ δευτέρα ὑπὲρ τὴν πρώτην, εἰκὸς ἦν καὶ τρίτην οἰκοδομὴν προσδοκᾶν, εἰ δὲ τὴν δευτέραν ἐσχάτην ἐκάλεσεν, τελευταίαν ἐκείνην οἰκοδομὴν προφανῶς τῆς τε πόλεως καὶ τοῦ ναοῦ παρεδήλωσεν. καὶ μάτην ἀπατᾶσθε, ὦ Ἰουδαῖοι, τὴν παλιγ- 5 *γενεσίαν τούτων μετὰ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου καθαίρεσιν ἀποκαραδοκοῦντες. ἀλλὰ μὴν καὶ ὁ ἱεροψάλτης Δαυὶδ πρὸ τούτων ἐκ προσώπου τῆς αἰχμαλωσίας φησίν· ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ* 294 M. *μνησθῆναι ἡμᾶς τῆς Σιών. καί· ὅτι ἐκεῖ ἐπερώτησαν ἡμᾶς* 10 *οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνους. καὶ ἐπάγει ἑτέρωθι περὶ τῆς πόλεως λέγων· οἰκοδομῶν Ἱερουσαλὴμ ὁ κύριος τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει. καὶ πάλιν ἐκ προσώπου τοῦ λαοῦ φάσκει· ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλ-* 15 *λιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ. οὐκοῦν ὑμεῖς πολὺ πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν ἐν αὐταῖς ἀποκειμένην μυστικὴν καὶ θεόπνευστον διδασκαλίαν τε καὶ πρόρρησιν.*

Περὶ δὲ τῆς ἐσχάτης αἰχμαλωσίας ταύτης οὔτε χρόνον 20 *ὥρισεν ὁ θεός, οὔτε ἀποκατάστασιν ἐδήλωσαν οἱ προφῆται, ἀλλὰ τὴν μὲν αἰχμαλωσίαν καὶ τὴν τῆς βασιλείας ὑμῶν κατάπαυσιν καὶ τὴν τῆς πόλεως ἐρήμωσιν πάντες οἱ προφῆται προανήγγειλαν, τὴν δὲ ἐπάνοδον καὶ τὴν τῆς πόλεως ἀνόρθωσιν οὐδαμῶς, πλὴν μόνον τὸν παντελῆ ταύτης ἀφα-* 25 *νισμὸν καὶ τὸν ὄλεθρον ὑμῶν καὶ τὴν διηνεκῆ τιμωρίαν καὶ διασπορὰν εἰς τὰ ἔθνη πάντα. φησὶ γὰρ ὁ ἀρχάγγελος πρὸς τὸν Δανιήλ· ἐξολοθρευθήσεται χρίσμα καὶ κρίμα οὐκ*

---

8 Psalm. 136 (137), 1; 3. — 13 Psalm. 146 (147), 2. — 14 Psalm. 13 (14), 7. — 16 Matth. 22, 29. — 28 Dan. 9, 26; 27.

4 *τῆς τε* ADLRV *τε om.* BCEFM. — 7 *καραδοκοῦντες* BF. — 8 *τὸν ποταμὸν* ACFMR. — 10 *τὴν σιών* BCDFL. — *καὶ om.* BN. — *ἐπηρώτησαν* DEF. — 12 *λέγων περὶ τῆς πόλεως* N. — 17 *πολλὰ* B *om.* FM. — *ἐν αὐτοῖς* codd. *praeter* LNR.

ἔσται, καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ὡς ἐν κατακλυσμῷ. καὶ ἀρθήσεται θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα ἐρημώσεως, συντέλεια δοθήσεται. διὰ μὲν γὰρ τοῦ χρίσματος
5 *τὴν ἱερωσύνην ἐδήλωσεν, διὰ δὲ τοῦ κρίματος τὴν βασιλείαν καὶ τὴν πολιτικὴν κατάστασιν, καὶ τῶν ἄλλων ἁπάντων τὴν ἀναίρεσιν ὑπέφηνεν, διὰ δὲ τοῦ κατακλυσμοῦ καὶ τῆς ἐκκοπῆς καὶ τῆς συντελείας τὴν ἄρδην ἔκπτωσιν καὶ πανωλεθρίαν ἐσήμανεν. ὅταν οὖν ἀκούσῃς, ὦ Ἰουδαῖε τυφλέ, συντέλειαν,*
10 *τί λοιπὸν ἕτερον προσδοκᾷς; εἰ δὲ ἀναγινώσκων οὐκ ἐπιγινώσκεις (ὥσπερ οὖν οὐδὲ ἐπιγινώσκεις ὄντως περὶ τῆς*
295 M. *ἀπροσδοκήτου σου ἀνακλήσεως καὶ διὰ τοῦτο πρὸς τὴν ἀλήθειαν ἀπομαχόμενος οὐ νοεῖς), ἄκουσον ἐν παρεκβάσει τὰς φωνὰς τῶν προφητῶν καὶ παῦσαι τοῦ λοιποῦ φιλονεικῶν*
15 *καὶ ἀνοηταίνων. ὁ προφήτης Ὡσηὲ οὕτω λέγει· καὶ καταπαύσω βασιλείας οἴκου Ἰσραὴλ καὶ συντρίψω τόξον Ἰσραήλ, καὶ οὐ μὴ προσθῶ ἔτι ἐλεῆσαι τὸν οἶκον Ἰσραήλ, ἀλλ' ἢ ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς, λέγει κύριος. καί· ἐμίσησα αὐτοὺς διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν καὶ*
20 *ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτοὺς καὶ οὐ προσθήσω τοῦ ἀγαπῆσαι αὐτούς, λέγει κύριος. ἐπόνεσεν Ἐφραῒμ τὰς ῥίζας αὐτοῦ καὶ ἐξηράνθη, καὶ καρπὸν οὐκέτι οὐ μὴ ἐνέγκῃ, καὶ ἀπώσεται αὐτοὺς ὁ θεός, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν. ἔφη γοῦν καὶ Μαλαχίας·*
25 *οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσιν, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ*

9—10 Chrysost. adv. Judaeos V, 10 Migne Tom. 48, 899 *med.* — 15 Hos. 9, 15—17. — 25 Mal. 1, 10—12.

4 *συντελεία* ACD *συντελείαι* B. — 8 *πανολεθρίαν* CLN. — 14 *φιλονικῶν* AM *et* recc. quidam. — 15 *ὡσηὲ* F *ὡσιαὶ* A *ὡσιὲ* C *ὁσιὲ* M. — 25 *οὐκέσται* A *οὐκ ἔτι* CV *οὐκέτι* L. — 27 *καὶ ἕως*] *καὶ ἐπὶ* A *μέχρι* B.

ὀνόματί μου καὶ θυσία καθαρά, διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν, λέγει κύριος παντοκράτωρ, ὑμεῖς δὲ βεβηλοῦτε αὐτό. διὰ τοῦτο δώσω ὑμᾶς ἐξουθενημένους καὶ παρειμένους εἰς πάντα τὰ ἔθνη, ἀνθ' ὧν οὐκ ἐφυλάξατε τὰς ἐντολάς μου. διό φησιν Ἱερεμίας· τάδε λέγει κύριος παντοκράτωρ· ἰδού, ὤμοσα τῷ ὀνόματί μου τῷ μεγάλῳ, εἰ ἔσται τοῦ λοιποῦ ὀνομαζόμενον τὸ ὄνομά μου ἐν παντὶ στόματι Ἰούδα. εἰ δὲ τὸ ὄνομα αὐτοῦ ἔφη περιαιρήσειν ἀπὸ Ἰουδαίων, εὔδηλον ὅτι καὶ τὸν νόμον καὶ τὰς θυσίας. οὐ τοίνυν προηγουμένως κατὰ θείαν γνώμην ἡ περὶ τῶν θυσιῶν ἐδόθη νομοθεσία. κἀντεῦθεν μετὰ ταῦτα διὰ τῶν προφητῶν ἔφη· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; καί· μὴ εὐχαὶ καὶ κρέας ἀφαιροῦσι τὰς ἁμαρτίας σου. καί· μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ ἔτη μʹ; καί· ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρεις καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; διό φησιν· θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. καί· μὴ ὁλοκαυτώματα μετὰ θυσίας θέλει ὁ θεός, ἢ τὸ ὑπακούειν αὐτῷ, καὶ ἀκοὴ ἀγαθὴ ὑπὲρ θυσίαν. καί· εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. καὶ δὴ καὶ τὰς ἑορτὰς ἐκβάλλων ἐπάγει λέγων· μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν. καί· ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. καί· ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. καί· νηστείαν καὶ ἀργίαν μισεῖ ἡ ψυχή μου. καί· οὐ τοιαύτην νηστείαν ἐξελεξάμην. καί· δώσω ὑμῖν προστάγματα οὐ καλά, ἐν οἷς οὐ ζήσεσθε ἐν

3 Mal. 2, 9. — 5 Jer. 44 (51), 26. — 12 Jes. 1, 12. — 13 Jer. 11, 15. — 14 Amos 5, 25. — 15 Jer. 6, 20. — 16 Psalm. 39 (40), 7. — 17 I. Reg. 15, 22. — 19 Psalm. 50 (51), 18. — 20 Amos 5, 21; 23. — 22 Jes. 1, 13; 14. — 24 Jes. 58, 5. — 25 Ez. 20, 25.

3 *ἐξουθενωμένους* A. — 9 *καὶ* ante *τὸν* om. N. — 13 *κραία* A (*κρέα* Jer.). — 14 *μοι* om. N. — 15 *σαβὰ* DE *σαφᾶ* B. — *κιννάμωμον* BFV. — 20 *ἐκβάλλων* (*-ον* A) AEFL *ἐκβαλὼν* BCNRV. — 21 *ψαλμῶν* BNRV *ψαλτήρων* A. — 24 *ἐγὼ ἐξελεξάμην* BF.

αὐτοῖς. ὥστε οὖν κατὰ τὴν σκληροκαρδίαν ὑμῶν καὶ οὐ κατὰ τὴν ἀγαθότητα δέδωκεν ὑμῖν ἐκεῖνα τὰ προστάγματα πάντως, καὶ ἀλλοίως οὐκ ἔστιν.

Ἐπεὶ οὖν ἀγνώμων σφόδρα καὶ λίαν ἀχάριστος ὁ Ἰσραὴλ
5 *ἔκπαλαι γενόμενος καὶ καταλείψας τὸν ὄντως ὄντα καὶ προόντα θεὸν τὸν ποιήσαντα καὶ εὐεργετήσαντα αὐτὸν πολυμερῶς καὶ πολυτρόπως καὶ τέλεον ἀποστὰς ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ ἔθυσε τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτοῦ τοῖς δαιμονίοις, καὶ λατρεύσας καὶ προσκυνήσας τῇ κτίσει παρὰ τὸν*
10 *κτίσαντα, λέγων τῷ λίθῳ καὶ τῷ ξύλῳ· θεός μου εἶ καὶ σύ με ἐγέννησας, οὐκ ἔφριξεν ὁ τάλας καὶ ἀπόπληκτος ἀπαρνήσασθαι τὸν γεννήσαντα αὐτὸν θεὸν ζῶντα καὶ ἀληθινὸν καὶ ἐπιλαθέσθαι τοῦ τρέφοντος αὐτὸν θεοῦ, διὸ δὴ λοιπὸν ὡς ἄχρηστον καὶ ἀνήκεστον προσώχθισεν αὐτὸν ὁ θεὸς*
15 *καὶ ἀπεστράφη παντελῶς διὰ τοῦ μεγάλου Δαυὶδ φάσκων· καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι, καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν πορεύεσθαι. ὡσαύτως καὶ διὰ Ζαχαρίου φησίν· καὶ εἶπον· οὐ ποιμανῶ αὐτούς, ἀλλὰ τὸ*
297 M. 20 *ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἀπολλύμενον ἀπολλυέσθω, καὶ τὰ κατάλοιπα κατεσθιέτω ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. καὶ οὕτω μισητὸν καὶ διεφθαρμένον καὶ εἰς ἅπαν ἐβδελυγμένον διὰ τῶν αἰσχίστων καὶ θεοστυγῶν ἐπι-*

---

7 Psalm. 105 (106), 37. — 10 Jerem. 2, 27. — 16 Psalm. 80 (81), 12; 13. — 19 Zach. 11, 9.

2 *τὴν αὐτοῦ ἀγαθότητα* AFN *τὴν ἐκείνου ἀγ.* L. — 4 *ἀγνώμων καὶ λίαν σφόδρα ἀχάριστος* RV *σφόδρα om.* A *ἀγν. λίαν καὶ ἀχάριστος πάνυ* B. — 8 *τοὺς υἱοὺς αὐτοῦ* AMR *αὐτοῦ post θυγατέρας om.* MR. — 9 *τὴν κτίσιν* BV. — 10 *τῷ ξύλῳ καὶ τῷ λίθῳ* RV. — *εἶ σὺ καὶ σύ* BF. — 19 *τὸ ἀποθνήσκων* AC *ὁ ἀποθνήσκων* B. — 20 *ἀπολυέσθω* CRV *ἀπολλύσθω* P. — 22. 23 *καὶ εἰς ἅπαν ἐβδελ. om.* M, *post αἰσχίστων ins.* D *καὶ et ἐβδελυγμένον om.* L.

5 *A verbo ὄντα in ordinem redit* P. — 8 *τοῖς om.* P. — 10 *λέγω* P. — 14 *προσόχθησεν* P. — 22 *διεφθαρμ. τε καὶ* P.

τηδευμάτων ἑαυτὸν ἀποφήνας εἰκότως εὖ μάλα καὶ πάνυ
δικαίως εἰς τέλος κατελείφθη καὶ ἀπεβλήθη, καθὼς πάλιν
ὁ θεῖος Μαλαχίας φησίν· ἔπεσεν Ἰσραήλ, οὐκέτι οὐ μὴ
προσθήσει τοῦ ἀναστῆναι. οὕτω καὶ Ἡσαΐας φάσκει· τίς
φείσεται ἐπί σοι, Ἰσραήλ, ἢ τίς ἀνακάμψει σε εἰς εἰρήνην 5
σου, λέγει κύριος. ὀπίσω πορεύσῃ, καὶ ἐκτενῶ τὴν χεῖρά
μου καὶ διαφθερῶ σε καὶ διασπερῶ σε καὶ οὐκέτι ἀνήσω
σε. καί· ἰδοὺ ἐγὼ λαμβάνω καὶ ῥάσσω ὑμᾶς καὶ τὴν πόλιν,
ἣν ἔδωκα ὑμῖν, καὶ δώσω ὑμᾶς ὀνειδισμὸν αἰώνιον καὶ ἀτι-
μίαν αἰώνιον, ἥτις οὐκ ἐπιλησθήσεται. 10

Τῆς τοίνυν ἐσχάτης ἁλώσεως ταύτης καὶ τελευταίας τὰ
δεινὰ καὶ φοβερὰ προαγορεύοντες ὅ τε μέγας καὶ θεορήμων
πάλιν Μωϋσῆς καὶ οἱ μετ' αὐτὸν θεηγόροι Ἰεζεκιὴλ καὶ
Ἱερεμίας εὐκρινῆ λίαν καὶ σφόδρα δῆλα τοῖς πᾶσι καὶ τοῖς
ἄγαν ἰδιώταις αὐτὰ πεποίηνται. ὁ μὲν γὰρ Μωϋσῆς ἐν τῷ 15
δευτερονομίῳ φησίν· καὶ ἐπάξει κύριος ἔθνος ἐπί σε μακρό-
θεν ἀπ' ἐσχάτου τῆς γῆς ὡσεὶ ὅρμημα ἀετοῦ, ἔθνος ἀναι-
δὲς προσώπῳ, καὶ ἐκθλίψει σε ἐν πάσαις ταῖς πόλεσί σου,
ἕως ἂν καθαιρεθῶσι τὰ τείχη σου τὰ ὑψηλὰ καὶ ὀχυρά,
ἐν οἷς σὺ πέποιθας ἐπ' αὐτοῖς. καὶ φάγῃ τὰ ἔκγονα τῆς 20
κοιλίας σου, κρέα υἱῶν καὶ θυγατέρων σου, διὰ τὸ μὴ
καταλελεῖφθαι ὑμῖν μηδὲν ἐν τῇ στενοχωρίᾳ καὶ θλίψει, ῇ
ἂν θλίψῃ σε ὁ ἐχθρός σου ἐν πάσαις ταῖς πόλεσί σου. καὶ
ἡ ἁπαλὴ ἐν ὑμῖν καὶ ἡ τρυφερὰ γυνὴ τὸ ἐξελθὸν διὰ τῶν

3 Amos 5, 2. — 4 Jer. 15, 5; 6. — 8 Jer. 23, 39; 40. —
16 Deuteron. 28, 49 *sqq*.

2 κατελήφθη ABP κατεβλήθη LM. — 3 καὶ οὐκέτι AV. —
4 προσθήσῃ BCLMV. — 8 καὶ τὴν — 9 ὑμᾶς *om*. N. — 9.10 καὶ
ἀτιμίαν αἰώνιον *om*. BMP. — 12 προαγορεύοντες LPV διαγορεύ-
οντες AN προδιαγορεύοντες BCEFR. — 17 ἐπ' ἐσχάτου MV. —
20 ἐφ' οἷς L Deut. — ἐπ' αὐτοῖς *om*. BL. — φαγῇ EPV. —
ἔγγονα ABNR. — 23 θλίψει BFMR. — 24 ἡ *ante* τρυφερὰ
om. NRV.

3 οὐ *om*. P. — 14 δῆλα σφόδρα P. — 20 ἐν αὐτοῖς P.

μηρῶν αὐτῆς καὶ τὸ τέκνον ὃ ἐὰν τέκῃ καταφάγεται κρυφῇ
διὰ τὴν ἔνδειαν πάντων ἐν τῇ στενοχωρίᾳ ἐκείνῃ καὶ θλί-
298 M. ψει. καὶ ἔσῃ ἐν αἰνίγματι καὶ ἐν παραβολῇ καὶ ἐν διηγή-
ματι ἐν πᾶσι τοῖς ἔθνεσιν, εἰς οὓς ἂν ἀπαγάγῃ σε κύριος
5 ἐκεῖ, ἕως ἂν ἐξολοθρεύσῃ σε. καὶ καταλειφθήσεσθε ἐν ἀριθμῷ
βραχεῖς, ἀνθ' ὧν ὅτι ἦτε ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ
πλήθει, καὶ οὐκ εἰσηκούσατε τῆς φωνῆς κυρίου τοῦ θεοῦ
ὑμῶν. καὶ ἔσται ὃν τρόπον εὐφράνθη κύριος ἐφ' ὑμῖν
εὖ ποιῆσαι καὶ πληθῦναι ὑμᾶς, οὕτως εὐφρανθήσεται κύριος
10 ἐφ' ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς, καὶ ἐξαρθήσεσθε ἀπὸ τῆς ἀγα-
θῆς γῆς ἐκείνης, καὶ διασπερεῖ σε κύριος ὁ θεός σου εἰς
πάντα τὰ ἔθνη ἀπ' ἄκρου τῆς γῆς καὶ ἕως ἄκρου τῆς γῆς.
ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν ἐκείνοις οὐκ ἀναπαύσει σε, οὐδὲ
μὴ γένηται στάσις τῷ ἴχνει τῶν ποδῶν σου. καὶ δώσει σοι
15 κύριος ἐκεῖ καρδίαν ἀθυμοῦσαν καὶ ἐκλείποντας ὀφθαλμοὺς
καὶ τηκομένην ψυχήν, καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτός,
καὶ ἐρεῖς τὸ πρωῒ ἀπὸ τοῦ φόβου τῆς καρδίας σου· πῶς
ἂν γένοιτο ἑσπέρα; καὶ τὸ ἑσπέρας ἐρεῖς· πῶς ἂν γένοιτο
πρωΐ; ὁ δέ γε Ἰεζεκιὴλ ἔφη· τάδε λέγει Ἀδωναῒ κύριος·
20 ἰδοὺ ἐγὼ ἐπί σε, Ἱερουσαλήμ, καὶ ποιήσω ἐν μέσῳ σου
κρίμα ἐνώπιον τῶν ἐθνῶν, καὶ ποιήσω ἔν σοι, ἃ οὐ πε-
ποίηκα καὶ οὐ μὴ ποιήσω ὅμοια αὐτοῖς ἔτι διὰ τὰ βδελύγ-
ματά σου πάντα. διὰ τοῦτο πατέρες φάγονται τέκνα αὐτῶν

---

3 Deuteron. 28, 37. — 5 *ib. v.* 45; 62 *sqq.* — 19 Ez. 5, 8 *sqq.*

1 ἂν BCEF. — 4 ἐὰν V *om.* FN. — ἐπαγάγῃ BR ἀγάγει N — 6 βραχεῖ F Deut. — 8 ἡμῶν ABCF. — 9 οὕτως — 10 ὑμᾶς *om.* BMR. — 12 καὶ *om.* NR. — ἕως ἄκρου αὐτῆς AFN. — 17 τῷ πρωῒ ACFLMPR. — 18 τῷ ἑσπέρας F τὸ ἑσπέρα A τῇ ἑσπέρᾳ R.

3 ἐν παραβολαῖς P. — 8 ηὐφράνθη P. — 9 εὖ ποιῆσαι — 10 ἐφ' ὑμῖν *om.* P *ex homoeotel.* — 17 ἀπὸ τ. φόβου τῆς καρδίας σου *om.* P *et v.* 19 *post* πρωΐ *add.*: ἀπὸ τοῦ φόβου τῆς καρδίας σου οὗ φοβηθήσῃ καὶ ἀπὸ τῶν ὁραμάτων τῶν ὀφθαλμῶν σου ἃ ὄψῃ *cum* Deuteron.

ἐν μέσῳ σου, καὶ τέκνα φάγονται πατέρας αὐτῶν. καὶ ποιήσω ἔν σοι κρίματα καὶ διασπερῶ πάντας τοὺς καταλοίπους σου εἰς πάντα ἄνεμον, ἀνθ' ὧν τὰ ἅγιά μου ἐμίανας ἐν πᾶσι τοῖς προσοχθίσμασί σου, κἀγὼ ἀπώσομαί σε καὶ οὐ μὴ ἐλεήσω σε ἔτι. τὸ τέταρτόν σου ἐν θανάτῳ ἀναλωθή- 5
σεται, καὶ τὸ τέταρτόν σου ἐν λιμῷ συντελεσθήσεται ἐν μέσῳ σου καὶ τὸ τέταρτόν σου ἐν ῥομφαίᾳ πεσοῦνται κύκλῳ σου, καὶ τὸ τέταρτόν σου εἰς πάντα ἄνεμον διασκορπιῶ. καὶ ὁ μὲν πόλεμος καὶ ἡ ῥομφαία ἔξωθεν, ὁ δὲ λιμὸς καὶ ὁ θάνατος ἔσωθεν ὀλοθρεύσει, καὶ τοὺς μὲν ἐν τῷ πεδίῳ ῥομ- 10
φαία τελευτήσει, τοὺς δὲ ἐν τῇ πόλει λιμὸς καὶ θάνατος 299 M.
συντελέσει, οἱ δὲ ἐξ αὐτῶν ἀνασωζόμενοι ἀναλωθήσονται. καὶ ὑπολείψομαι ἐξ αὐτῶν ἐκ ῥομφαίας καὶ λιμοῦ καὶ θανάτου, ὅπως ἂν ἐκδιηγῶνται τὰς ἀνομίας αὐτῶν πάσας ἐν τοῖς ἔθνεσιν, καὶ γνώσονται, ὅτι ἐγὼ κύριος ὁ τύπτων. διὰ 15
δὴ τοῦτό φησιν ὁ ἱερὸς Χρυσόστομος· οὐκ ἀναιρεῖ πάντας ἄρδην, ἀλλὰ σκορπίζει. τοῦτο γὰρ προϋπεμφαίνων ὁ θεῖος Δαυὶδ ἔφη πρὸς αὐτόν· μὴ ἀποκτείνῃς αὐτούς, ἤτοι πάντας, ἀλλὰ διασκόρπισον, ἐξ αὐτῶν δήπουθεν, ἐν τῇ δυνάμει σου. 20

Περὶ δέ γε τῆς δευτέρας αὐτοῦ ἐλεύσεως καὶ φανερώσεως καὶ πολλῆς καὶ ἀπαραμυθήτου θλίψεως αὐτῶν εἶπε Ζαχαρίας· τότε ἥξει κύριος ὁ θεὸς ἡμῶν, καὶ ἔσται κοπετὸς μέγας ἐν Ἱερουσαλήμ. ὄψονται γὰρ εἰς ὃν ἐξεκέντησαν, τοῦτ' ἔστιν ἐν οἷς ἥλοις προσήλωσαν. οὐκ εἶπεν· ὄψονται ὃν 25

---

8 Ez. 7, 15. — 13 Ez. 12, 16. — 18 Psalm. 58 (59), 12. — 23 Zach. 12, 11. — 24 Zach. 12, 10 (*cf.* Ev. Joh. 19, 37).

7 *πεσεῖται* BFR. — 8 *διασκορπίσω* A *σκορπιῶ* N Ez. — 14 *ἐκδιηγοῦνται* N. — 19 *ἐξ αὐτῶν*] *αὐτοὺς* N. — 21 *αὐτοῦ ἐλεύσεως* BFP *ἐλεύσεως αὐτοῦ* rell. — 22 *καὶ* *ante* *ἀπαραμυθήτου* *m. 1 spr. v.* V *om.* ALR. — 25 *ὃν ἐξεκέντησαν ὄψονται* B *ὄψονται* *om.* AMR.

4 *προσοχθ. σου καὶ ἐν πᾶσι τοῖς βδελύγμασί σου* P (*ἐμίανας ἐν πᾶσι τοῖς βδελύγμασί σου* Ez.).

ἐξεκέντησαν, ἀλλ' εἰς ὃν ἐξεκέντησαν. τί δέ ἐστιν· εἰς ὅν; σταυρὸς ἦν, εἰς ὃν ἐξεκέντησαν. πρὸ γὰρ τῆς φοβερᾶς παρουσίας τοῦ κυρίου καθάπερ βασιλικὸν σημεῖον τὸ λεγόμενον σίγνον κατὰ κοινὴν συνήθειαν προτρέχει τῆς Χριστοῦ
5 παρουσίας ὑπὸ τῶν ἀγγέλων δοξαζόμενον καὶ προευαγγελιζόμενον. καὶ φανήσεται ὁ σταυρὸς ἐπὶ τῆς γῆς ἀποκρύπτων τὸν ἥλιον καὶ ἀμβλύνων σελήνην, ὥς φησι καὶ ὁ κύριος· τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ θεοῦ ἐν τῷ οὐρανῷ. καὶ ἵνα πληρωθῇ τὸ ῥῆμα Ζαχαρίου, τὴν λέξιν αὐτὴν λα-
10 βὼν ὁ Χριστὸς μετήγαγεν εἰς ἀλήθειαν λέγων· τότε ὄψονται εἰς ὃν ἐξεκέντησαν. ὁ δέ γε Ἱερεμίας ὁμοίως φάσκει· τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακά, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ, ἀνθ' ὧν ἐγκατέλιπόν με καὶ ἀπηλλοτρίωσαν
15 τὸν τόπον τοῦτον, καὶ σφάξω τὴν βουλὴν Ἰούδα καὶ τὴν
300 M. βουλὴν Ἰσραὴλ ἐν τῷ τόπῳ τούτῳ καὶ καταβαλῶ αὐτοὺς ἐν τῇ μαχαίρᾳ ἐναντίον τῶν ἐχθρῶν αὐτῶν καὶ δώσω τοὺς νεκροὺς αὐτῶν εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ τάξω τὴν πόλιν ταύτην εἰς ἀφα-
20 νισμὸν καὶ εἰς συριγμὸν αἰώνιον, ἵνα πάντες οἱ διαπορευόμενοι δι' αὐτῆς ἐκστήσωνται καὶ σκυθρωπάσωσι καὶ κινήσωσι τὰς κεφαλὰς αὐτῶν ἐπὶ πάσης τῆς πληγῆς αὐτῆς. καὶ ὡς ἄνεμον καύσωνα διασπερῶ αὐτοὺς κατὰ πρόσωπον τῶν ἐχθρῶν αὐτῶν, καὶ δείξω αὐτοῖς ἡμέραν ἀπωλείας. καί·

---

8 Matth. 24, 30. — 11 Jerem. 19, 3; 4; 7; 8. — 19 Jer. 18, 16; 17.

3 ταμεῖον A σκῆπτρον B. — 8 τοῦ ἀνθρώπου AE Matth. τοῦ θεοῦ *inter scrib. corr. ex* τοῦ ἀνου L. — 14 ἐγκατέλειπον CN κατέλιπον A. — 21 ἐκστήσονται ACFNP *et* recc. quidam (*et* Jer. *qui om.* ἵνα). — σκυθρωπάσωσι ABMP σκυθρωπάσονται C σκυθρωπάσουσι DEFLRV Jer. — κινήσωσι ABMP κινήσουσι CDE FLRV Jer. — 23 ἄνεμον καύσωνα NP Jer. ἄνεμον καὶ καύσωνα rell. — 24 αὐτῶν *om.* BFLR. — ἡμέρας N.

4 κατὰ τὴν κοινὴν συνήθ. P. — 7 τὸν *om.* P. — 13 πάντας ἀκούοντας (τας *lit. ex* τως *ut. vid.*) P. — 17 τῇ *om.* P.

ἔδονται τὰς σάρκας τῶν υἱῶν καὶ τῶν θυγατέρων αὐτῶν, καὶ ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ ἔδεται ἐν τῇ περιοχῇ καὶ ἐν τῇ πολιορκίᾳ, ᾗ πολιορκήσουσιν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. καὶ συντρίψω τὸν λαὸν τοῦτον καὶ τὴν πόλιν ταύτην, καθὼς συντρίβεται ἄγγος ὀστράκινον, ὃ οὐ 5 *δυνήσεται ἰαθῆναι ἔτι. οὕτω ποιήσω, λέγει κύριος, τῷ τόπῳ τούτῳ καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ τοῦ δοθῆναι τὴν πόλιν ταύτην ὡς τὴν διαπίπτουσαν. καί· δώσω αὐτοὺς εἰς διασκορπισμὸν πάσαις ταῖς βασιλείαις τῆς γῆς, καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς παραβολὴν καὶ εἰς μῖσος καὶ εἰς κατάραν* 10 *ἐν παντὶ τόπῳ, οὗ ἂν ἐξώσω αὐτοὺς ἐκεῖ.*

Τί οὖν λοιπὸν τῶν θείων τούτων ῥημάτων ἐμφαντικώτερον ἢ ἀληθέστερον γένοιτ' ἄν; ὅρα γάρ, ὦ ἀνόητε καὶ ἀλόγιστε Ἰουδαῖε, εἰ μὴ πεπλήρωνται πάντα ταῦτα ἀπαραλείπτως κατὰ τὰς ἱερὰς προρρήσεις εἰς ὑμᾶς, καὶ μέντοι καὶ 15 *τὰ ὑπὸ Χριστοῦ προκατηγγελμένα καὶ προηπειλημένα. φησὶ γὰρ περὶ τῆς Ἱερουσαλὴμ καὶ τοῦ ἐν αὐτῇ ναοῦ ὅτι· οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον. ἆρα μεμένηκεν; οὐδαμῶς. καί· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ἆρα οὐκ ἠρήμωται; καὶ σφόδρα γε. καί· ἔσται θλίψις, οἵα οὐ γέγονεν. ἆρα* 20 *οὐκ ἐγένετο; ἀνάγνωθι τὴν ἱστορίαν Ἰωσήπου ἀνδρὸς Ἰουδαίου καὶ φιλαλήθους, καὶ οὐδὲ ἀναπνεῦσαι λοιπὸν δυνήσῃ* 301 M. *ἀκούων μόνον ἅπερ ἔπαθον οἱ ἄθλιοι τηνικαῦτα Ἰουδαῖοι διὰ τὴν κατὰ τοῦ Χριστοῦ μανίαν καὶ λύσσαν. ἵνα γὰρ*

---

1 Jer. 19, 9; 11; 12. — 8 Jer. 24, 9. — 16—24 *Similia* Chrysostomus *in* ep. ad Rom. Hom. 25, 5 Migne T. 60, 635. — 17 Matth. 24, 2 Marc. 13, 2 Luc. 21, 6. — 19 Matth. 23, 38 Luc. 13, 35. — 20 Matth. 24, 21. — 24—*p.* 402, 5 Isid. Pelus. Epp. IV, 75 Migne Tom. 78, 436 A.

6 *δυνηθήσεται* MR. — *καὶ τῷ τόπῳ* CF. — 11 *ἐὰν* MRV. — 12 *ἐκφαντικώτερον* BR. — 14 *τὰ πάντα ταῦτα* B *ταῦτα πάντα* AFM. — 15 *προρήσεις* AP. — 16 *προκατηγγειλμένα* (*-ειγγειλμένα* A) AP. — 24 *τοῦ om.* ABFN.

24 *μανίαν τε καὶ λύτταν* P.

μηδεὶς τῶν Ἰουδαίων ἀπιστήσῃ, οὐκ ἀλλόφυλόν τινα, ἀλλ' ὁμόφυλον καὶ ὁμόπιστον καὶ ζηλωτὴν παρεσκεύασεν ἡ ἀλήθεια τὰ ἐλεεινὰ ἐκεῖνα καὶ δυσεξήγητα ἐκτραγῳδῆσαι πάθη. τοιαύτην γὰρ θεήλατον ὑπέστησαν ἅλωσιν, οἵαν οὐδὲ ὁ σύμ-
5 πας οἶδε χρόνος, ἀφ' οὗ γέγονεν ἐπὶ τῆς γῆς ἄνθρωπος. καὶ εἰκότως· ἕως μὲν γὰρ εἰς τοὺς ὁμοδούλους ἡμάρτανον, συγγνώμης ἐτύγχανον, ἡνίκα δὲ εἰς τὸν κοινὸν δεσπότην ἐξήμαρτον, ἀσυγγνώστως ἐκολάσθησαν. ὅτι δὲ ὁ Χριστὸς αὐτοῖς πεποίηκε ταῦτα, ἄκουσον αὐτοῦ πάλιν καὶ διὰ παρα-
10 βολῶν φάσκοντος· τοὺς δὲ μὴ βουληθέντας με βασιλεῦσαι ἐπ' αὐτοὺς ἀγάγετε ὧδε καὶ κατασφάξατε. διὸ καὶ πρὸς αὐτοὺς ἔλεγεν· ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. καὶ πρὸς μὲν τὴν Ἱερουσαλήμ φησιν· ἥξουσιν ἐπί σε ἡμέραι, καὶ περιβα-
15 λοῦσί σοι οἱ ἐχθροί σου χάρακα καὶ περικυκλώσουσί σε καὶ συνέξουσί σε πάντοθεν καὶ ἐδαφιοῦσι τὰ τέκνα σου ἔν σοι. πρὸς δὲ τοὺς ἀπειθεῖς Ἰουδαίους ἐπάγει λέγων· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ὅπερ οὖν καὶ ὁ θεῖος Δανιὴλ προδηλῶν ἔφη· καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ
20 ἡγουμένῳ τῷ ἐρχομένῳ, τοῦτ' ἔστιν ὁ θεὸς καὶ πατὴρ πάντα τῶν Ἰουδαίων τὰ σεμνὰ καὶ περίβλεπτα ἀνατρέψει, ἀλλὰ καὶ ὁ υἱὸς καὶ Χριστὸς ὁ παρ' αὐτῶν ὡς λυτρωτὴς προσδοκώμενος καὶ σωτήρ. οὐ γὰρ εἶπεν· διαφθαρήσεται ἡ πόλις καὶ ὁ ναὸς σὺν τῷ ἡγουμένῳ, καθὼς ἀλόγως οἴονταί τινες,

8—11 Chrys. *l. l.* Migne 634. — 10 Luc. 19, 27. — 12 Matth. 21, 43. — 14 Luc. 19, 43; 44. — 17 Matth. 23, 38 Luc. 13, 35. — 19 Dan. 9, 26.

5 χρόνος οἶδε CF. — ἄνθρωπος ἐπὶ τῆς γῆς N. — 8 ὁ *om.* N. — 9 πεποίηκεν αὐτοῖς ταῦτα CFRV — καὶ *om.* AN. — 16 συνάξουσι BCR. — 20 πάντα τῶν] πάντων BR πάντα τὰ τῶν LM (L *om.* τὰ *ante* σεμνά). — 22 ὁ υἱὸς ὁ χριστὸς A ὁ υἱὸς ὁ καὶ χριστὸς FLM, *sed in* L ὁ *postea del. nesc. an m. 1.* — 24 ἡγουμένῳ τῷ ἐρχομένῳ BL.

11 ἐπ' αὐτοῖς P. — 22 ὡς λυτρωτὴς καὶ σωτὴρ προσδοκώμενος P.

ἀλλὰ διαφθερεῖ ὁ πατὴρ τὸν ναὸν καὶ τὴν πόλιν συμπράττοντος δηλονότι καὶ τοῦ παροινηθέντος ὑπ' αὐτῶν ἡγουμένου, περὶ οὗ φησιν Ἰακὼβ πρὸς τὴν Βηθλεέμ· ἐκ σοῦ ἐξελεύσεται ἡγούμενος, καὶ τὰ ἑξῆς. καὶ μέντοι καὶ πρὸς τοὺς ἀποστόλους οὕτω διηγόρευσεν· ὅταν ἴδητε τὸ βδέλυγμα 5 τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. ὃ δὴ καὶ πεπλήρωται, πρῶτον μὲν κατὰ τὸν καιρὸν τῆς ἁλώσεώς τε καὶ ἐρημώσεως εἴς τε τὸ Ῥωμαϊκὸν στρατόπεδον ἐπεισελθὸν ἐν τῷ 302 M. ἱερῷ καὶ εἰς τὸν τὴν πόλιν ἑλόντα κατὰ τὴν ἐρήμωσιν, ὥς 10 τινες τὸ ῥηθὲν βδέλυγμα οὕτως ἐξειλήφασιν, (ἀποτρόπαιοι γὰρ καὶ βδελυκτοὶ κατὰ τὸν νόμον ὑπάρχοντες εἰκότως προείρηνται βδέλυγμα ἐρημώσεως) ἔπειτα δὲ καὶ εἰς ὅπερ ἔστησεν Ἀδριανὸς ὁ βασιλεὺς εἴδωλον ἑαυτοῦ καὶ τὴν πόλιν τέλεον ἐρημώσας. 15

Περὶ ἧς γοῦν αἰχμαλωσίας ἐσχάτης τῶν ταλαιπώρων Ἰουδαίων καὶ ἡ θεολόγος ἔφη γλῶττα στηλιτεύουσα τὴν ἀνήκεστον ἐρημίαν αὐτῶν διὰ τὴν κατὰ Χριστοῦ τόλμαν. φησὶ γάρ· τοῦ σταυροῦ πρὸς τὴν ἐσχάτην αὐτοὺς συνελαύνοντος ἀπόνοιαν, ἣν κατὰ τοῦ θεοῦ καὶ σωτῆρος 20 ἡμῶν ἀπενοήθησαν, τὸν ἐν ἀνθρώπῳ θεὸν ἀγνοήσαντες καὶ τὴν ῥάβδον τὴν σιδηρᾶν πόρρωθεν ἀπειλουμένην αὐτοῖς ἐφ' ἑαυτοὺς εἵλκυσαν, τὴν νῦν ἐπικρατοῦσαν ἀρχὴν λέγω καὶ βασιλείαν καὶ τὴν τελευταίαν αὐτῶν ἀπαγωγήν τε καὶ

3 Micha 5, 2. — 5 Matth. 24, 15. — 19—23 Greg. Naz. Or. VI (De pace I), 17 Migne Tom. 35, 744 C. — 23—*p.* 404, 11 Greg. *ib. cp.* 18 T. 35, 746 C *insertis quibusdam e cp.* 16 col. 744 A.

4 *καὶ ante πρὸς om.* AN. — 6 *ἑστὸς* FL. — 9 *ἐπεισελθὼν* ALNV *et* recc. nonnulli. — 18 *ἀνήκ. αὐτῶν ἐρημίαν* BN. — *κατὰ τοῦ χριστοῦ* codd. *praeter* FNP. — 21 *ἐπενοήθησαν* BNR. — 23 *ἐφ' ἑαυτοῖς* RV *ἀφ' ἑαυτοὺς* BM *in* F *ἐφ' ἑαυτοῖς in ἐφ' ἑαυτοῦς mut. vid.* — 24 *ἀπαγωγήν τε καὶ* LP Greg. *τε om.* rell.

5 *προδιηγόρευσεν* P.

μετανάστασιν καὶ τὸν νῦν ἐπικείμενον αὐτοῖς τῆς δουλείας ζυγόν, καὶ τὴν περιβόητον ὑπὸ Ῥωμαίοις ταπείνωσιν καὶ διασποράν, ἥν τε νῦν ἔχουσιν, καὶ ἣν ἐπὶ πλεῖστον ἕξουσιν (πείθομαι γὰρ ταῖς περὶ αὐτῶν προρρήσεσιν), τίς θρηνήσει
5 πρὸς ἀξίαν τῶν θρήνους γράφειν εἰδότων καὶ λόγον ἐξισοῦν πάθει; ποῖαι βίβλοι ταῦτα χωροῦσιν; μία στήλη τούτοις τῆς συμφορᾶς ἡ οἰκουμένη πᾶσα, καθ' ἣν ἐσπάρησαν, καὶ ἡ λατρεία πεπαυμένη καὶ αὐτῆς τῆς Ἱερουσαλὴμ τὸ ἔδαφος μόλις γινωσκόμενον, ἧς τοσοῦτον ἐπιβατὸν αὐτοῖς ἐστι μόνον,
10 καὶ τοσοῦτον ἀπολαύουσι τῆς ποτε δόξης αὐτῶν, ὅσον ἐν ἡμέρᾳ φανέντες θρηνῆσαι τὴν ἐρημίαν.

Ὁ οὖν Ἰώσηπος ἐν Ἱερουσαλὴμ παρὼν τῷ πολέμῳ συνέγραψε μυριάδας τ' ἀνδρῶν ἀπολέσθαι τότε, τοὺς μὲν λιμῷ διαφθαρέντας, τοὺς δὲ ὑπ' ἀλλήλων ἐν τῷ συγκλεισμῷ ἀπο-
15 σφαγέντας, καὶ τοὺς μὲν ὑπὸ Ῥωμαίων ἀναιρεθέντας, τοὺς δὲ ὑπὸ πυρὸς τεφρωθέντας, τοὺς δὲ ἐν ἀκμῇ τῆς ἡλικίας
303 M. ὑψηλοτάτους καὶ κάλλει σώματος διαφέροντας τῷ θριάμβῳ ἐν Ῥώμῃ πεμφθῆναι πρὸς θηριομαχίαν, τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ιζ' ἔτη τοὺς μὲν δεσμίους εἰς τὰ κατ'
20 Αἴγυπτον ἔργα παραπεμφθῆναι, τοὺς δὲ πλείους εἰς τὰς ἐπαρχίας διανεμεῖσθαι φθαρησομένους ἐν τοῖς θεάτροις σιδήροις καὶ θηρίοις, τοὺς δὲ ἐντὸς ιζ' ἐτῶν αἰχμαλώτους

12—*p.* 405, 2 Euseb. Hist. eccl. III, 7, 2 *e* Joseph. Bell. VI, 417 *sqq.* (μυριάδας τ' *ex* Eus. III, 5, 5).

1 μετάστασιν ABFM. — 5 λόγων CNPRV λόγους A. — 6 πάθη codd. *praeter* BFL (πάθει recc. plerique). — 7 διεσπάρησαν LM καὶ διεσπάρησαν D. — 9 ἧς] οἷς BFR. — αὐτοῖς ἐπιβατὸν L. — ἐπίβατον AR ἐπιβατὸς V. — 16 ἀγμῇ CLM. — 18 ἐν Ῥώμῃ *om.* MR. — 20 πλείστους A Jos. (*sed* πλείους *etiam* Eus.). — 21 διανενεμῆσθαι F Eus. διανεμηθήσεσθαι L. — 22 ἐντὸς τῶν ιζ' ER.

12 συνεγράψατο P *lit. e* συνεγράψαιτο. — 16 δέ γε ἐν P. — 18 θηρομαχίαν P. — 22 θηρίοις] θεάτροις P.

ἀχθέντας διαπιπράσκεσθαι, τούτων δὲ μόνων τὸν ἀριθμὸν εἰς μυριάδας ἀνδρῶν θ' συναχθῆναι. καὶ δὴ περὶ τῆς καταστροφῆς Ἱερουσαλὴμ ἔφη· τὴν δὲ ἐρήμωσιν τῆς τε πόλεως καὶ τοῦ ναοῦ συνέβη γενέσθαι κατὰ τὴν Δανιήλου προφητείαν πρὸ τετρακοσίων ὀκτὼ γενομένην ἐτῶν. καὶ 5 οὕτω λοιπὸν ἡ τρίτη ἅλωσις γέγονε τῆς Ἱερουσαλὴμ καὶ παντελὴς ἐρήμωσις ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου μετὰ ἔτη μ' τῆς τοῦ κυρίου ἡμῶν ἀναλήψεως.

Ἅπερ δὴ καὶ ὁ θεῖος Χρυσόστομος ἐπεξεργαστικώτερον ἀναπτύσσων διελέγχει τούτους εὖ μάλα φάσκων· εἰ δὲ φιλο- 10 νεικεῖς, ὦ Ἰουδαῖε, περὶ τοῦ τέλους, ἀπὸ τῶν φθασάντων μάνθανε καὶ τὰ παρόντα. σκόπει γάρ· κατέβης εἰς Αἴγυπτον, ἀλλ' ἐγένοντο ἔτη σ', καὶ ταχέως σε τῆς δουλείας ἐκείνης ὁ θεὸς ἀπήλλαξε καίπερ ἀσεβοῦντα καὶ πορνεύοντα πορνείαν τὴν χαλεπωτάτην. ἀπηλλάγης Αἰγύπτου καὶ προσ- 15 εκύνησας μόσχον, ἔθυσας τοὺς υἱοὺς καὶ τὰς θυγατέρας σου τῷ Βεελφεγὼρ καὶ τοῖς δαιμονίοις, τὸν ναὸν ἐμόλυνας, τὴν φύσιν ἠγνόησας, τὰ ὄρη, τὰς νάπας, τοὺς βουνούς, τὰς πηγάς, τοὺς ποταμούς, τοὺς κήπους τῶν μυσαρῶν θυσιῶν ἐπλήρωσας, προφήτας ἔσφαξας, θυσιαστήρια κατέστρεψας, πᾶν 20 εἶδος κακίας ἐπῆλθες καὶ πᾶσαν ὑπερβολὴν ἐπεδείξω πονηρίας καὶ ἀσεβείας. ἀλλ' ὅμως ο' ἔτη σε παραδοὺς Βαβυλωνίοις πάλιν ἐπὶ τὴν προτέραν ἐπανήγαγεν ἐλευθερίαν καὶ

---

2 Jos. Arch. XII, 322. — 5—8 Euseb. H. eccl. III, 8, 8. — 16 Psalm. 105 (106), 37.

1 μόνων V *m. 1 corr. ex* μόνον. μόνον AELPR. — 2 ἐννέα ἀνδρῶν LM. — καὶ δὴ NP καὶ δὴ καὶ ABCEFLV καὶ (*om.* δὴ) R. — 3 τε *om.* BFLMR. — 4 τὴν τοῦ δαν. ANR. — δανιήλου LP Jos. δανιὴλ rell. — 5 τετρακοσίων ὀγδοήκοντα F τετρακοσίων R. — 6 τετάρτη BF. — 7. 8 μ' ἔτη RV. — 8 ἡμῶν *om.* N *et* R *qui* χριστοῦ *pro* κυρίου *exhibent.* — 10 φιλονεικῆς LP φιλονικεῖς AMR φιλονικῆς F. — 16 υἱούς σου NRV. — 21 ὑπῆλθες CF.

1 διαπιπρᾶσθαι P (διαπεπρᾶσθαι Eus.). — 5 καὶ ὀκτὼ P Jos. — 7 ἐπὶ υἱοῦ ἐσπασιανοῦ P. — 9 ἐπεργαστικώτερον P.

τὴν πατρίδα καὶ τὸν ναὸν ἀπέδωκε καὶ τὸ παλαιὸν τῆς προφητείας χάρισμα, καὶ πάλιν προφῆται καὶ πνεύματος ἁγίου χάρις. μᾶλλον δὲ οὐδὲ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας ἐγκατελείφθης, ἀλλὰ καὶ ἐκεῖ Δανιὴλ καὶ Ἰεζεκιήλ, καὶ ἐν
5 Αἰγύπτῳ Ἱερεμίας, καὶ μέντοι καὶ πρὸ τούτων Μωϋσῆς καὶ Ἀαρὼν ἐν τῇ ἐρήμῳ. καὶ μετ' ἐκεῖνα πάλιν ἐπὶ τὴν προ-
304 M. τέραν ἐπανῆλθες κακίαν καὶ ἐξεβακχεύθης καὶ πρὸς τὴν Ἑλληνικὴν μετετάξω πολιτείαν ἐπὶ τοῦ ἀσεβοῦς Ἀντιόχου. ἀλλά γε καὶ τότε παραδοθέντες Ἀντιόχῳ ἔτη γ' τὰ λαμπρὰ
10 διὰ τῶν Μακκαβαίων αὖθις ἐστήσατε τρόπαια. ἀλλὰ νῦν τοιοῦτον οὐδέν, ἀλλὰ τοὐναντίον ἅπαν γέγονεν. ὃ καὶ μάλιστα ἔστι θαυμάσαι, ὅτι τὰ μὲν τῆς κακίας ἔληξεν, τὰ δὲ τῆς τιμωρίας ἐπιτέταται καὶ οὐδὲ ἐλπίδα τινὰ μεταβολῆς ἔχει. οὐ γὰρ ο' ἔτη μόνον παρῆλθον, ἀλλὰ καὶ πολλῷ
15 πλείονα, καὶ οὐδὲ σκιὰν ἐλπίδος ἔστιν εὑρεῖν, καὶ ταῦτα οὐδὲ εἰδωλολατρούντων ὑμῶν οὔτε ἄλλο τι ποιούντων, ἅπερ ἔμπροσθεν ἐτολμᾶτε.

Ἵνα δὲ σαφέστερον καὶ διεξοδικώτερον τὰ περὶ τούτων εἴπωμεν, ἄνωθεν πάλιν ἀρξώμεθα. τρεῖς οὖν δουλείας ὑπέ-
20 στησαν οἱ Ἰουδαῖοι χαλεπωτάτας καὶ οὐδεμίαν χωρὶς προρρήσεως αὐτοῖς ἐπήγαγεν ἡ θεία δίκη, ἀλλὰ προλεχθῆναι παρεσκεύασεν αὐτοῖς καὶ τόπον καὶ χρόνον καὶ τρόπον καὶ κάκωσιν καὶ τὴν ἐπάνοδον καὶ τἄλλα πάντα μετὰ πολλῆς ἀκριβείας. καὶ περὶ μὲν τῆς ἐν Αἰγύπτῳ πρώτης διαλεγό-
25 μενος ὁ θεὸς οὕτως ἔφη πρὸς τὸν Ἀβραάμ· γινώσκων γνῶθι ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ καὶ δου-

---

19—p. 407, 3 Chrysost. adv. Judaeos V, 5 Migne T. 48, 890. — 25 Gen. 15, 13—16.

4 ἐκεῖ δανιὴλ ANP δανιὴλ ἐκεῖ rell. — 5 πρὸ τούτον N πρὸ τούτοις R πρὸ τοῦ B. — 10 ἐστήσατο B ἔστησε P. — 13 ἐπιτέτακται BEGM ἐπιτέτατται V ἐπιτέτταται R. — 16 οὐδὲ] οὔτε ADELV. — 19 εἴπομεν CF. — 20 οἱ *om.* ABENV. — 24 α' *mg.* AV *et sic deinceps.*

λώσουσιν αὐτοὺς καὶ κακώσουσιν ἔτη υ΄. τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσιν, κρινῶ ἐγώ, εἶπεν ὁ θεός. τετάρτῃ δὲ γενεᾷ ἐλεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. περὶ δὲ τῆς δευτέρας φησὶν Ἱερεμίας· οὕτως εἶπε κύριος· ὅταν μέλλῃ πληροῦσθαι τῇ Βαβυλῶνι ο΄ ἔτη, ἐπισκέψομαι ὑμᾶς καὶ ἐπι- 5
στήσω ἐφ' ὑμᾶς τοὺς ἀγαθοὺς λόγους μου τοῦ ἀποστρέψαι εἰς τὸν τόπον τοῦτον, καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν ὑμῶν καὶ ἀθροίσω ὑμᾶς ἐκ τῶν ἐθνῶν πάντων καὶ ἐκ τῶν τόπων ὑμῶν πάντων, οὗ διέσπειρα ὑμᾶς ἐκεῖ, φησὶ κύριος, καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον, ὅθεν ἀπῴκισα ὑμᾶς ἐκεῖθεν. 10
δύο μέντοι ταύτας δουλείας ὁ λόγος διὰ συντομίας ἀπέδειξε μετὰ προφητείας ἐπελθούσας αὐτοῖς, καὶ οὐχ ἁπλῶς οὐδὲ ἀπροσδοκήτως. λείπεται δὴ οὖν λοιπὸν τὴν τρίτην ἐπαγα- 305 M.
γεῖν, εἶτα καὶ περὶ τῆς νῦν τετάρτης κατεχούσης αὐτοὺς εἰπεῖν καὶ δεῖξαι σαφῶς, ὅπως οὐδὲ εἷς προφήτης ἐπηγ- 15
γείλατο λύσιν ἔσεσθαί τινα τῶν κατεχόντων αὐτοὺς κακῶν, οὔτε μὴν ἀπαλλαγὴν τὸ σύνολον.

Τίς οὖν ἐστιν ἡ τρίτη; ἡ ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. ἐπειδὴ γὰρ Ἀλέξανδρος ὁ Μακεδόνων βασιλεὺς Δαρεῖον τὸν Περσῶν βασιλέα καθελὼν εἰς ἑαυτὸν περιέστησε τὴν ἀρχήν, 20
τελευτήσαντος τούτου τέσσαρες μετ' ἐκεῖνον ἐγένοντο βασιλεῖς, εἶτα ἐξ ἑνὸς τῶν τεσσάρων τούτων γενόμενος ὁ Ἀντίοχος μετὰ πολὺν ὕστερον χρόνον τό τε ἱερὸν ἐνέπρησε τά τε ἅγια τῶν ἁγίων ἠρήμωσε τάς τε θυσίας καθεῖλε τούς τε Ἰουδαίους ὑπέταξε καὶ τὴν πολιτείαν αὐτῶν κατέλυσε πᾶσαν. 25

3—10 Chrys. adv. Judaeos V, 5 Migne T. 48, 891. — 4 Jer. 29 (36), 10; 14. — 11—*p.* 411, 9 Chrys. *ib. cp.* 6 *et* 7 Migne 893*sqq.*

1 *αὐτὸ* BF Chr. — *ὃ* ACLM. — 2 *δουλεύσουσι* CFV. — 9 *ὁ κύριος* MR. — 10 *ἀπώκησα* ABNP. — 13 *δὴ om.* BM. — *λοιπὸν τὴν om.* V *λοιπὸν om.* LNR *post ἐπαγαγεῖν ins.* B. — 14 *κατεχούσης αὐτοὺς τετάρτης* BL. — 18 *ἐπ'* AB. — 19 *ὁ τῶν μακ. βασ.* ACF Chr. *ὁ μακεδὼν* B. — 19. 20 *τὸν* (*τῶν* M) *περσῶν βασιλέα* ANP *τὸν βασιλέα τῶν* (*τῶν om.* F) *περσῶν* rell. (*τὸν τῶν Π. βασ.* Chr.).

5 *ἔτη ο΄* P.

καὶ ταῦτα πάντα μετὰ ἀκριβείας ἁπάσης καὶ μέχρι μιᾶς ἡμέρας προηγορεύετο παρὰ τοῦ Δανιήλ, καὶ πότε ἔσται καὶ πῶς καὶ παρὰ τίνι καὶ τίνι τρόπῳ καὶ ποῦ τελευτήσει καὶ τίνα λήψεται μεταβολήν. εἴσεσθε δὲ σαφέστερον ἀκούσαντες
5 αὐτῆς τῆς ὁράσεως, ἣν διὰ παραβολῆς ἡμῖν ὁ προφήτης ἀνήγγειλεν, κριὸν μὲν καλῶν τὸν τῶν Περσῶν βασιλέα Δαρεῖον, τράγον δὲ τὸν τῶν Ἑλλήνων βασιλέα Ἀλέξανδρον τὸν Μακεδόνα. τέσσαρα δὲ κέρατα λέγει τοὺς μετ' ἐκεῖνον ἀναστάντας, ἀφ' ὧν ὕστερον κέρας αὐτὸς ὁ Ἀντίοχος ἔφυ. φησὶ
10 γάρ· εἶδον ἐν ὁράματι, καὶ ἰδοὺ κριὸς εἷς ἑστηκώς, καὶ αὐτῷ κέρατα ὑψηλά, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου. καὶ τὸ ὑψηλὸν ἀνέβαινεν ἐπ' ἐσχάτων. καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶν καὶ νότον, καὶ τὰ θηρία πάντα οὐ στήσεται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ
15 ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ, καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ καὶ ἐμεγαλύνθη. τὴν δύναμιν λέγει τὴν Περσικήν, ἣ πᾶσαν ἐπέδραμε τὴν γῆν. εἶτα περὶ τοῦ Μακεδόνος Ἀλεξάνδρου διαλεγόμενός φησιν· καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο
306 M. ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ οὐκ ἦν ἁπτό-
20 μενος τῆς γῆς, καὶ τῷ τράγῳ ἐκείνῳ κέρας ἐθεωρεῖτο ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. εἶτα λέγων τὴν πρὸς Δαρεῖον συμβολὴν αὐτοῦ γεγενημένην καὶ τὴν κατὰ κράτος νίκην· ἦλθεν, φησίν, ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, καὶ ἠγριώθη καὶ ἔπαισε τὸν κριὸν καὶ συνέτριψεν ἀμ-
25 φότερα τὰ κέρατα αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ. ἔπειτα διηγούμενος τὴν Ἀλεξάνδρου τελευτὴν καὶ τὴν τῶν τεσσάρων βασιλέων διαδοχὴν ἐπάγει λέγων· καὶ

10 Dan. 8, 3; 4. — 18 Dan. 8, 5. — 23 Dan. 8, 6; 7. — 27 Dan. 8, 8.

2. 3 καὶ πῶς *om.* CF. — 4 εἴσεσθε EM ἔσεσθε B ἴσεσθε *et* ἴσεσθαι rell. — 7 δὲ] τε BP. — βασιλέα ἀλέξανδρον BP Chr. ἀλέξανδρον βασιλέα rell. — 13 βορρᾶν καὶ λίβα καὶ νότον N. — 16 λέγων FR. — 17 ἢ ALV ἢ M. — 19 καὶ οὐκ — 20 γῆς *om.* N. — 22 συμβουλὴν MP. — γενομένην ABM Chr.

ἐν τῷ ἰσχῦσαι αὐτὸν συνετρίβη τὸ κέρας τὸ μέγα, καὶ ἀνέβη κέρατα δ´ ὑποκάτωθεν αὐτοῦ εἰς τοὺς δ´ ἀνέμους τοῦ οὐρανοῦ. ἐντεῦθεν λοιπὸν ἐπὶ τὴν Ἀντιόχου βασιλείαν ἐλθὼν καὶ δεικνύς, ὅτι ἐξ ἑνὸς ἐκείνων τῶν τεσσάρων ἐστίν, πάλιν φησίν· καὶ ἐξῆλθεν ἐκ τοῦ ἑνὸς ἰσχυρὸν καὶ ἐμεγαλύνθη 5 περισσῶς πρὸς νότον καὶ πρὸς ἀνατολήν. καὶ σημαίνων, ὅτι τὴν Ἰουδαϊκὴν πολιτείαν καθελεῖ, φάσκει· καὶ δι' αὐτὸν θυσία ἐταράχθη παραπτώματι, καὶ ἐγενήθη καὶ κατευοδώθη αὐτῷ, καὶ τὸ ἅγιον ἐρημωθήσεται, καὶ δοθήσεται ἐπὶ τὴν θυσίαν ἁμαρτία. τοῦ γὰρ βωμοῦ καθαιρεθέντος, καὶ τῶν 10 ἁγίων καταπατηθέντων, εἴδωλον ἔστησεν ἔνδον καὶ θυσίας ἐπετέλει τοῖς δαίμοσι παρανόμους. ὅθεν φησίν· καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη, καὶ ἐποίησε καὶ εὐοδώθη. εἶτα πάλιν ἐκ δευτέρου τὴν αὐτὴν βασιλείαν Ἀντιόχου τοῦ Ἐπιφανοῦς λέγων καὶ τὴν αἰχμαλωσίαν καὶ τὴν ἅλωσιν καὶ τὴν ἐρή- 15 μωσιν τοῦ ἱεροῦ προστίθησι καὶ τὸν χρόνον. ἀρξάμενος γὰρ ἀπὸ τῆς Ἀλεξάνδρου βασιλείας αὖθις πρὸς τῷ τέλει τοῦ βιβλίου καὶ τὰ μεταξὺ πάντα διηγησάμενος, ὅσα οἱ Πτολεμαῖοι καὶ οἱ Σέλευκοι συρραγέντες ἀλλήλοις ἐποίησαν, καὶ οἱ στρατηγοὶ τούτων εἰργάσαντο, τοὺς δόλους, τὰς νίκας, 20 307 M. τὰς στρατιάς, τὰς ναυμαχίας, τὰς πεζομαχίας, προϊὼν εἰς Ἀντίοχον τελευτᾷ πάλιν καί φησιν· βραχίονες ἐξ αὐτοῦ στήσονται καὶ βεβηλώσουσι τὸ ἁγίασμα καὶ μεταστήσουσι τὸν ἐνδελεχισμόν, (τὰς συνήθεις λέγων θυσίας καὶ καθημερινάς), καὶ δώσουσιν εἰς αὐτὸν βδέλυγμα, καὶ τοὺς ἀνομοῦντας 25 διαθήκην (τοῦτ' ἔστι τοὺς παραβαίνοντας τῶν Ἰουδαίων) ἀπάξουσιν ἐν ὀλισθήμασι μεθ' ἑαυτῶν καὶ μεταστήσουσιν,

---

5 Dan. 8, 9. — 7 Dan. 8, 11; 12. — 12 Dan. 8, 12. — 22 Dan. 11, 31 *sqq*.

6 πρὸς νῶτον περισσῶς N. — 7 δι' αὐτῶν ABFV. — 8 κατευωδώθη EL *et* D *m. 2*. — 13 εὐωδώθη EM εὐωδόθη L εὐοδώθην V. — 18 τὰ *om*. BN. — 20 δούλους BN. — 21 στρατειάς P στρατείας E Chr. στρατίας C στρατηγίας F. — 27 ἀποτάξουσιν A ἀσπάζουσιν P.

καὶ λαὸς γινώσκων τὸν θεὸν αὐτοῦ κατισχύσουσιν (*τὰ ἐπὶ τῶν Μακκαβαίων λέγων καὶ τὰ ἐπὶ Ἰούδα καὶ Σίμωνος καὶ Ἰωάννου*). *καὶ οἱ συνετοὶ λαοῦ συνήσουσιν εἰς πολλὰ καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ καὶ ἐν φλογί* (*τὸν ἐμπρησμὸν τῆς*
5 *πόλεως ἐξηγούμενος πάλιν*) *καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρπαγῇ ἡμερῶν, καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς βοηθήσονται βοήθειαν μικράν* (*ἐμφαίνων ὅτι μεταξὺ τῶν κακῶν ἐκείνων δυνήσονται ἀναπνεῦσαι καὶ ἀνενεγκεῖν ἐκ τῶν κατειληφότων αὐτοὺς δεινῶν*) *καὶ προστεθήσονται πρὸς αὐτοὺς πολλοὶ ἐν*
10 *ὀλισθήμασι καὶ ἀπὸ τῶν συνιόντων ἀσθενήσουσιν* (*δεικνὺς ὅτι πολλοὶ καὶ τῶν ἑστώτων πεσοῦνται*). *εἶτα καὶ τὴν αἰτίαν, δι' ἣν συνεχώρησεν αὐτοὺς ὁ θεὸς ἐν τοσούτοις κακοῖς γενέσθαι. τίς δὲ αὕτη; τοῦ πυρῶσαι, φησίν, ἐν αὐτοῖς καὶ τοῦ ἐκλέξασθαι καὶ τοῦ ἐκλευκᾶναι ἕως καιροῦ πέρας. ταῦτα*
15 *γάρ, φησίν, ὁ θεὸς συνεχώρησεν, ὥστε αὐτοὺς ἐκκαθᾶραι καὶ δεῖξαι τοὺς ἐν αὐτοῖς δοκίμους. εἶτα διηγούμενος αὐτοῦ ἐκείνου τὴν δύναμιν ἔφη· καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ καὶ ὑψωθήσεται καὶ μεγαλυνθήσεται. καὶ μέντοι καὶ τὴν βλάσφημον αὐτοῦ γνώμην λέγων προσέθηκεν ὅτι· ἐπὶ*
20 *τὸν θεὸν τῶν θεῶν λαλήσει ὑπέρογκα καὶ κατευθυνεῖ μέχρι συντελεσθῆναι τὴν ὀργήν, δεικνὺς ὅτι οὐκ ἀπὸ τῆς οἰκείας γνώμης, ἀλλὰ διὰ τὴν ὀργὴν τοῦ θεοῦ τὴν κατὰ τῶν Ἰουδαίων οὕτως ἐκεῖνος ἐκράτει καὶ ἴσχυεν. εἰπὼν οὖν δι'*
308 M. *ἑτέρων πλειόνων, ὅσα κακὰ ἐργάσεται τὴν Αἴγυπτον, τὴν*
25 *Παλαιστίνην, καὶ πῶς ἐπανήξει, καὶ τίνος καλοῦντος, καὶ ποίας αἰτίας καταναγκαζούσης, λέγει λοιπὸν καὶ τὴν μετα-*

---

1 *καὶ λαὸς — κατισχύσουσιν om.* N. — 3 *τοῦ λαοῦ* FR. — 6 *βοηθηθήσονται* ACFLMV *βοηθήσονται* (θ supra σ) (*sic m. 1*) B. — 8 *ἐνεγκεῖν* BM *εὖ ἐνεγκεῖν* R. — 10 *συνιέντων* FR. — 14 *ἐκλευκέναι* B *ἐκλευκάναι* rell. *praeter* AE. — 15 *ἐκκαθάραι* codd. plerique. — 18 *καὶ ante τὴν om.* N. — 19 *λέγων γνώμην* N *λέγων om.* B. — *προστέθηκεν* N. — 25 *καὶ ante πῶς om.* N Chr.

11 *ὅτι καὶ πολλοί* P. — 13 *τίς δέ ἐστιν αὕτη* P Chr.

βολὴν τῶν πραγμάτων τούτων, καὶ ὅτι δίκην δόντες οἱ Ἰουδαῖοι διὰ τούτων ἁπάντων τεύξονταί τινος ἀντιλήψεως ἀγγέλου πεμφθέντος εἰς τὴν ἐκείνων βοήθειαν. ἐν τῷ καιρῷ, γάρ φησιν, ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ μέγας ἄρχων ὁ ἐφεστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου, καὶ ἔσται καιρὸς 5 *θλίψεως, οἷος οὐ γέγονεν ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς καὶ ἕως τοῦ καιροῦ ἐκείνου. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται λαὸς πᾶς ὁ γεγραμμένος ἐν τῇ βίβλῳ, τοῦτ' ἔστιν οἱ σωτηρίας ὄντες ἄξιοι.*

Ἀλλὰ τὸ ζητούμενον οὔπω καὶ νῦν ἀναδέδεικται. τί δὲ 10 *τοῦτό ἐστιν; ὅτι καὶ χρόνους ὥρισεν ἐν τοῖς κακοῖς τούτοις, ὥσπερ ἐκεῖ ἔτη υ' καὶ μετὰ ταῦτα ο'. ἴδωμεν τοίνυν καὶ ἐνταῦθα, εἴ τινα χρόνον ὁρίζει. ποῦ δὴ τοῦτο ἔστιν εὑρεῖν; ἐν τοῖς μετὰ ταῦτα λεχθησομένοις. ἐπειδὴ γὰρ τὰ πολλὰ καὶ μεγάλα ἤκουσε κακά, τὸν ἐμπρησμὸν τῆς πόλεως, τὴν* 15 *ἀνατροπὴν τοῦ νόμου, τὴν αἰχμαλωσίαν, ἐπιθυμεῖ λοιπὸν τὸ τέλος αὐτῶν μαθεῖν καὶ εἴ τις ἔσται τῶν συμφορῶν τούτων μεταβολή, καὶ διερωτῶν ἔλεγεν οὕτως· κύριε, τί τὰ ἔσχατα τούτων; καὶ εἶπεν· δεῦρο, Δανιήλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι εἰσὶν οἱ λόγοι ἕως καιροῦ πέρας, τὸ ἀσαφὲς* 20 *τῶν εἰρημένων αἰνιττόμενος. εἶτα καὶ τὴν αἰτίαν τῆς συγχωρήσεως τῶν κακῶν· ἕως ἂν ἐκλεγῶσι καὶ ἐκλευκανθῶσι καὶ πυρωθῶσι πολλοί, καὶ ἀνομήσουσιν ἄνομοι, καὶ συνή-*

---

3 Dan. 12, 1. — 10—*p.* 412, 22 Chrys. adv. Judaeos V, 8 Migne T. 48, 895 *med.* — 18 Dan. 12, 8; 9. — 22 Dan. 12, 10.

3 *ἐκείνου* L *ἐκεῖθεν* N. — 8 *λαὸς πᾶς ὁ* ABENP *πᾶς λαὸς ὁ* V *πᾶς ὁ λαὸς ὁ* FL *ὁ λαὸς πᾶς ὁ* C Chr. *λαὸς om.* R. — 10 *ἀναδέδεικται* APR *ἀποδέδεικται* rell. Chrys. — 11 *καὶ om.* N. — 13 *δὴ*] *δὲ* BC *et* recc. nonnulli. — 18 *καὶ δὴ ἐρωτῶν* LP (*καὶ ἐρωτῶν* Chrys.). — 20 *ἀσφαλὲς* N. — 23 *ἀνομήσουσιν* BFMPV *et* recc. plerique *ἀνομήσωσιν* rell. Dan.

4 *ὁ μέγας ὁ ἄρχων* P (*ὁ ἄρχων ὁ μέγας* Dan. Chr.). — 12 *μετὰ* [τε] *ταῦτα sic m. 1* P.

σουσι πάντες ἀσεβεῖς, καὶ οἱ νοήμονες συνήσουσιν. εἶτα τὸν καιρὸν προλέγων, ὅσον μέλλει κατέχειν αὐτοὺς τὰ δεινά, φησίν· ἀπὸ καιροῦ παραλλάξεως ἐνδελεχισμοῦ. ἐνδελεχισμὸς δὲ ἐκαλεῖτο ἡ καθημερινὴ θυσία. τὸ γὰρ ἐνδελεχὲς τὸ
5 πυκνὸν καὶ συνεχές ἐστιν. τοῖς γὰρ Ἰουδαίοις ἔθος ἦν καὶ
309 M. ἐν πρωῒ καὶ ἐν ἑσπέρᾳ καὶ καθ' ἑκάστην ἡμέραν τῷ θεῷ θύειν, καὶ διὰ τοῦτο ἡ θυσία ἐκείνη ἐνδελεχισμὸς ἐλέγετο. ἐπεὶ οὖν ἐλθὼν ὁ Ἀντίοχος κατέλυσε τὸ ἔθος τοῦτο καὶ ἤλλαξεν, διὰ τοῦτό φησιν ὁ ἄγγελος, ὅτι ἀπὸ καιροῦ τῆς
10 ἀλλάξεως τοῦ ἐνδελεχισμοῦ, τοῦτ' ἔστιν ἀπὸ τῆς καταλύσεως τῆς θυσίας, εἰσὶ δὲ ἡμέραι ͵ασϙʹ, ὅπερ ἐστὶν ἔτη γʹ ἥμισυ. εἶτα δηλῶν, ὅτι καὶ λύσις τῶν κακῶν τούτων ἔσται καὶ ἀπαλλαγή, ἐπήγαγεν· μακάριος ὁ ὑπομείνας καὶ φθάσας εἰς ἡμέρας ͵ατλεʹ, ταῖς ͵ασϙʹ μεʹ προσθείς. ἐπειδὴ γὰρ ἐν
15 μηνὶ καὶ ἥμισυ μηνὸς τὴν συμβολὴν συνέβη γενέσθαι, ἐν ᾗ γέγονε καθαρὰ ἡ νίκη καὶ ἡ παντελὴς τῶν ἐπικειμένων κακῶν ἀπαλλαγή. εἰπὼν γάρ· μακάριος ὁ ὑπομείνας καὶ φθάσας εἰς ἡμέρας ͵ατλεʹ, τὴν ἀπαλλαγὴν ἐδήλωσεν. καὶ οὐχ ἁπλῶς εἶπεν· ὁ φθάσας. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀσε-
20 βησάντων εἶδον τὴν μεταβολήν, οὐκ ἐκείνους μακαρίζει, ἀλλὰ τοὺς ἐν τοῖς καιροῖς τῶν κακῶν ὑπομείναντας καὶ μὴ προδόντας τὴν εὐσέβειαν καὶ τῆς ἀνέσεως τυχόντας.

Ἆρα τί τούτων σαφέστερον γένοιτ' ἄν; ὥρα δὴ λοιπὸν ἐπὶ τὸ ζητούμενον ἐλθεῖν καὶ τὴν παροῦσαν αἰχμαλωσίαν
25 καὶ δουλείαν, δι' ἣν καὶ πάντα κεκινήκαμεν ταῦτα. ὅτι

---

3 Dan. 12, 11. — 13 Dan. 12, 12. — 23—*p.* 414, 4 Chrys. *ib. cp.* 9 Migne 897 *med.*

1 οἱ ἀσεβεῖς RV Chr. — εἶτα καὶ τὸν N. — 2 αὐτοὺς κατέχειν CF. — 3 ἐνδελεχισμοῦ. τί ἐστιν ἐνδελεχισμός· ἐνδελ. δὲ ἐκαλ. C τί ἐστιν ἐνδελεχισμός ADE *in mg. exhibent.* — 7 διὰ τοῦτο — 8 ἐλθὼν *om.* N. — 15 ἡμίσει BF Chr. — 23 ἄρα CLRV. — ὡρα D ὅρα ABPRV ἄρα F. — 25 καὶ *ante* πάντα *om.* N.

14 ταῖς — 18 ͵ατλεʹ *om.* P *ex homoeotel.*

μὲν οὖν αἱ τρεῖς προανηγορεύθησαν αἰχμαλωσίαι, ἡ μὲν ἔτη ἔχουσα υ', ἡ δὲ ο', ἡ δὲ γ' ἥμισυ, ἱκανῶς ἐντεῦθεν ἡμῖν ὡς οἷόν τε ἀποδέδεικται. φέρε δὴ λοιπὸν καὶ περὶ ταύτης εἴπωμεν. ὅτι γὰρ καὶ περὶ τῆς ἐσχάτης ταύτης τετάρτης καὶ τελευταίας αἰχμαλωσίας προανεφώνησεν ὁ προφήτης οὗτος, 5 αὐτὸν παρέξομεν Ἰώσηπον μάρτυρα τὸν τὰ ἐκείνων φρονοῦντα. ἐπειδὴ γὰρ εἶπε τὰ περὶ τῆς ἐπ' Ἀντιόχου αἰχμαλωσίας καὶ μάρτυρα τὸν προφήτην παρήγαγεν, ἐπάγει καὶ 310 M. περὶ ταύτης καί φησιν· τὸν αὐτόν γε τοι τρόπον Δανιὴλ καὶ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀνέγραψεν, καὶ ὅτι ὑπ' 10 αὐτῶν ἐρημωθήσεται τὰ Ἱεροσόλυμα, καὶ ὁ ναὸς καταλυθήσεται. σὺ δέ μοι σκόπει τὸ φιλάληθες τοῦ ἀνδρός, ὡς, εἰ καὶ Ἰουδαῖος ἦν, ἀλλ' οὐκ ἠνέσχετο ζηλῶσαι τὴν Ἰουδαϊκὴν φιλονεικίαν τε καὶ ψευδηγορίαν. εἰπὼν γὰρ ὅτι ἐρημωθήσεται τὰ Ἱεροσόλυμα ⟨οὐκ ἐτόλμησε προσθεῖναι καὶ φάναι, 15 ὅτι ἀναστήσεται πάλιν οὐδὲ χρόνον γράψαι διωρισμένον. ἀλλ' ὅτι μὲν ἐρημωθήσεται τὰ Ἱεροσόλυμα⟩ καὶ ὁ ναὸς ἔγραψεν, ὅτι δὲ στήσεταί που τὰ τῆς ἐρημίας οὐκέτι προσέθηκεν, ἐπειδὴ μηδὲ τὸν προφήτην εὗρε τοιοῦτόν τι προσθέντα. ποῦ τοίνυν εἶπεν ὁ Δανιήλ, ὅτι ὁ ναὸς ἐρημωθήσεται, ἄκου- 20 σον. ἐπειδὴ γὰρ τὴν προσευχὴν ἐκείνην τὴν ἐν σάκκῳ καὶ σποδῷ ἐποιήσατο, ἦλθε Γαβριὴλ πρὸς αὐτὸν καί φησιν·

---

7 Joseph. Arch. X, 276.

1. 2 ἔχουσα ἔτη LN. — 4 εἴπομεν CFM. — περὶ τῆς ἐσχάτης ταύτης τετάρτης P περὶ τῆς ἐσχάτης τετάρτης BCELV περὶ τῆς ἐσχάτης καὶ τετάρτης N περὶ τῆς τετάρτης ἐσχάτης FG περὶ τῆς τετάρτης καὶ ἐσχάτης R περὶ τῆς ἐσχάτης A (περὶ ταύτης Chr.). — 5 οὕτως AV *et* recc. nonnulli. — 6 παρέξωμεν ABCN *et* recc. quidam. — 7 ἐπὶ CL *om.* B. — 9 καὶ δανιὴλ καὶ N. — 10 τῶν ῥωμαίων AN. — 12 ἀνδρὸς ὃς εἰ καὶ ἰουδ. ὢν οὐκ ἦν. C ἀνδρὸς καὶ ὅτι ἰουδ. ὢν οὐκ ἦν. B. — εἰ *om.* L *et* recc. plerique. — 13 ἀλλ' *om.* L. — 15 οὐκ ἐτόλμησε — 17 τὰ ἱεροσόλυμα *add. e* P Chrys. *om.* rell. *ex homoeotel.* — 20 ἐρημωθήσεται ὁ ναός BR.

1 προανηγορεύθη P. — 9 καὶ *om.* P. — 19 ηὗρε P.

ο′ ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν. ἰδοὺ καὶ ἐνταῦθα χρόνος εἴρηται, οὐ τῆς αἰχμαλωσίας, ἀλλὰ μεθ' ὅσον χρόνον ἔμελλεν ἡ αἰχμαλωσία ἀπαντήσεσθαι. εἶτα πάλιν φησὶν ἀκριβέστερον· καὶ γνώσῃ
5 καὶ συνήσεις ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ζ′ καὶ ἑβδομάδες ξβ′. ἐνταῦθά μοι νουνεχῶς πρόσεχε· τὸ γὰρ πᾶν ἐνταῦθά ἐστι τὸ ζητούμενον. ἑβδομάδες οὖν ζ′ καὶ ἑβδομάδες ξβ′ υπγ′ ἔτη εἰσίν. ἑβδομάδας γὰρ οὐχ ἡμε-
10 ρῶν ἐνταῦθα λέγει οὐδὲ μηνῶν, ἀλλ' ἑβδομάδας ἐνιαυτῶν. ἀπὸ δὲ Κύρου ἐπὶ Ἀντίοχον τὸν Ἐπιφανῆ καὶ τὴν αἰχμαλωσίαν ἐκείνην ἔτη εἰσὶ τϑδ′. εἶτα διδάσκων ἡμᾶς πόθεν ἀριθμεῖν δεῖ, ὅτι οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπανόδου, ἀλλ' ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι
15 Ἱερουσαλήμ. οὐκ ἐπὶ Κύρου δὲ ᾠκοδομήθη, ἀλλ' ἐπὶ τοῦ Ἀρταξέρξου τοῦ Μακρόχειρος. μετὰ γὰρ τὴν κάθοδον ἐπανῆλθε Καμβύσης, εἶτα οἱ μάγοι, καὶ μετ' ἐκείνους Δαρεῖος Ὑστάσπου, μεθ' ὃν Ξέρξης ὁ Δαρείου καὶ Ἀρταβάνης. εἶτα Ἀρταξέρξης ὁ Μακρόχειρ ἐβασίλευσε τῆς Περσίδος. ἐν δὲ
20 τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ Νεεμίας ἀνελθὼν τὴν πόλιν ἀνέστησεν, ἅπερ ὁ Ἔσδρας ἀκριβῶς ἡμῖν διηγήσατο.
311 M. ἂν τοίνυν ἐντεῦθεν τετρακόσια καὶ ὀγδοήκοντα ἔτη θῶμεν,

1 Dan. 9, 24. — 4 — *p.* 415, 18 Chrys. *ib. cp.* 10 Migne 898 *sub fin. praeter p.* 415, 1 ὡς καὶ Ἰώσηπος — 4 ἐτῶν, *repetita e p.* 405, 2. — 4 Dan. 9, 25.

4 ἀπαντήσασθαι BM. — γνώσει ADP. — 5 συνήσει ADP συνήσῃς M. — λόγον C λόγου R Chr. Dan. — 10 ἀλλὰ AB. — ἑβδομάδες MV. — 11 ἐπιφανὴν A ἐπιφάνην P. — 12. 13 πόθεν ἀριθμεῖν χρὴ δείκνυσιν ὅτι Chrys. — 13 ἀλλὰ ἀπὸ AC ἀλλὰ τὸ M. — 14 οἰκοδομηθῆναι AV. — 18 ὁ ὑστάσπου V Chr. — μεθ' ὧν ACM. — 20 νεμίας CF νομίας B νεεμείας M. — 22 καὶ ὀγδοήκοντα τρία Chr.

2 οὐ] ὁ P. — 4. 5 γνώσει καὶ συνήσει P *sed* καὶ *m. 1 in lit. et* συνήσει *m. 1 spr. vers.*

ἥξομεν πάντως ἐπὶ τὴν κατασκαφὴν ταύτην, ὡς καὶ Ἰώσηπος αὖθις μαρτυρεῖ λέγων· τὴν δὲ τῆς πόλεως ἐρήμωσιν καὶ τοῦ ναοῦ συνέβη γενέσθαι κατὰ τὴν Δανιήλου προφητείαν πρὸ τετρακοσίων καὶ ὀκτὼ γενομένην ἐτῶν. διὰ τοῦτό φησιν· οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος. ἐπειδὰν 5 οὖν ἀναστῇ καὶ τὸ οἰκεῖον ἀπολάβῃ σχῆμα, ἀπ' ἐκείνου τὰς ο' ἑβδομάδας ἀρίθμει, καὶ ὄψει τὴν αἰχμαλωσίαν τὴν οὐκέτι τέλος ἔχουσαν. ὅπερ δηλῶν σαφέστερον, ὅτι οὐχ ἕξει τινὰ λύσιν τὰ κατέχοντα αὐτοὺς κακά, οὕτω φησίν· μετὰ δὲ τὰς ο' ἑβδομάδας ἐξολοθρευθήσεται χρίσμα καὶ κρίμα οὐκ ἔσται 10 ἐν αὐτῇ, καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ συγκοπήσονται ὡς ἐν κατακλυσμῷ καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς. καὶ πάλιν τὴν αἰχμαλωσίαν ταύτην λέγων φησίν· ἀρθήσεται θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώ- 15 σεως, συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν. βδέλυγμα δὲ λέγει ἐρημώσεως τὸν ἀνδριάντα, ὃν ἔστησεν Ἀδριανὸς ὁ βασιλεὺς ἐν τῷ ναῷ, ὁ καὶ τὴν πόλιν καθελὼν ἄρδην. μετὰ γὰρ τὴν ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν ἐπὶ Ἀδριανοῦ συστάντες οἱ Ἰουδαῖοι ἐσπούδαζον ἐπὶ τὴν 20 προτέραν πολιτείαν ἐπανελθεῖν οἱ μάταιοι θεομαχοῦντες καὶ μὴ ἀκούοντες τοῦ προφήτου λέγοντος· ἃ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει; στασιάσαντες οὖν πάλιν ἑαυτοὺς εἰς

2 Jos. Arch. XII, 322. — 5 Dan. 9, 25. — 9 Dan. 9, 26. — 14 Dan. 9, 27. — 18—*p*. 416, 10 Chrys. *ib*. V, 11 Migne 900 *init. praeter verba* 21 οἱ μάταιοι — 24 ἀποστρέψει. — 22 Jes. 14, 27.

1 ἥξωμεν ABCFN. — 2 λέγων] φάσκων N. — 3 λαοῦ DF *et* recc. nonnulli. — δανιήλου προφ. EL Jos. προφ. δανιήλου P δανιὴλ (τοῦ δ. AC *et* recc. quidam) προφ. rell. — 6 ἀπολαύῃ C ἀπολάβοι N. — 7 ἀριθμεῖ CF. — 8 οὐχέξῃ M οὐκ ἕξει F οὐκέξει P οὐκ ἔχει A. — 13 τετμημένου BM. — 16 συντελεία AM. — 19 ἐπὶ οὐεσπασιανοῦ EFLNPV ἐπὶ *om*. ABCR Suid. *v*. βδέλυγμα ἐρημώσεως Chr.

22 ἃ γὰρ P Jes.

τελείαν ἐρήμωσιν κατέστησαν. χειρωσάμενος γὰρ αὐτοὺς ὁ βασιλεὺς καὶ τὴν πόλιν πᾶσαν καταστρέψας καὶ τὰ λείψανα ἀφανίσας πάντα, ἵνα μηδὲ ἀναισχυντεῖν ἔχωσι λοιπόν, ἔστησε τὸν ἑαυτοῦ ἀνδριάντα. εἶτα συνιδὼν ὅτι συμβαίνει χρόνῳ
5 *ποτὲ καταπεσεῖν τοῦτον, ὥστε αὐτοῖς ἐνθεῖναι καυτῆρα καὶ πληγὴν ἀνίατον τῆς ἀναισχυντίας ἐκείνης καὶ ἥττης ἔλεγχον, τὸ ἑαυτοῦ ὄνομα τοῖς τῆς πόλεως ἐπέθηκε λειψάνοις. ἐπειδὴ*
312 M. *γὰρ Αἴλιος Ἀδριανὸς ἐχρημάτιζεν, οὕτω καὶ τὴν πόλιν ἐνομοθέτησε καλεῖσθαι, διὸ μέχρι καὶ νῦν Αἰλία προσαγορεύεται*
10 *κατὰ τὴν ἐπωνυμίαν τοῦ κρατήσαντος αὐτὴν καὶ καθελόντος. ὅθεν ὁ Χριστὸς μετὰ Ἀντίοχον τὸν Ἐπιφανῆ παραγενόμενος καὶ προαναφωνῶν τὴν μέλλουσαν ἔσεσθαι αἰχμαλωσίαν καὶ δεικνύς, ὅτι περὶ αὐτῆς ὁ Δανιὴλ προεῖπεν, φησίν· ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, ὃ εἶπε Δανιὴλ ὁ προφή-*
15 *της, ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. ἐπεὶ γὰρ ἅπαν εἴδωλον καὶ πᾶν ἐκτύπωμα ἀνθρώπου βδέλυγμα παρὰ τοῖς Ἰουδαίοις ἐκαλεῖτο, αἰνιγματωδῶς ἐμφαίνων τὸν ἀνδριάντα ἐκεῖνον ὁμοῦ καὶ πότε καὶ ὑπὸ τίνος ἡ αἰχμαλωσία ἔσται προανήγγειλεν. ὅτι δὲ περὶ τῶν Ῥωμαίων εἴρηται*
20 *ταῦτα, καὶ Ἰώσηπος μαρτυρεῖ, καθὼς προέφημεν. τίς οὖν αὐτοῖς ὑπολείπεται λοιπὸν λόγος, ὅταν τὰς μὲν ἄλλας αἰχμαλωσίας οἱ προφῆται φαίνονται μετὰ διορισμένον χρόνον*

11—*p.* 417, 2 Chrys. *ib. cp.* 10 Migne 899 *med.* — 13 Matth. 24, 15.

6 *ἐλέγχον* CF *ἐλέγχων* R. — 7 *τοῖς om.* ACEP. — 9 *μέχρι καὶ νῦν* ABPV *καὶ μέχρι νῦν* rell. (*μέχρι τοῦ νῦν* Chr.). — 11 *ἐπιφανῆν* (-*νὴν* A) AE *ἐπιφάνην* P *περιφᾶ* B. — 13 *προεῖπεν ὁ δανιὴλ* A *in quo φησίν· — δανιὴλ interciderunt ex homoeotel.* — 14 *ὃ εἶπε δανιὴλ* (*δανιὴλ om.* B) *ὁ προφήτης* ABP Chr. *om.* rell. — 18 *ὑπό τινος* BDFV *et* multi recc. — 21 *λοιπὸν αὐτοῖς ὑπολείπεται λόγος* N *αὐτ. ὑπολ. λόγος λοιπόν* L. — 22 *φαίνωνται* BDE *et* P *m. 2.* — *διορισμένον* (*διωρ.* FR) *χρόνον* codd. *praeter* E, *qui διωρισμένων χρόνων exhibere videtur, ut* Chr.

8 *αἴλιος et* 9 *αἰλία* P. — 21 *ὑπολέλειπται* P Chr.

εἰπόντες, ταύτῃ δὲ μηδένα χρόνον ὁρίσαντες, ἀλλὰ τοὐναντίον εἰπόντες, ὅτι μέχρι συντελείας ἔσται ἡ ἐρήμωσις;

Ὅτι μὲν οὖν, εἰ τέλος ἔμελλεν ἡ παροῦσα δουλεία λήψεσθαι, καὶ τοῦτο ἂν προεῖπον οἱ προφῆται καὶ οὐκ ἐσίγησαν, ἱκανῶς ἀπεδείξαμεν τὰς αἰχμαλωσίας ἁπάσας μετὰ προρρή- 5 *σεως δείξαντες αὐτοῖς ἐπενεχθείσας, τὴν ἐν Αἰγύπτῳ, τὴν ἐν Βαβυλῶνι, τὴν ἐπ' Ἀντιόχου. ἑκάστῃ γὰρ τούτων καὶ τόπον καὶ χρόνον προανακηρυχθέντα διὰ τῶν θείων γραφῶν ἀπεδείξαμεν. τῇ παρούσῃ δὲ οὐδεὶς προφήτης ὥρισε χρόνον, ἀλλ' ὅτι μὲν ἥξει καὶ ἐρημώσει πάντα καὶ μεταστήσει* 10 *τὴν πολιτείαν καὶ μετὰ πόσον χρόνον τῆς ἐκ Βαβυλῶνος ἐπανόδου συμβήσεται, προεῖπεν ὁ Δανιήλ, ὅτι δὲ τέλος ἕξει καὶ στήσεταί που τὰ κακὰ ταῦτα οὔτε ἐκεῖνος ἐδήλωσεν, οὔτε ἄλλος τις προφήτης, ἀλλὰ καὶ τοὐναντίον, ὡς εἴρηται, προεῖπεν, ὅτι ἕως συντελείας καθέξει αὐτοὺς ἡ ταλαιπωρία* 15 *αὕτη. καὶ μάλα εἰκότως. καὶ γὰρ μαρτυρεῖ τοῖς εἰρημένοις ὁ τοσοῦτος διαγενόμενος χρόνος καὶ οὔτε ἴχνος οὔτε προοίμιον χρηστῆς μεταβολῆς ἐνδειξάμενος, καὶ ταῦτα πολλάκις ἐπιχειρησάντων αὐτῶν ἀναστῆσαι τὸν ναὸν ἐπὶ Ἀδριανοῦ* 313 M. *καὶ Κωνσταντίνου καὶ Ἰουλιανοῦ, καὶ διακωλυθέντων πρῶ-* 20 *τον μὲν ὑπὸ στρατιωτῶν, ὕστερον δὲ ἐπὶ τοῦ παραβάτου πυρὸς τῶν θεμελίων ἐκπηδήσαντος καὶ κατασχόντος αὐτοὺς τῆς ἀκαίρου φιλονεικίας τε καὶ παραβάσεως. ὅθεν τοίνυν λεγέτωσαν ἡμῖν, τίνος ἕνεκα ἐν Αἰγύπτῳ μὲν τοσοῦτον δια-*

3—*p*. 419, 17 Chrys. *ib*. VI, 2 Migne 905.

1 *ταύτῃ* — 2 *εἰπόντες om*. CEFLR. — 3 *εἰ*] *εἰς* ACFNV *et* recc. nonnulli, *lit. corr. in* ADV. — 5 *τὰς* — 9 *ἀπεδείξαμεν om*. N *ex homoeotel*. — 7 *ἐπὶ* BFL. — *ἑκάστης* CEFLR. — 8 *τόπων καὶ χρόνων* CRV *τόπους καὶ χρόνους* E. — 12 *ὁ om*. AF. — 15 *ἕως τῆς συντελείας* LP. — 16 *αὕτη om*. F *et* recc. plerique. — 17 *καὶ ὁ τοσ*. AV. — 19 *αὐτῶν ἐπιχειρησάντων* B *αὐτῶν om*. recc. multi. — 20 *καὶ κωνσταντίνου* FP Chr. *om*. R *καὶ κωνσταντίου* rell. — *διακωλυθέντων* ABNPVChr. *κωλυθέντων* CEFLR.

1 *ἀλλὰ καὶ τοὐναντίον* P Chr. — 4 *προεῖπον ἂν* P.

τρίψαντες χρόνον ἐν κακουχίᾳ ἐλέους ἔτυχον, καὶ εἰς Βαβυλῶνα πάλιν ἀπενεχθέντες ἐπανῆλθον εἰς τὰ ἴδια, καὶ ὑπ' Ἀντιόχου τοσαῦτα κακὰ παθόντες αὖθις πρὸς τὸ πρότερον ἐπανῆλθον σχῆμά τε καὶ ἀξίωμα, νῦν δὲ οὐδὲν τοιοῦτον 5 *γεγένηται, ἀλλὰ φ' ἐτῶν ἐξ ἐκείνου διελθόντων οὐδὲ αἴνιγμα τοιαύτης μεταβολῆς ὁρῶμεν φαινόμενον οἷον τὸ πρότερον; εἰ δὲ τὰς ἁμαρτίας αὐτῶν προβάλοιντο καὶ εἴποιεν ὅτι· ἐπεὶ ἡμάρτομεν τῷ θεῷ καὶ διὰ τοῦτο οὐκ ἀπολαμβάνομεν τὴν οἰκείαν χώραν, πάλιν δ' ἂν εἰκότως αὐτοὺς ἐρήσομαι· διὰ* 10 *τὰς ἁμαρτίας ὑμῶν, ὦ Ἰουδαῖοι, τῆς Ἱερουσαλὴμ ἔξω διατρίβετε χρόνον τοσοῦτον; καὶ τί τὸ καινὸν καὶ παράδοξον; μὴ γὰρ νῦν ἐν ἁμαρτίαις ζῆτε μόνον, παρὰ δὲ τὴν ἀρχὴν ἐν δικαιοσύνῃ καὶ κατορθώμασιν. οὐκ ἄνωθεν καὶ ἐξ ἀρχῆς μυρίαις συνανεστράφητε παρανομίαις; οὐχί, τῆς θαλάσ-* 15 *σης σχιζομένης, καὶ τῶν πετρῶν ῥηγνυμένων, καὶ τοσούτων θαυμάτων γινομένων ἐπὶ τῆς ἐρήμου, προσεκυνήσατε μόσχον; οὐ τὸν Μωϋσέα λίθοις βάλλοντες καὶ ἑτέροις μυρίοις τρόποις ἀνελεῖν ἐπεχειρήσατε πολλάκις καὶ τὸν θεὸν παρωργίζετε βλασφημοῦντες; οὐ τῷ Βεελφεγὼρ ἐτελέσθητε; οὐ τοὺς υἱοὺς* 20 *ὑμῶν καὶ τὰς θυγατέρας ἐθύσατε τοῖς δαιμονίοις καὶ τοὺς ἀλλοτρίους θεοὺς ἐθεραπεύσατε; οὐ πᾶν εἶδος ἁμαρτίας καὶ κακίας ἐπεδείξασθε; πῶς οὖν ὑμᾶς οὐκ ἀπεστράφη τότε ὁ θεός, ἀλλὰ μετὰ τὰς παιδοκτονίας, μετὰ τὰς εἰδωλολατρείας,*

---

2 *ἀναχθέντες* A *m. 1 corr. ex ἀχθέντες. ἀχθέντες* M (*ἀπαχθέντες* Chr.). — *πάλιν ἐπανελθόντες ἦλθον* V. — *ἐπανῆλθον πάλιν εἰς* N (*sed inest etiam prius πάλιν*). — 3 *πολλὰ* (*πάλιν πολλὰ* M) *τοσαῦτα κακὰ* CEFN *πολλὰ κακὰ τοσαῦτα* R *πάλιν τοσαῦτα κακὰ* L. — 7 *προβάλλοιντο* ELN *et* recc. quidam *παραβάλοιντο* A *προβάλλονται* C (*qui et εἴπωσι*). — *ὅτι om.* AB. — 8 *ἡμάρτωμεν* ACFNPV. — 9 *ἰδίαν* BCMR. — 13 *οὐκ* — 14 *παρανομίαις om.* A. — 14 *συνανεστράφητε* FPV Chr. *συνεστράφητε* BCLN *συνετράφητε* ER. — 17 *βαλόντες* ELM. — 18 *ἐπιχειρήσατε* P *ἐπιχειρήσαντες* (*om. seq. καὶ*) F. — *παροργίζετε* ACMPRV. — 20 *τοῖς δαιμ. ἐθύσατε* FL. — 22 *τότε οὐκ ἀπεστράφη* N *τότε om.* A. — 23 *μετὰ τὰς παιδοκτονίας om.* B *τὰς om.* CDEL. — *εἰδωλολατρίας* CEMV *et* recc. plerique.

μετὰ τὴν πολλὴν ἀγνωμοσύνην καὶ προφήτας ἀφῆκε παρ' ὑμῖν εἶναι διαφόρους, καὶ σημεῖα εἰργάζοντο καὶ θαύματα παράδοξα; τίνος οὖν ἕνεκεν πάλαι μὲν ἀσεβοῦντες καὶ δεινὰ 314 M. *μυρία διαπραττόμενοι τοσαύτης εὐνοίας ἀπηλαύετε παρὰ θεοῦ καὶ προστασίας καὶ προμηθείας, νῦν δὲ οὔτε εἰδωλολατροῦν-* 5 *τες οὔτε παιδοκτονοῦντες ἐν αἰχμαλωσίᾳ διηνεκεῖ καὶ ταλαιπωρίᾳ διάγετε; μὴ γὰρ ἕτερος ἦν θεὸς τότε καὶ ἕτερος νῦν. οὐκ αὐτός ἐστιν ὁ καὶ ἐκεῖνα οἰκονομῶν καὶ ταῦτα νῦν ἐργαζόμενος; διὰ τί, ὅτε μείζονα μὲν ἦν τὰ ἁμαρτήματα, πολλὴ δόξα ὑμῖν ἦν παρὰ θεοῦ, ὅτε δὲ ἐλάττονα πλημμελεῖτε νῦν,* 10 *παντελῶς ὑμᾶς ἀπεστράφη καὶ ἀτιμίᾳ παρέδωκεν ἀπεράντῳ; ἀλλὰ κἂν ὑμεῖς σιγήσητε, οἱ λίθοι κεκράξονται. ἐπειδὴ γὰρ κατὰ τοῦ δεσπότου τὰς χεῖρας ἐξετείνατε, διὰ τοῦτο οὐκ ἔστιν ὑμῖν διόρθωσις οὐδὲ συγγνώμη λοιπὸν οὐδὲ ἀπολογία. τότε μὲν γὰρ εἰς δούλους ἦν τὰ τολμώμενα, νῦν δὲ πάντα* 15 *ἐκεῖνα τὰ παλαιὰ σαφῶς ἀπεκρύψατε διὰ τῆς εἰς τὸν κοινὸν δεσπότην Χριστὸν μανίας, ὅθεν καὶ μειζόνως κολάζεσθε. καὶ οὐδ' οὕτως ἀπέχεσθε τῆς πατρικῆς ἐμβροντησίας τε καὶ λύσσης, πλάνον αὐτὸν καὶ παράνομον ἀποκαλοῦντες. εἰ οὖν πλάνος ἦν ὁ Χριστός, ὥς φατε, καὶ παράνομος, ἐχρῆν μᾶλ-* 20 *λον ὑμᾶς εὐδοκιμῆσαι, ὅτι αὐτὸν ἀπεκτείνατε. εἰ γὰρ ὁ Φινεὲς ἕνα τινὰ παρανομοῦντα ἀνελὼν ὁλόκληρον τὴν κατὰ τοῦ ἔθνους ὀργὴν ἔπαυσεν (ἔστη γὰρ Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύ-*

18—*p.* 420, 1 Chrys. *ib.* VI, 3 Migne 907 *med.* — 23 Psalm. 105 (106), 30.

1 *καὶ om.* CEFLNR. — 3. 4 *μυρία δεινὰ διαπρατ.* V *μυρία διαπρ. δεινὰ* B. — *ἀπελαύετε* LV *ἀπελαύσατε* C *ἀπολάβεται* M. — 5 *καὶ προμηθείας καὶ προστασίας* C *καὶ προστασίας om.* F. — *οὔτε —οὐδὲ* A *οὐδὲ—οὐδὲ* C. — 6 *διηνεκῆ* LPV *δεινὴ* AB. — 7 *ἦν θεὸς τότε* DEP *ἦν ὁ θεὸς τότε* AB *θεὸς ἦν τότε* CFMV *et* recc. quidam *ὁ θεὸς ἦν τότε* recc. alii *ἦν τότε θεὸς* L Chr. — 9 *διότι* codd. *praeter* AFP. — 18 *οὐδὲ οὕτως* codd. *praeter* ABP.

19 *λύττης* P. — 24 *αὐτῷ φησιν εἰς* P.

νην), πολλῷ μᾶλλον ἐφ' ὑμῶν ἔδει τοῦτο γενέσθαι, εἴ γε παράνομος ἦν ὁ ὑφ' ὑμῶν σταυρωθείς. καὶ πόθεν δῆλον, φησίν, ὅτι τέλεον ἀπεστράφη ἡμᾶς ὁ θεός; τῶν πραγμάτων αὐτῶν βοώντων καὶ σάλπιγγος λαμπροτέραν ἀφιέντων φω-
5 νὴν διὰ τῆς καταστροφῆς τῆς πόλεως, διὰ τῆς ἐρημώσεως τοῦ ναοῦ, διὰ τῶν ἄλλων ἁπάντων. ἀλλ' ἄνθρωποι, φησίν, ἡμῖν ἐπήγαγον ταῦτα, οὐχ ὁ θεός. εἰ οὖν ἀνθρώπων ἦν ἔργα ταῦτα, καὶ οὐ τῆς ὀργῆς τοῦ θεοῦ, ἔδει μέχρι τῆς ἁλώσεως τὰ ὑμέτερα στῆναι καὶ μὴ περαιτέρω προελθεῖν
10 ὑμῖν τὴν ἀτιμίαν τε καὶ κάκωσιν. πλὴν ἔστω κατὰ τὸν
315 M. ὑμέτερον λόγον, ὅτι τὰ τείχη κατέστρεψαν ἄνθρωποι καὶ τὴν πόλιν καθεῖλον καὶ τὸν βωμὸν ἀνέστρεψαν. μὴ καὶ τοὺς προφήτας ἄνθρωποι κατέπαυσαν; μὴ καὶ τὴν τοῦ πνεύματος χάριν καὶ τἄλλα τὰ σεμνὰ τὰ παρ' ὑμῖν αὐτοὶ κατέλυσαν,
15 οἷον τὸ φωνὴν ἐκ τοῦ ἱλαστηρίου φέρεσθαι, τὴν ἐπὶ τῷ χρίσματι γινομένην ἐνέργειαν, τὴν ἐπὶ τῶν λίθων τοῦ ἱερέως δήλωσιν; καὶ γὰρ ἡ Ἰουδαϊκὴ πολιτεία οὐχὶ κάτωθεν εἶχε τὰς ἀρχὰς ἁπάσας, ἀλλὰ τὰς πλείους καὶ σεμνοτέρας ἄνωθεν ἐκ τῶν οὐρανῶν. οἷόν τι λέγω, θυσίας γίνεσθαι συγχωρή-
20 σας, ὁ μὲν βωμὸς ἦν κάτω καὶ τὰ ξύλα καὶ ἡ μάχαιρα καὶ ὁ ἱερεύς, τὸ δὲ πῦρ τὸ μέλλον ἐν τοῖς ἀδύτοις ἐκείνοις ἱέναι καὶ δαπανᾶν τὰς θυσίας ἄνωθεν τὴν ἀρχὴν εἶχεν. οὐ γὰρ ἄνθρωπος εἰς τὸν ναὸν εἰσῆγε πῦρ, ἀλλὰ φλὸξ ἄνωθεν κατενεχθεῖσα τὴν ἐπὶ τῆς διακονίας ἐπλήρου θυσίαν. πάλιν

2—6 Chrys. *ib. paullo post* Migne 908 *med.* — 6—*p.* 421, 13 Chrys. *ib.* VI, 4 Migne 908 *fin.*

3 ὑμᾶς ABCMR. — 10 καὶ τὴν κάκωσιν AV. — 11 οἱ ἄνθρωποι BRV Chr. — 12 ἀνέτρεψαν F Chr. κατέστρεψαν A. — 14 τὰ ἄλλα B Chr. — 15 οἷον ABPV Chr. *om.* rell. — 16 γινομένην BCDEFP γενομένην ALVR Chr. φερομένην M. — 17 ἡ *spr. v.* A *m. 1 ut vid. om.* C. — 19 γίνεσθαι CEFLNPV γενέσθαι ABR Chr. — 21 ὁ *om.* EP.

10 ὑμῶν P Chr.

εἴ ποτε ἔδει τι μαθεῖν, ἀνὰ μέσον τῶν Χερουβὶμ ἐκ τοῦ ἱλαστηρίου φωνή τις ἐφέρετο καὶ τὰ μέλλοντα προύλεγεν. ὡσαύτως ἐπὶ τῶν λίθων τῶν ἐπὶ τοῦ στήθους τοῦ ἀρχιερέως, ὅπερ ἐκάλουν δήλωσιν, ἐγίνετό τις ἔκλαμψις καὶ τὰ μέλλοντα προεσήμαινεν. ὁμοίως, ἡνίκα χρίεσθαι ἔδει τινά, 5 πνεύματος ἐφίπτατο χάρις, καὶ τὸ ἔλαιον ἀνεπήδα, καὶ προφῆται διηκόνουν τοῖς πράγμασι τούτοις, καὶ νεφέλη πολλάκις καὶ καπνὸς τὰ ἄδυτα κατελάμβανεν.

Ἵνα τοίνυν μὴ ἀναισχυντεῖτε μηδὲ ἀνθρώποις λογίζεσθε τὴν ἐρήμωσιν τούτων, οὐχὶ τὴν πόλιν μόνον ἀφῆκε πεσεῖν 10 καὶ τὸν ναὸν ἐρημωθῆναι, ἀλλὰ καὶ τὰ πράγματα ἐκεῖνα, ἅπερ ἐκ τῶν οὐρανῶν τὰς ἀρχὰς εἶχεν, ἐκποδῶν γενέσθαι πεποίηκεν. τίνος οὖν ἕνεκεν οὐκ ἔχετε νῦν προφήτας οὐδέ τι τῶν λοιπῶν ἐκείνων θείων; οὐκ εὔδηλον ὅτι τοῦ θεοῦ τὰ καθ' ὑμᾶς ἀποστραφέντος; καὶ πόθεν τοῦτο, φησίν, δῆ- 15 λον; ἀφ' ὧν πρὸ τούτου μὲν ἀσεβοῦντες ἐπετυγχάνετε πάντων, νῦν δὲ δοκοῦντες ἐπιεικέστερον ζῆν μετὰ τὸν σταυρὸν μείζονα τιμωρίαν ὑπομένετε καὶ οὐδενὸς ἀπολαύετε τῶν προτέρων οὔτε μὴν ἀπολήψεσθε, καθὼς αἱ θεῖαι προρρήσεις 316 M. ἐναργῶς δηλοῦσιν. εἰ δὲ βούλεσθε, καὶ ἑτέρους προφήτας 20 ἐφοπλίσωμεν λέγοντας φανερῶς ὅτι τὰ μὲν ὑμέτερα τέλος λήψεται, τὰ δὲ ἡμέτερα ἀνθήσει καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκταθήσεται τὸ κήρυγμα, καὶ θυσίας ἑτέρας εἰσενεχθή-

---

13—20 Chrys. *ib. paullo post* Migne 910 *init.* — 20—*p.* 423, 2 Chrys. *ib.* V, 12 Migne 902 *init.*

1 τι] τινὰ A *om.* MV. — ἀναμέσον AFNPR. — 4 ἐγένετο BFV. — ἔλλαμψις LN. — 9 ἀναισχυντῆτε ABDEFL *et* recc. quidam. — λογίζησθε EL λογίζεσθαι AB *et* recc. nonnulli. — 12 τὰς ἀρχὰς εἶχεν ABPChr. εἶχε τὰς ἀρχάς rell. — 15 ἡμᾶς FV *et* recc. quidam ὑμῶν A *sed ὧν m. 2 ex ας.* — τοῦτο δῆλον φησίν D δῆλον τοῦτο φησίν M. — 16 ἐτυγχάνετε (-ται A) AB.

13 *Post* πεποίηκεν P *add.:* τὸ πῦρ, τὴν φωνήν, τὴν τῶν λίθων ἔκλαμψιν, καὶ τἄλλα πρὸς τούτοις, οἷον τὸ ὕδωρ τῆς ἐλέγξεως καὶ τὰ ὅμοια. (τὸ πῦρ — τούτοις *etiam* Chr.)

σεται τρόπος, ἐκείνων τῶν παρ' ὑμῖν καταλυθεισῶν. οὐδὲ γὰρ Ἡσαΐαν παράγω τέως μάρτυρα οὔτε Ἱερεμίαν οὔτε τοὺς ἄλλους τοὺς πρὸ τῆς αἰχμαλωσίας, ἵνα μὴ λέγητε, ὅτι τὰ δεινὰ ἐκεῖνα ἃ ἔλεγον ἐπὶ τῆς αἰχμαλωσίας ἐξέβη, ἀλλὰ Μα-
5 λαχίαν τὸν μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον καὶ τὴν τῆς πόλεως ἀποκατάστασιν σαφῶς περὶ τῶν πραγμάτων ὑμῶν προφητεύσαντα. ἐπειδὴ γὰρ ἐπανῆλθον καὶ τὴν πόλιν ἀπέλαβον καὶ τὸν ναὸν ᾠκοδόμουν καὶ τὰς θυσίας ἐπετέλουν, τὴν μέλλουσαν παντελῆ ταύτην καὶ τελευταίαν ἐρήμωσιν καὶ
10 τὴν ἀναίρεσιν τῶν θυσιῶν προλέγων φησίν· εἰ λήψομαι ἐκ τῶν χειρῶν ὑμῶν θυσίαν, λέγει κύριος παντοκράτωρ. ὅτι ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσιν, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά, ὑμεῖς δὲ βεβη-
15 λοῦτε αὐτό. πότε οὖν ταῦτα πεπλήρωται, ὦ Ἰουδαῖοι, καὶ πότε ἐν παντὶ τόπῳ θυμίαμα προσηνέχθη τῷ θεῷ καὶ θυσία καθαρά; οὐκ ἂν ἔχοιτε εἰπεῖν ἕτερον καιρόν, ἀλλ' ἢ τοῦτον δὴ τὸν μετὰ τὴν Χριστοῦ παρουσίαν, ὡς, εἰ μὴ τοῦτον προλέγοι τὸν καιρὸν μηδὲ τὴν ἡμετέραν θυσίαν, ἀλλὰ τὴν
20 Ἰουδαϊκήν, παράνομός ἐστιν ἡ προφητεία. εἰ γάρ, τοῦ Μωϋσέως κελεύοντος εἰς μηδένα τόπον ἀνάγεσθαι θυσίαν, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός, καὶ εἰς ἓν χωρίον ἐν Ἱερουσαλὴμ συγκλείοντος τὰς θυσίας ἐκείνας, ὁ προφήτης λέγει· ἐν παντὶ τόπῳ θυμίαμα μέλλει
25 προσάγεσθαι καὶ θυσία καθαρά, ἐναντιοῦται καὶ μάχεται τῷ

---

10 Malach. 1, 9 *sqq.* — 20 Deut. 16, 6.

12 *καὶ μέχρι* APV (*καὶ ἕως* Mal.) *καὶ om.* rell. Chr. — 15 *πεπλήρωται* ALP *et m. 1 ut vid.* B (*ἐξέβη* Chr.) *πεπλήρωνται* (*-ονται* CE) rell. — *ὦ ἰουδαῖε* V *et* recc. nonnulli Chr. — 16 *καὶ om.* AB. — 17 *ἔχετε* CF *ἔχειτε* M *ἔχητε* recc. plerique *ἔχεις* E. — 19 *προλέγει* ABCMR Chr. — 21 *μωσέως* FP *et* recc. nonnulli. — *ἄγεσθαι* N.

3 *λέγετε* P. — 4 *μιχαίαν* P.

Μωϋσῇ. ἀλλὰ μὴ γένοιτο. περὶ γὰρ ἑτέρας ἐκεῖνος εἶπε θυσίας καὶ περὶ ἑτέρας οὗτος. ἀκούσατε δὴ καὶ Σοφονίου συμφωνοῦντος τὰ αὐτὰ καὶ λέγοντος· ἐπιφανήσεται κύριος ἐπὶ πάντα τὰ ἔθνη καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς 317 M. *τῶν ἐθνῶν, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου* 5 *αὐτοῦ. καίτοι γε τοῦτο οὐκ ἐφεῖτο, ἀλλ' εἰς ἕνα τόπον ἐθέσπισε Μωϋσῆς λατρεύειν. ὅταν οὖν ἀκούσητε τῶν προφητῶν προλεγόντων καὶ προαναφωνούντων ὅτι οὐκέτι εἰς μίαν πόλιν οὐδὲ εἰς ἕνα τόπον ἀναγκασθήσονται οἱ ἄνθρωποι πάντοθεν συνάγεσθαι, ἀλλ' οἴκοι καθήμενος ἕκαστος* 10 *θεραπεύσει τὸ θεῖον, τίνα ἂν ἔχοιτε εἰπεῖν ἕτερον καιρόν, ἀλλ' ἢ τὸν παρόντα τοῦτον, καθ' ὃν τὰ μὲν ἡμέτερα διαλάμπουσι κατὰ πᾶσαν τὴν οἰκουμένην, τὰ δὲ ὑμέτερα κατεσβέσθησαν, καὶ ἐν σκότει διαπορεύεσθε κατὰ πᾶσαν τὴν οἰκουμένην. ὅτι δὲ πάλιν οὐδὲ παρὰ τὴν ἀρχὴν ὑμῖν δοῦ-* 15 *ναι τὰς τοιαύτας ἠβούλετο θυσίας, ἀκούσατε, τί φησιν Ἡσαΐας· τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει κύριος, καὶ τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; εἰ γὰρ ταῦτα παρὰ τὴν ἀρχὴν ἐζήτει, καὶ τοὺς παλαιοὺς πάντας τοὺς παρ' αὐτῶν λάμψαντας πρώτους ἂν εἰς τὴν πολιτείαν ἤγαγε* 20 *ταύτην. πῶς οὖν ταῦτα, φησίν, ἐπέτρεψεν; τῇ ὑμετέρᾳ συγκαταβαίνων ἀσθενείᾳ. καὶ καθάπερ ἰατρὸς πυρέττοντα ὁρῶν ἄνθρωπον δυσάρεστόν τινα καὶ ἀκαρτέρητον ἐπιθυμοῦντα ψυχροποσίας καὶ ἀπειλοῦντα, εἰ μὴ λάβοι, ἑαυτὸν ἀναιρήσειν, βουλόμενος μεῖζον κωλῦσαι κακὸν τὸ ἔλαττον δίδωσι* 25 *πρὸς ἀπαλλαγὴν τελευτῆς βιαίας, οὕτω δὴ καὶ ὁ θεὸς ἐποί-*

2—12 Chrys. *ib. paullo post* Migne 903. — 3 Soph. 2, 11. — 15—*p.* 425, 18 Chrys. *ib.* IV, 6 Migne 879 *fin. praeter verba p.* 424, 18 *ὅθεν φησὶν ὁ δαυὶδ — ἐν ἱερουσαλὴμ a Georgio addita.* — 17 Jes. 1, 11.

1 *μωϋσεῖ* BE *μωσεῖ ex μωσῇ* L. — 2 *σοφωνίου* BEMP *σωφονίου* L. — 12 *μὲν om.* CF. — 13 *καὶ κατὰ* CF.

7 *ἀκούσετε* P. — 22 *ἰητρὸς* P.

ησεν. ἐπειδὴ γὰρ εἶδε μαινομένους, ἀγχομένους, ἐπιθυμοῦντας θυσιῶν καὶ παρασκευασμένους, εἰ μὴ λάβοιεν, αὐτομολήσειν πρὸς τὰ εἴδωλα, μᾶλλον δὲ οὐ παρασκευασμένους, ἀλλὰ καὶ αὐτομολήσαντας ἤδη, ἐπέτρεψε τὰς θυσίας. καὶ
5 ὅτι αὕτη ἐστὶν ἡ αἰτία, δῆλον ἐντεῦθεν. μετὰ γὰρ τὴν μυσαρὰν ἑορτήν, ἣν ἐπετέλεσαν τοῖς δαιμονίοις μοσχοποιήσαντες, τότε τὰς θυσίας ἐπέτρεψε μονονουχὶ λέγων· μαίνεσθε καὶ βούλεσθε θύειν. οὐκοῦν κἂν ἐμοὶ θύετε. ἀλλ᾽ ὅμως καὶ τοῦτο ἐπιτρέψας οὐ μέχρι τέλους ἀφῆκεν, ἀλλὰ διὰ σο-
318 M. 10 φωτάτης μεθόδου πάλιν ἀπήγαγεν. καὶ ὥσπερ ὁ ἰατρὸς ἐκεῖνος συγχωρήσας τῇ ἐπιθυμίᾳ τοῦ κάμνοντος εἶτα φιάλην οἴκοθεν κομίσας κελεύσειεν ἐν ταύτῃ μόνῃ τῆς ψυχροποσίας μεταλαμβάνειν, καὶ τοῦ κάμνοντος πεισθέντος λάθρα τοῖς ἐπιτηδείοις ἐπιτάξειε συντρῖψαι τὴν φιάλην αὐτήν, ἵνα
15 λανθανόντως καὶ ἀνυπόπτως αὐτὸν ἀπαγάγῃ τῆς ἐπιθυμίας ἐκείνης, οὕτω καὶ ὁ θεὸς ἐποίησεν. θύειν ἐπιτρέψας ἐν οὐδενὶ τόπῳ τῆς οἰκουμένης εἴασε τοῦτο γίνεσθαι ἀλλ᾽ ἢ ἐν τοῖς Ἱεροσολύμοις καὶ μόνον. ὅθεν φησὶν ὁ Δαυίδ· σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ
20 ἐν Ἱερουσαλήμ. εἶτα ἐπειδὴ χρόνους τινὰς ἔθυσαν, καθεῖλε

18 Psalm. 64 (65), 1.

2. 3 παρεσκευασμένους *utroque loco* BFL *priore loco* EP *et* recc. nonnulli. — 8 καὶ βούλεσθε LNP Chr. τῷ (ᾧ alii) βούλεσθαι R βούλεσθε (*om.* καὶ) rell. — οὐκοῦν κἂν ἐμοὶ θύετε P Chr. οὐκοῦν ἐμοὶ θύετε ABV κἂν ἐμοί φησι θύετε R ἐμοί φησι θύετε (θύσετε L) CEFLN. — 10 ἐπήγαγεν BRV. — 12 κελεύσει ἐν ταύτῃ AB κελεύσειεν ταύτῃ M. — 14 ἐπιτηδείοις] ἰδίοις AF (ἐπιδιδοῦσι Chr.). — 16 ἐκείνης] αὐτῆς AB. — ἐν *om.* N. — 17 γενέσθαι AEM. — 18 καὶ μόνον ABPV καὶ *om.* rell. Chr. — 19 σιῶν FP.

5 αὕτη *lit. ex* ταύτη *m. 2 ut vid.* P. — ἐστὶν *om.* P. — δηλὸν P. — 10 ἰητρὸς *ut vid.* P. — 16. 17 θύειν μὲν ἐπιτρέψας, ἐν οὐδενὶ δὲ τόπῳ P. — 17 ἢ *om.* P Chr. — 20 *Post* Ἱερουσαλὴμ P *add.:* καὶ γνωστὸς ἐν τῇ ἰουδαίᾳ ὁ θεὸς καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν σιών [Psalm. 75 (76), 2; 3].

τὴν πόλιν. ὥσπερ ὁ ἰατρὸς διὰ τῆς τοῦ σκεύους συντριβῆς, οὕτω καὶ ὁ θεὸς διὰ τῆς κατὰ τὴν πόλιν καταστροφῆς καὶ ἄκοντας αὐτοὺς ἀπήγαγε τοῦ πράγματος. ἐπεὶ γάρ, εἰ φανερῶς εἶπεν· ἀπόστητε, οὐκ ἂν ἠνέσχοντο ῥᾳδίως, διὰ τῆς κατὰ τὸν τόπον ἀνάγκης λανθανόντως αὐτοὺς ἀπήγαγε 5 τῆς περὶ τὸ πρᾶγμα μανίας. ἔστω τοίνυν ὁ μὲν ἰατρὸς ὁ θεός, ἡ δὲ φιάλη ἡ πόλις, ὁ δὲ νοσῶν ὁ δυσάρεστος δῆμος τῶν Ἰουδαίων, ἡ δὲ ψυχροποσία ἡ τῶν θυσιῶν ἐπιτροπὴ καὶ ἐξουσία. εἰ γὰρ μὴ τοῦτο ἠβούλετο κατασκευάσαι, τίνος ἕνεκεν εἰς τόπον ἕνα συνέκλεισε τὴν τοι- 10 αύτην θυσίαν ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; τίνος χάριν τὴν μὲν λατρείαν εἰς θυσίας, τὰς δὲ θυσίας εἰς τόπον, τὸν δὲ τόπον εἰς καιρόν, τὸν δὲ καιρὸν εἰς μίαν πόλιν συναγαγὼν αὐτὴν πάλιν ἐκείνην κατέστρεψε τὴν πόλιν; καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι πᾶσα 15 μὲν ἡ οἰκουμένη τοῖς Ἰουδαίοις ἀνεῖται, ἔνθα οὐκ ἔξεστι θύειν, μόνη δὲ Ἱερουσαλήμ, ἐν ᾗ καὶ μόνον θύειν ἐξῆν, ἄβατος καὶ ἔρημος γέγονεν.

Περὶ ὧν μέντοι γε καὶ ἐν ταῖς ἀποστολικαῖς διατάξεσί φησιν ὁ θεῖος λόγος· ἤδη δὲ καὶ πρὸ τῆς ἐνσάρκου οἰκο- 20 νομίας ἐναργῶς ὁ θεὸς εὖ μάλα παρῃτεῖτο τὰς τῶν Ἰουδαίων θυσίας ἐξαμαρτόντας εἰς αὐτὸν πολλάκις καὶ οἰομέ- 319 M. νους διὰ θυσίας ἀλλ' οὐ διὰ μετανοίας αὐτὸν ἐξευμενίζεσθαι. φησὶ γὰρ διὰ τῶν προφητῶν· ἵνα τί μοι φέρετε λίβανον ἐκ Σαβᾶ καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα 25

19—*p.* 427, 9 Const. Apost. VI, 22. — 24 Jer. 6, 20.

1 ὥσπερ ὁ ἰατρὸς ABP καὶ ὥσπερ ὁ ἰατρὸς L καὶ ὥσπερ (*om.* ὁ ἰατρὸς) CEFNRV. — 7 ἡ δὲ φιάλη ἡ πόλις *om.* A. — φιάλη *lit. corr. ex* φιάλης D φιάλης recc. plerique φίαλης L φιάλις CEM φίαλις F. — 14 ἐκείνην *om.* CR. — 16 οὐκ ἔστιν EMRV. — 18 ἄβατος αὐτοῖς καὶ FN ἄβατος γὰρ καὶ ERV. — 19 γε *om.* A. — καὶ *om.* CENRV. — 22 ἐξαμαρτῶντας CFLNRV ἐξαμαρτάνοντας AB. — 25 σαβὰ DEP σαββᾶ B. — κιννάμωμον CEFN.

ὑμῶν οὐκ ἔστι δεκτά, καὶ αἱ θυσίαι ὑμῶν οὐκ ἥδυνάν μοι. καί· συναγάγετε τὰ ὁλοκαυτώματα ὑμῶν μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε τὰ κρέα, ὅτι οὐκ ἐνετειλάμην ὑμῖν, ἡνίκα ἐξήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου περὶ θυσιῶν καὶ ὁλοκαυ-
5 τωμάτων. καί· τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχεσθε ὀφθῆναί μοι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε ἔτι. ἐὰν φέρητέ μοι σεμί-
10 δαλιν, μάταιον. θυμίαμα βδέλυγμά μοί ἐστιν, τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. ἐγενήθητέ μοι εἰς πλησμονήν. καί· ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ
15 ἀκούσομαι. καί· οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρρους. ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι. θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως. καί· θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον. καὶ ἁπλῶς ἐν πά-
20 σαις ταῖς γραφαῖς ὁμοίως τὰς θυσίας ἀπαναίνεται διὰ τὸ ἐξαμαρτάνειν αὐτοὺς εἰς αὐτὸν ἐξ ἄκρας κακίας καὶ ἀπειθείας τε καὶ σκληροκαρδίας. θυσίαι, γάρ φησιν, ἀσεβῶν βδέ-

2 Jer. 7, 21; 22. — 5 Jes. 1, 11—14. — 13 Amos 5, 23. — 15 Psalm. 49 (50), 9; 12—14. — 19 Psalm. 50 (51), 19. — 22 Prov, 21, 27.

1 οὐκ ἔτι B οὐκ εἰσὶ RV Jer. — οὐχ ER. — ἥδυναν EFR ηδυναν *sine spir.* LP. — 2 μετὰ τῶν θυσιῶν ὑμῶν *om.* DL. — 3 τὰ κρέα ABP Const. τὰ *om.* rell. Jer. — 5 καὶ τί — 6 ὁλοκαυτωμάτων *om.* FM. — 6 καὶ κριῶν F *om.* L *et* recc. quidam. — 7 τράγων καὶ ταύρων ELN. — ἔρχεσθαι ACM ἔρχησθε EFRV. — 8 ὑμῶν] μου ABELV. — 9 φέρετε (-ται M) MP. — 12 ἀργείαν AFLNPV. — 16 χειμάρρους AP χιμάρους EL. — 21 κακίας τε καὶ ἀπειθείας καὶ L. — 22 τε *om.* V. — φησίν *post* κυρίῳ *p.* 427, 1 *ins.* B *om.* R.

13 καὶ ἐγενήθητε P. — 18. 19 αἰνέσεως. θυσία γὰρ τῷ P. — 20 τὰς θυσίας αὐτῶν P (αὐτῶν τ. θ. Const.).

λυγμα κυρίῳ· καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς. καί· 320 M.
θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς, καὶ πάντες οἱ ἐσ-
θίοντες αὐτὰς μολυνθήσονται. διὸ δὴ καὶ τῷ Σαοὺλ ὁ
θεῖος Σαμουὴλ ἔλεγεν· ἀγαθὴ ἀκοὴ ὑπὲρ θυσίαν, καὶ ἀκρό-
αμα ὑπὲρ στέαρ κριῶν. ἰδοὺ γὰρ οὐ θέλει κύριος θυσίαν 5
ὡς τὸ εἰσακούειν αὐτοῦ. εἰ τοίνυν καὶ πρὸ τῆς παρουσίας
αὐτοῦ ὑπὲρ θυσίαν καρδίαν καθαρὰν ἐπεζήτει καὶ πνεῦμα
συντετριμμένον, πολλῷ μᾶλλον ἐλθὼν ἔπαυσε τὰς δι' αἱμά-
των θυσίας, οὐδὲ πάλαι δεόμενος αὐτάς, ὡς εἴρηται, ἀλλ'
εἰ βουληθῶσι συγχωρῶν καὶ εἰ ἀπὸ γνώμης ὀρθῆς προσ- 10
οίσουσιν. ὅθεν φησίν· εἰ θύειν ἐπιθυμεῖς, οὐ δεομένῳ μοι
θῦε. ὁπότε δὲ τούτων ἀμνήμονες ἐγένοντο καὶ μόσχον ἀντὶ
θεοῦ θεὸν ἐπεκαλέσαντο καὶ τούτῳ τὴν αἰτίαν τῆς ἐξ Αἰγύ-
πτου πορείας ἐπεγράψαντο λέγοντες· οὗτοι οἱ θεοί σου, Ἰσ-
ραήλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου, καὶ ἀπαρνησά- 15
μενοι θεὸν τὸν διὰ Μωσέως ἐπισκεψάμενον αὐτοὺς ἐν τῇ
θλίψει αὐτῶν, τὸν τὰ σημεῖα ἐπὶ χειρὸς καὶ ῥάβδου ποιησά-
μενον, τὸν Αἰγυπτίους δεκαπλήγῳ πατάξαντα, τὸν ἐρυθρὰν
θάλασσαν εἰς διαιρέσεις διελόντα καὶ διαγαγόντα αὐτοὺς ἐν
μέσῳ τοῦ ὕδατος ὡς διὰ ξηρᾶς, τὸν τοὺς ἐχθροὺς αὐτῶν 20
βυθίσαντα, τὸν εἰς Μερρὰν τὴν πικρὰν πηγὴν γλυκάναντα,
τὸν ἐκ πέτρας ἀκροτόμου ὕδωρ εἰς πλησμονὴν ἀναβλύσαντα,
τὸν στύλῳ νεφέλης καὶ στύλῳ πυρὸς σκιάζοντα αὐτοῖς διὰ
θάλπος ἄμετρον καὶ φωτίζοντα καὶ ὁδηγοῦντα τοὺς οὐκ

---

2 Hos. 9, 4. — 4 I. Reg. 15, 22. — 9—*p*. 429, 2 Const. Apost. VI, 20. — 14 Exod. 32, 4.

1 κυρίῳ ABFP τῷ κυρίῳ CDEL τῷ θεῷ MRV. — 4 ἀκοὴ ἀγαθὴ ABV. — 6 ὡς] εἰς ACELV. — ἀκούειν BR. — 9 αὐταῖς F αὐτῶν BCN. — 12 θύε codd. — 16 τῇ *om*. CF. — 21 τοὺς εἰς AEV τὴν εἰς B. — 23 αὐτοὺς BCFL.

7 ἐπιζητεῖ P. — 10 εἰ *ante* ἀπὸ *om*. P. — 12 *Post* θῦε *add*.: ἐμὴ γάρ ἐστιν ἠκουμένη (*l*. ἡ οἰκ.) καὶ τὸ πλήρωμα αὐτῆς [Psalm. 49 (50), 12] P Const. — 15 ἐξάγοντες P.

εἰδότας ὅπου πορευθῶσιν, τὸν ἐξ οὐρανοῦ μαννοδοτήσαντα αὐτοῖς καὶ ἐκ θαλάσσης κρεοδοτήσαντα ὀρτυγομήτραν, τὸν ἐν τῷ ὄρει νομοθετήσαντα αὐτοῖς, οὗ τῆς θείας καὶ βροντοφόρου φωνῆς ἠξιώθησαν ἀκοῦσαι· τοῦτον ἀπηρνήσαντο
321 M. 5 *εἰπόντες τῷ Ἀαρών· ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν, καὶ ἐμοσχοποίησαν χωνευτὸν καὶ ἔθυσαν τῷ εἰδώλῳ. κἀντεῦθεν οὖν ὀργισθεὶς ὁ μακρόθυμος κύριος ἅτε δὴ ἀχαριστηθεὶς ὑπ' αὐτῶν ἔδησεν αὐτοὺς δεσμοῖς ἀλύτοις, στιβώσει φορτισμοῦ καὶ σκληρότητι κλοιοῦ, καὶ οὐκέτι εἶπεν· ἐὰν*
10 *δὲ ποιήσῃς, ὡς πρὸ τῆς μοσχοποιΐας εἴρηκεν, ἀλλά· ποίησον θυσιαστήριον καὶ θῦε διηνεκῶς. ἐπιλήσμων γὰρ ὑπάρχεις καὶ ἀχάριστος, ἵνα συνεχῶς ὑπομιμνήσκῃ μου. ἐπεὶ οὖν τῇ ἐξουσίᾳ κακῶς ἀπεχρήσαντο οἱ τάλανες καὶ ἀγνώμονες, ἀνάγκην ἐπέθηκε λοιπὸν θύειν καὶ βρωμάτων ἀπέχεσθαί*
15 *τινων, καὶ ζώων διαφορὰς καθαρῶν καὶ ἀκαθάρτων διέστειλεν, καίτοι παντὸς ζώου καθαροῦ τυγχάνοντος (πάντα γὰρ ὅσα ἐποίησεν ὁ θεὸς καλὰ λίαν), καὶ δὴ καὶ ἀφορισμοὺς προσέταξε καὶ καθαρμοὺς καὶ βαπτισμοὺς καὶ ῥαντισμοὺς καὶ ἁγνείας καὶ ἀργίας διαφόρους, ὧν παρακούοντες τιμω-*
20 *ρίαν ὡρίσατο, ἵνα πιεζόμενοι καὶ ὑπὸ τοῦ κλοιοῦ ἀγχόμενοι τῆς πολυθέου πλάνης ἐκστήσωνται. οὐκοῦν διὰ τὴν σκληροκαρδίαν αὐτῶν ἐπέδησεν αὐτούς, ὅπως διὰ τοῦ θύειν καὶ ἀργεῖν καὶ ἁγνίζεσθαι καὶ τὰ τοιάδε παρατηρεῖσθαι εἰς ἐν-*

---

4 Exod. 32, 1.

2 *αὐτοῖς* BP Const. *αὐτοὺς* rell. — *καὶ ἐκ θαλ. κρεοδοτήσαντα om.* F. — *κρεωδοτήσαντα* BEV. — 3 *τῷ om.* AV. — *αὐτούς* ABCF. — 8 *αὐτοῖς* B *et* recc. nonnulli. — *στηβώσει* BCDEP *στηβῶσι* F *στιβῶσι* MV recc. quidam *στυβάσι* recc. alii. — 11 *θύε* codd. *praeter* BC. — 18 *ἀναμιμνήσκῃ* recc. plerique *ἐπιμνήσκῃ* B *ἐπιμνήσκεις* M. — 14 *ἀνάγκη* BP *et* recc. quidam. — 18 *καθαρισμοὺς* CF Const. — *καὶ ῥαντ. καὶ καθαρμ. καὶ βαπτισμοὺς* B *καὶ βαπτισμοὺς om.* R. — 19 *ἀργείας* ABFLP. — 21 *ἐκστήσονται* ACFN *et* recc. plerique.

11 *ὑπάρχῃς* P.

νοιαν ἔρχονται θεοῦ τοῦ ταῦτα διαταξαμένου αὐτοῖς καὶ νομοθετήσαντος. οἵ γε μοχθηρίᾳ τρόπου καὶ γνώμης ἀγνώμονος οὐ διελίμπανον ἄνωθεν καὶ ἐξ ἀρχῆς μέχρι τέλους ἐπιλανθανόμενοι τοῦ θεοῦ καὶ παρατρεπόμενοι προσεκύνουν ἀντὶ τοῦ κτίστου τὴν κτίσιν, καὶ ποτὲ μέν, ὡς εἴρηται, 5 *μοσχοποιήσαντες, ποτὲ δὲ τῷ Βεελφεγὼρ προσκυνήσαντες, ἄλλοτε δὲ τὸν Βάαλ καὶ τὸν Θαμοὺζ καὶ τὴν Σιδωνίαν Ἀστάρτην καὶ τὸν Μολχὼμ καὶ τὸν Χαμώς, καὶ ποτὲ μὲν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, ἃ ὁ θεὸς εἰς φαῦσιν ἀνθρώποις ἐποίησε καὶ οὐκ εἰς προσκύνησιν, ποτὲ* 10 *δὲ καὶ ἄλογα ζῶα, ὡς παρ' Αἰγυπτίοις τὸν Ἄπιν βοῦν καὶ τὸν Μενδήσιον τράγον, καὶ θεοὺς ἀργυροῦς καὶ χρυσοῦς,* 322 M. *ὡς ἐν τῇ Ἰουδαίᾳ. ταύτῃ τοι προδήλως ἀπειλῶν αὐτοῖς ὁ θεὸς ἔλεγε διὰ τοῦ προφήτου· μὴ μικρὸν τοῦτο τῷ οἴκῳ Ἰούδα ποιεῖν τὰ βδελύγματα ταῦτα ἃ ἐποίησαν, ὅτι ἔπλησαν* 15 *τὴν γῆν ἀνομίας τοῦ παροργίσαι με. διὸ τοίνυν εἰκότως ἐξωλοθρεύθησαν ὡς τὸν θεὸν παροργίζοντες καὶ τὴν ἁγίαν γῆν ἐκείνην καταμιαίνοντες ἀπ' ἀρχῆς ἕως τῆς ἐσχάτης καὶ τελευταίας ἁλώσεως ταύτης ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου.*

Καὶ γὰρ διάφοροι ταύτην ἑλόντες καὶ καθελόντες, φησὶ 20 *Θεοδώρητος, πάλιν εἰς τὸ ἀρχαῖον ὁ θεὸς ἀπεκατέστησεν ἀξίωμά τε καὶ σχῆμα, ἀλλὰ νῦν οὐκέτι. πρῶτος μὲν γὰρ*

2—16 Const. Ap. V, 12. — 14 Ez. 8, 17.

1 *ἔρχωνται* BE *et* recc. plerique. — *τοῦ θεοῦ* ALR. — 2 *γνώμης ἀγνώμονος καὶ τρόπου* N. — 7 *δὲ om.* BR. — *βαὰλ* E *βὰλ* C. — *σιδονίαν* BLM *et* recc. multi. — 8 *μολχὸμ* AEV *μολχὸν vel μόλχον* R *μελχῶ* F *μολὸχ* B Const. — *χαμῶς* ACFML *et* recc. nonnulli. — 10 *ἀνθρώπων ἐποίησε* BM *ἐποίησε ἀνθρώποις* V *ἀνθρώποις om.* L. — 12 *μενδίσιον* ACP *μενδέσιον* B. — 17 *ἐξωλοθρεύθησαν* BDEFL *ἐξολοθρεύθησαν* rell. — 18 *καταμιένοντες* CE *καταμένοντες* B. — *καὶ ἕως* FL. — 19 *τῆς ἐπὶ* FL. — 20 *καὶ καθελόντες* ABPV *om.* rell. — 22 *πρῶτος* ABP *πρῶτον* rell.

4 *τὸν θεὸν* P. — 6 *τὸν βεελφεγὼρ* P Const.

Θεγλαφαλασὰρ δοριάλωτον ἔλαβε τῶν δέκα φυλῶν τὸ πλεῖστον, δεύτερος δὲ Σαλμανασὰρ τὴν Σαμάρειαν καὶ τὰς περὶ αὐτὴν ἐξηνδραπόδισε πόλεις, τρίτος δὲ ὁ Σεναχηρεὶμ τὰς μὲν ἄλλας τῆς Ἰουδαίας ἐπολιόρκησε πόλεις καὶ πολλοὺς
5 *μετῴκισεν αἰχμαλώτους, ἐπιστρατεύσας δὲ τοῖς Ἱεροσολύμοις ἀλαζονικῶς τε καὶ δυσσεβῶς ἐκομίσατο δικαίως τῆς βλασφημίας τὰ ἐπίχειρα θεηλάτῳ πληγῇ τὴν στρατιὰν ἀπολέσας, καὶ μετ' αἰσχύνης ἀναζεύξας ὑπὸ τῶν ἰδίων τέκνων ἀναιρεῖται. μετὰ δὲ τοῦτον Ναβουχοδονόσωρ ἐν τῷ τρίτῳ ἔτει*
10 *τῆς βασιλείας Ἰωακεὶμ υἱοῦ Ἰωσίου μετὰ δυνάμεως εἰς τὴν Ἰουδαίαν ἀφικόμενος καὶ πολλὰ τάλαντα χρυσίου καὶ ἀργυρίου λαβὼν καὶ ἐκ τοῦ βασιλικοῦ γένους αἰχμαλώτους πολλοὺς καὶ μέρος ἐκ τῶν ἱερῶν σκευῶν ὑπέστρεψε δασμὸν ἐπιθεὶς τῷ λαῷ. καὶ μετ' ὀλίγον χρόνον ὁ μὲν Ἰωακεὶμ τὸν*
15 *φόρον ἠθέτησεν, ὁ δὲ Ναβουχοδονόσωρ τῷ ἑνδεκάτῳ ἔτει τῆς τούτου βασιλείας, ὀγδόῳ δὲ τῆς οἰκείας ἡγεμονίας, πάλιν ἐπιστρατεύει τοῖς Ἱεροσολύμοις, καὶ τὸν μὲν Ἰωακεὶμ ἀνελὼν καὶ ἀπὸ τοῦ τείχους ῥιφῆναι κελεύσας ἄταφον ἐπὶ πολὺν κατέλιπε χρόνον (περὶ οὗ φησιν Ἱερεμίας· τάδε λέγει κύριος*
323 M. 20 *ἐπὶ Ἰωακεὶμ υἱὸν Ἰωσίου βασιλέως Ἰούδα· οὐαὶ ἐπὶ τὸν*

---

19 Jer. 22, 18; 19.

1 *θεγλαθφαλασὰρ* V *θεγλαφαρασὰρ* AM *θεγλαφασὰρ* L *γλαφασὰρ* D. — *δοριάλωτον* (*δωρ.* A) ACP *δορυάλωτον* (*δωρ.* N) rell. — 2 *δεύτερον* V *et* recc. nonnulli. — *σαλαμανασὰρ* ABLV *σαλβανασὰρ* C. — *καὶ τὴν σ.* CELN *τήν τε σ.* F. — *σαμαρείαν* CN *σαμαρίαν* A. — 3 *τρίτος*—4 *πόλεις om.* N. — *τρίτον* C. — *σεναχηρεὶμ* (-*χιρεὶμ* A -*χειρὶμ* LP -*χερὶμ* F) AEFLPR *σενναχηρεὶμ* (-*χειρὶμ* C) CV. — 4 *καὶ*—5 *αἰχμαλώτους om.* CF *v.* 3 *post πόλεις ins.* L. — 5 *μετῴκησε* BNP *et* recc. plerique. — 7 *τὰ πίχειρα* A *ταπίπειρα* P. — *στρατιὰν* EL *στρατειὰν* A *στρατίαν* CN *στρατείαν* FPRV *στρ͞ά* B. — 16 *τῆς τούτου βασιλείας* AP *τῆς βασ. αὐτοῦ* B *τῆς αὐτοῦ βασ.* rell. — 16. 17 *ἐπιστρατεύει πάλιν* B *πάλιν om.* L. — 18 *πολὺ* codd. *praeter* CE. — 19 *κατέλειπε* N.

10 *ἰωακὶμ* P *et sic deinceps.* — 12 *καὶ om.* P.

ἄνδρα τοῦτον· οὐ μὴ κόψονται αὐτόν, ὦ ἀδελφέ, οὐδὲ μὴ κλαύσονται αὐτόν, οἴμοι κύριε καὶ οἴμοι ἀδελφέ, ἀλλὰ ταφὴν ὄνου ταφήσεται καὶ συμψηφισθεὶς ῥιφήσεται ἐπέκεινα τῆς πύλης Ἱερουσαλήμ), τοὺς δὲ ἐν τέλει πάντας αἰχμαλώτους λαβὼν καὶ τοῖς ὑπολειφθεῖσι χειροτονήσας βασιλέα Ἰεχονίαν 5 *υἱὸν Ἐλιακεὶμ ἀπῆρεν εἰς Βαβυλῶνα. εἶτα καὶ τοῦτον μαθὼν στασιάσαντα μετὰ μῆνας γ΄ πάλιν ἐπέρχεται καὶ τοῦτον πεδήσας μετὰ πολλοὺς ἑτέρους δοριάλωτον ἀπάγει καταστήσας ἀντ' αὐτοῦ βασιλεύειν τῶν ὑπολοίπων Σεδεκίαν πατράδελφον αὐτοῦ ὅρκοις κατὰ τοῦ θεοῦ περὶ τοῦ μὴ ἀποστῆναι* 10 *καταδεσμήσας. ἀλλὰ καὶ τούτου παραβάντος τοὺς ὅρκους καὶ μήτε τὸν δασμὸν ἀποδοῦναι θελήσαντος, μήτε μὴν εὔνοιαν φυλάξαντος, ἀλλ' Αἰγυπτίοις προσφυγόντος, αὖθις παρεγένετο, καὶ τὸν μὲν Σεδεκίαν χειρωσάμενος καὶ ἐκτυφλώσας καὶ τὴν πόλιν αὔτανδρον εἰληφὼς τά τε βασίλεια* 15 *καὶ τὸν θεῖον ναὸν καὶ πᾶσαν ἐμπρήσας οἰκίαν αἰχμαλώτους ἀπήγαγε τοὺς διασωθέντας ἔκ τε τοῦ λιμοῦ καὶ τοῦ πολέμου καὶ τὰ διαφέροντα σκεύη τοῦ ναοῦ κυρίου.*

Τὸ πλῆθος τοίνυν τῶν συμφορῶν αὐτῶν καὶ Ἰωὴλ διηγούμενος πρώτην μὲν ἐπελεύσεσθαι κάμπην λέγει, τὰ δὲ ὑπ' 20 *αὐτῆς μὴ διαφθαρέντα ὑπὸ ἀκρίδος ἀναλωθήσεσθαι, ὅσα δὲ ταύτην διαφεύξεται δαπανήσειν τὸν βροῦχον, ἔσχατον δὲ τὴν ἐρυσίβην ἐπαχθεῖσαν μηδὲν παντελῶς καταλείψειν ἀλώ-*

19—*p.* 432, 9 Theodoret. in Joel. 1, 4 Migne T. 81, 1636 B.

1 *οὐδὲ* — 2 *ἀδελφέ om.* AR. — 2 *τοῦτον* BF. — *οἴμοι* MP *οἴμμοι* C. — *καὶ om.* BV. — 3 *τῆς πόλεως ἱερ.* A *τῆς πόλεως τῆς πύλης ἱερ.* M. — 5 *ἰεχωνίαν* (*ἰεχ.* MP) EMP *et* recc. quidam. — 6 *ἐλιακεὶμ* R *ἐλιακὶμ* LP. — 8 *δοριάλωτον* ACP *δορυάλωτον* rell. — 9 *τὸν πατράδελφον* LM. — 10 *ὅρκους* AP. — *τοῦ ante θεοῦ om.* FR. — 14 *μὲν om.* RV. — 18 *τῷ ναῷ* BL. — 20 *πρῶτον* ABMV. — 21 *ἀλωθήσεσθαι* CF. — 22 *διαφεύξονται* FM.

1 *κόψωνται m. 1 ex κόψονται* P. — 2 *κλαύσωνται* P. — 3 *ὀνοῦ lit. corr. ex ὁμοῦ* P. — 13 *προσφυγόντας* P. — 14 *σεδεκί* P. — 19 *αὐτῶν om.* P Theod. — 23 *ἐρρισύβην* P.

βητον. φησὶ γάρ· τὰ κατάλοιπα τῆς κάμπης καταφάγεται ἡ ἀκρίς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος καταφάγεται ὁ βροῦχος, καὶ τὰ κατάλοιπα τοῦ βρούχου καταφάγεται ἡ ἐρυσίβη. ταῦτα γὰρ τροπικῶς εἴς τε τὸν Ἀσσύριον καὶ Βαβυ-
5 λώνιον ἐκληπτέον, κάμπην μὲν τὸν Θεγλαφαλασὰρ ὀνομάζοντες, ἀκρίδα δὲ τὸν Σαλμανασάρ, βροῦχον δὲ τὸν Σεναχηρείμ, ἐρυσίβην δὲ τὸν Ναβουχοδονόσωρ τελευταῖον ἐπιστρατεύσαντα καὶ τὴν Ἰουδαίαν ἄρδην δῃώσαντα καὶ τοὺς τὸν θάνατον διαφυγόντας αἰχμαλωτεύσαντα, καθὼς εἴρηται.

324 M. 10 Πλειστάκις μὲν οὖν συμβέβηκεν ἁλῶναι τὴν Ἰουδαίαν, ὥς φησι πάλιν καὶ ὁ μέγας Κύριλλος, ὑπό τε Ἀσσυρίων καὶ Αἰγυπτίων Σύρων τε καὶ Μωαβιτῶν Ἰδουμαίων καὶ τῶν λεγομένων Φυλιστιείμ, τοῦτ' ἔστι Παλαιστινῶν. ἀλλ' ὀλίγα παθοῦσαν καὶ συμμέτροις ἔσθ' ὅτε περιπεσοῦσαν συμ-
15 φοραῖς πάλιν ἀνῆκεν, ἐπαμύνοντος θεοῦ τοῦ καὶ παιδεύσαντος. ἀπόλωλε δὲ νῦν ὁλοσχερῶς μετὰ τὴν τοῦ κυρίου σταύρωσιν. ὥσπερ τοίνυν ἡ μὲν τῶν Ἀσσυρίων βασιλεία κατελύθη ὑπὸ Βαβυλωνίων, ἡ δὲ Βαβυλωνίων ὑπὸ Περσῶν, ἡ δὲ Περσῶν ὑπὸ Μακεδόνων, ἡ δὲ Μακεδόνων ὑπὸ Ῥω-
20 μαίων, οὕτως ἡ Ῥωμαίων ὑπὸ τοῦ Ἀντιχρίστου καταλυθήσεται, καὶ ἡ τοῦ Ἀντιχρίστου ὑπὸ τοῦ Χριστοῦ διαφθαρήσεται. διὰ μὲν οὖν τῶν δ' ἀνέμων τὰς μεγάλας δ' βασιλείας

---

22 — *p.* 433, 21 Similia sed multo uberiora Cyrillus in comment. ad Zachariam *cp.* VI Migne Tom. 72, 88 *sqq.*

2 λοιπὰ CEV. — 5 θεγλαθφαλασὰρ V θεγλαφασὰρ LN θεγλαφαλσὰρ recc. nonnulli, alii θεγλαφαρασάρ. — ὀνομάζοντος C ὀνομάζοντα F ἑρμηνεύοντες A (τινὲς — ἐξειλήφασι — ὀνομάσαντες Theod.). — 6 σεναχηρείμ (-χειρείμ A -χειρίμ DFLP -χιρείμ recc. nonnulli) ABDFLPR σενναχηρείμ (-χειρίμ CM) CMV. — 8 διώσαντα ANPV. — 10 ἁλῶναι συμβέβηκεν N. — 11 πάλαι V παῦλος A. — 12 ἰουδαίων BCEMR ἰουβαίων P. — ἰδουμ. τε καὶ CEFLNR. — 15 ἐπαμύναντος CRV. — 19 ὑπὸ ῥωμαίων, ἡ δὲ ῥωμαίων N. — 22 οὖν *om.* LR.

3 ἐρισύβη P *hic et infra.* — 22 τέσσαρις βασιλ. P.

ὁ μέγας διδάσκει Ζαχαρίας, τὴν Χαλδαίων καὶ τὴν Περσῶν καὶ τὴν Μακεδόνων καὶ τὴν Ῥωμαίων, τὰ δὲ δύο ὄρη τὰ δύο κλίματα τῆς οἰκουμένης φησίν. εἰς δύο γὰρ τέμνεται, εἰς Ἀσίαν τε καὶ Εὐρώπην. καὶ οἱ μὲν πυροὶ ἵπποι τὸ μιαιφόνον τῶν Χαλδαίων σημαίνουσιν, οἱ δὲ μέλανες τὸν 5 ἐπενεχθέντα παρὰ Περσῶν καὶ Μήδων τοῖς Βαβυλωνίοις θάνατον, οἱ δὲ λευκοὶ τὸ σαφὲς τῆς δόξης τῶν Μακεδόνων (οὐ γὰρ ὥσπερ αἱ ἄλλαι βασιλεῖαι καὶ αὕτη), οἱ δὲ ψαροὶ καὶ ποικίλοι τὸ ἰσχυρὸν καὶ εὔτονον τῆς Ῥωμαίων βασιλείας δηλοῦσιν. ἐπειδὴ δὲ κατεστρατεύοντο Μῆδοι καὶ Πέρσαι 10 κατὰ Βαβυλωνίων, τούτου χάριν πορευόμενοι καὶ δὴ καὶ ἀναπαῦσαι λέγονται τὸν θυμὸν κυρίου. ἐπεὶ γὰρ σκληροὶ γεγόνασι κατὰ τοῦ λαοῦ τοῦ θεοῦ, διὰ τοῦτο παρεδόθησαν εἰς χεῖρας Κύρου τοῦ Πέρσου. τὸ δὲ καὶ τοὺς λευκοὺς ἵππους, τοῦτ᾽ ἔστι τοὺς Μακεδόνας, κατόπισθεν τῶν μελα- 15 νῶν πορεύεσθαι σημαίνει, ὡς καὶ οἱ Μακεδόνες τὴν Περσῶν βασιλείαν χειρώσονται, τὸ δὲ τοὺς ψαροὺς ἐπὶ νότον ἔρχεσθαι δηλοῖ, ὡς ἔμελλον Ῥωμαῖοι στρατεύειν κατὰ τῆς Ἱερουσαλήμ· ἐν γὰρ τῷ νότῳ κεῖται ἡ πόλις. τὸ δὲ προσταχθέντας αὐτοὺς περιοδεῦσαι τὴν γῆν διδάσκει πάλιν, ὡς 20 325 M. διὰ τοῦ θεοῦ πᾶσα βασιλεία συνίσταται.

Γίνονται οὖν ἀπὸ μὲν τοῦ Ἀδὰμ ἕως τῆς ἐσχάτης ἁλώσεως τῆς Ἱερουσαλὴμ ἔτη ͵εσξβʹ, ἀπὸ δὲ τῆς πρώτης οἰκοδομῆς τοῦ Σολομωντείου ναοῦ καὶ τῆς πόλεως ͵απηʹ, ἀπὸ δὲ τῆς δευτέρας οἰκοδομῆς φϙϛʹ, ἀπὸ δὲ τῆς 25 κατὰ Ἀντίοχον πολιορκίας σμηʹ, ἀπὸ δὲ τῆς ἀναλήψεως Χριστοῦ μβʹ.

---

3 κλήματα codd. *praeter* DEV *et* recc. quosdam. — 4 τε *om.* AN. — πυρροὶ EL. — 10 μῆδοι καὶ πέρσαι ABP πέρσαι καὶ μῆδοι rell. — 11 καὶ δὴ καὶ ἀναπαῦσαι APV (ἀνέπαυσαν Zach.) καὶ διαναπαῦσαι rell. — 12 λέγονται FP λέγοντες rell. — ἐπειδὴ BF. — 23 τῆς *ante* Ἱερουσαλὴμ *om.* MP. — 24 σολομοντείου recc. quidam σολομωντίου M σολομοντίου CE recc. alii σολομοντιαίου F *om.* L. — 25 φϙβʹ CEFLR φκϛʹ B. — 27 χριστοῦ BP τοῦ χριστοῦ rell.

Ὁ τοίνυν πολυμαθὴς Εὐσέβιος ἐν τοῖς χρονικοῖς κανόσι περὶ τῶν Ἀντιόχων καὶ Σελεύκων καὶ Πτολεμαίων τε καὶ τῶν μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον καθηγησαμένων ἀρχιερέων διεξιὼν ἐν ἐπιτομῇ τοιάδε φησίν· ὁ οὖν Ἀλέξαν-
5 *δρος ὁ τῶν Μακεδόνων βασιλεὺς ἕκτον ἄγων ἔτος τῆς βασιλείας Δαρεῖον τὸν Ἀρσάμου χειρωσάμενος καθεῖλε τὴν Περσῶν δυναστείαν διαρκέσασαν ἀπὸ Κύρου μέχρι Δαρείου ἔτη σλʹ. τῆς δὲ τῶν Μακεδόνων βασιλείας κατασχούσης ἀπὸ Κραναοῦ ἕως Ἀλεξάνδρου ἔτη φιηʹ, καὶ τούτου τελευ-*
10 *τήσαντος ἐν Βαβυλῶνι, διαδέχονται τὴν ἀρχὴν τῆς μὲν Μακεδονίας Φίλιππος, τῆς δὲ Ἀσίας Ἀντίγονος, τῆς δὲ Αἰγύπτου Πτολεμαῖος ὁ Λαγοῦ, τῆς δὲ Συρίας Σέλευκος. καὶ οἱ μὲν τῆς Συρίας βασιλεύσαντες μετὰ Ἀλέξανδρόν εἰσιν οὗτοι· Σέλευκος ὁ Νικάνωρ, Ἀντίοχος ὁ ἐπικληθεὶς Σωτήρ,*
15 *Ἀντίοχος ὁ Νόθος, Σέλευκος ὁ Καλλίνικος, Ἀλέξανδρος, Ἀντίοχος, Σέλευκος ὁ Φιλοπάτωρ, Ἀντίοχος ὁ Ἐπιφανής, ὃς*
326 M. *Ὀνίαν τὸν ἀρχιερέα τῶν Ἰουδαίων παύσας τῆς ἱερωσύνης ὡρμήθη μεταστῆσαι τὸ πᾶν ἔθνος τῆς πατρῴου θρησκείας, καὶ τὸ μὲν ἱερὸν μιάνας Ὀλυμπίου ναὸν προσηγόρευσεν, τὸ*
20 *δὲ ἔθνος κολάσεις ἀνηκέστους ἐπάγων ἑλληνίζειν ἠνάγκαζεν. ἐφ' οὗ καὶ οἱ Μακκαβαῖοι ἐμαρτύρησαν, τὸ δὲ ἱερὸν ἔτεσι τρισὶν ἐρημωθὲν Ἰούδας ὁ ἐπικληθεὶς Μακκαβαῖος καθάρας*

4—*p.* 436, 22 *cf.* Eudociae Violar. *cp.* 846. — 9—12 *cf.* Georg. *supra p.* 208, 10. — 13—*p.* 435, 7 *cf.* Eus. Chron. I, 264 ed. Schöne.

2 τε *om.* BRV. — 3 τῆς — ἐπάνοδον CE τῆς — ἐπανόδου V. — 5 ἔτος ἄγων FV. — 7 βασιλείαν ALMR Eudoc. — 10. 11 τῆς μακεδ. μὲν B μὲν *om.* V τῆς βασιλείας τῆς μακεδ. R. — 12 λαγοῦ AL PRV λάγου B λαγωοῦ rell. — 13. 14 οὗτοί εἰσιν A Eudoc. — 15 Νόθος] Θεός Eus. — ἀλέξανδρος ἀντίοχος *signo distinctionis omisso* ALMR ἀλέξανδρος ὁ ἀντίοχος F ἀντίοχος *om.* B (*cf.* Euseb. I, 253, 10 *sqq.*). — 18 πατρῴας CF. — 19. 20 τῷ δὲ ἔθνει (-νη F) BF. — 20 κολάσεις ἀνηκέστοις EFLMR κολάσεσιν ἀνηκέστοις V.

14 νικάτωρ P. — ὁ *ante* ἐπικληθεὶς *om.* P. — 16 ἐπιφάνης P. — 21 οἱ μακκαβεῖς P. — 21. 22 ἐν τρισὶν ἔτεσιν P.

τῶν ἀσεβῶν τὴν χώραν ἀνενεώσατο. εἶτα ἐβασίλευσεν Ἀντίοχος ὁ Εὐπάτωρ, Δημήτριος Σέλευκος, Ἀλέξανδρος ὁ τοῦ Βαλᾶ, Δημήτριος ὁ Νικάνωρ, Ἀντίοχος, Τρύφων, Πτολεμαῖος, Ἀντίοχος ὁ Σιδίτης, Δημήτριος, Ἀντίοχος ὁ Γρυπός, Ἀντίοχος ὁ Κυζικηνός, Σέλευκος ὁ τοῦ Γρυποῦ, ἐφ' οὗ 5 Ἀντιόχεια ὑπὸ Ῥωμαίων ἥλω, καὶ ἡ Συρίας ἀρχὴ κατελύθη διαρκέσασα ἔτη σν'.

Οἱ δὲ τῆς Αἰγύπτου βασιλεύσαντες μετὰ Ἀλέξανδρόν εἰσιν οἵδε· Πτολεμαῖος ὁ Λαγοῦ, ἐφ' οὗ Μένανδρος ὁ κωμῳδοποιὸς ἐγνωρίζετο καὶ Θεόφραστος ὁ φιλόσοφος, Πτολε- 10 μαῖος ὁ Φιλάδελφος, ἐφ' οὗ οἱ ο' Ἑβραίων σοφοὶ τὸν νόμον ἡρμήνευσαν, Πτολεμαῖος ὁ Εὐεργέτης, ἐφ' οὗ ὁ τὴν πανάρετον σοφίαν συντάξας Ἑβραίοις Ἰησοῦς ὁ τοῦ Σιρὰχ ἐγνωρίζετο, Πτολεμαῖος ὁ Φιλοπάτωρ, ἐφ' οὗ τῶν Ἑβραίων ὁ λαὸς αἰχμάλωτος ἀχθεὶς ἐν Αἰγύπτῳ τοιοῦτόν τι πέπον- 15 θεν· προστάξας γὰρ οὗτος τοῖς ἑαυτοῦ ὑπασπισταῖς ἐλέφαντας φ' εὐτρεπίσαι καὶ τούτους ποτίσαι οἴνῳ λιβανωτῷ, ἵνα μεθυσθέντες τοὺς Ἰουδαίους ἀποκτείνωσιν, τῶν δὲ προσευξαμένων, οἱ ἐλέφαντες εἰς τοὺς ἑαυτῶν στρατιώτας τε καὶ δήμους ἐξορμήσαντες πολὺν αὐτῶν ὄχλον ἐν τῇ περιεχούσῃ 20 μανίᾳ διέφθειραν, καὶ οὕτω παραδόξως οἱ Ἰουδαῖοι περισω-

8—*p*. 436, 8 Eus. Chron. I, 170. *cf*. Niceph. Brev. *p*. 90 ed. de Boor. — 9 *cf*. Eus. Tom. II, 116. — 11 *cf*. *ib*. I, 128; II, 118. — 12 *ib*. II, 122. — 14—*p*. 436, 2 *cf*. Chron. Pasch. *p*. 332, 11.

2 δημήτριος, σέλευκος BNV. — 3 βαλά ALMPV βάλα B. — ἀντίοχος τύφων B ἀντίοχος ὁ τρύφων F. — 4 σιδήτης MP. — 5 κυζικινός ACDFP κυζινός L. — 6 ἡ ἀντιόχεια FL Eud. — 9 λάγου BE λαγωοῦ CDF. — ὁ κωμῳδοποιὸς DPR Eud. ὁ *om*. rell. — 14 τῶν ἑβραίων ὁ λαὸς ABP ὁ τῶν ἑβραίων λαὸς rell. — 18 ἀποκτείνωσι τοὺς ἰουδαίους ACF. — 19 ἑαυτῶν ABR ἑαυτοὺς P ἑαυτοῦ rell. (ἰδίους Chron.).

2 δημήτριος σελεύκου *recte* P. — 3 νικάτωρ P. — 7 *Incertum sitne* σν' *an* ση' *in* P. — 17 εὐτρεπίσαι καὶ *om*. P Chron. — τούτους] οὓς εἶχε P Chron. — 17.18 ἵνα τοὺς ἰουδαίους πάντας δι' αὐτῶν ἀπολέσῃ. τῶν δὲ P Chron. — 21 οἱ *om*. P.

θέντες ἀβλαβεῖς ἀπελύθησαν εἰς τὰ ἴδια τῷ εὐεργέτῃ θεῷ εὐχαριστοῦντες. εἶτα βασιλεύει Πτολεμαῖος ὁ Ἐπιφανής, Πτολεμαῖος ὁ Φιλομήτωρ, Πτολεμαῖος ὁ Εὐεργέτης, Πτολεμαῖος ὁ Σωτήρ, Πτολεμαῖος ὁ Ἀλέξανδρος, Πτολεμαῖος
327 M. 5 ὁ ἀδελφὸς αὐτοῦ, Πτολεμαῖος ὁ Διονύσιος, Κλεοπάτρα ἡ τούτου θυγάτηρ, ἣν Αὔγουστος ἀνελὼν ἐν ἔτει ιδʹ τῆς ἑαυτοῦ βασιλείας ἐκράτησε τῆς Αἰγύπτου καθελὼν τὴν βασιλείαν τῶν Πτολεμαίων διαρκέσασαν ἔτεσι σϙʹ.

Οἱ δὲ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον καθηγησάμενοι
10 ἀρχιερεῖς εἰσιν οὗτοι· Ἰησοῦς ὁ υἱὸς Ἰωσεδὲκ ἅμα Ζοροβάβελ, Ἰάκιμος υἱὸς Ἰησοῦ, Ἐλιάσιμος Ἰακίμου, Ἰωδαὲ Ἰασίμου, Ἰωάννης ὁ τοῦ Ἰωδαέ, Ἰαδδούς, ἐφ' οὗ Ἀλέξανδρος ἐν Ἱερουσαλὴμ τῷ θεῷ προσεκύνησε καὶ τὴν Ἀλεξάνδρειαν ἔκτισεν, Ἰωνίας Ἰαδδοῦ, Ἐλεάζαρος, Ἰωνίας, Σίμων, Ἰωναάς,
15 Σίμων, Ἰωάννης ὁ καὶ Ὑρκανός, Ἀριστόβουλος, ὃς καὶ πρῶτος ἐπέθετο διάδημα βασιλικὸν πρὸς τῇ ἀρχιερωσύνῃ, Ἰανναῖος ὁ καὶ Ἀλέξανδρος βασιλεὺς ἅμα καὶ ἀρχιερεύς. μέχρι τούτου οἱ ἀπὸ Κύρου χριστοὶ ἡγούμενοι διαρκέσαντες ἔτη υπγʹ, ἅ εἰσιν ἑβδομάδες ἐτῶν ξθʹ, καθὼς ἔφη Δανιήλ· καὶ
20 γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ

9—17 *cf.* Nicephor. Brev. *p.* 109. — 19 Dan. IX, 25.

3 πτολεμ. ὁ φιλομήτωρ, πτολ. ὁ ἐπιφανής CF. — 4 ὁ σωτήρ ABP ὁ ἐπικληθεὶς σωτήρ rell. — ἀλεξάνδρου N. — 7 αὐτοῦ FL. — 8 ἐν ἔτεσι CENRV. — σϙεʹ Eus. — 10 ἱερεῖς N. — ὁ *om.* BR. — 11 ἰάκημος ABM ἰωάκειμος F. — υἱὸς αὐτοῦ τοῦ ἰησοῦ N. — ἐλιάσιβος (ἐλ. V) BV. — ἰακίβου B ἰακήβου A ἰωακείμου F ἰωακίμου N. — ἰασίμου ABEP ἰωσίβου L ἰωσίμου rell. — 12 ἰαδδοῦς ACER ἰαδοῦς B. — 14 ἰωναάς, σίμων *om.* N. — ἰωναᾶς RV ἰωνάας CE. — 15 Ἰωάννης] ἰαννὴς *vel* ἰαννῆς CELRV. — 16 πρὸς τῆς ἀρχιερωσύνης B πρὸ τῆς ἀρχιερωσύνης R πρὸς τὴν ἀρχιερωσύνην G ἐπὶ τὴν ἀρχιερωσύνην A. — ἰαννέος B ἰανναίας CNV ἰαννέας F.

1 τὸν εὐεργέτην θεόν P. — 2 ἐπιφάνης P. — 5 ὁ *ante* ἀδελφὸς *om.* P. — 7 τὴν αἴγυπτον P. — 14 ἰωανίας ἰαδδοῦ *sed* α *lit. tentatum* P. — Ἰωνίας] ὀνίας P Nic. — 19 φησιν P.

τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ζ΄ καὶ ἑβδομάδες ξβ΄.

[*ια΄. Περὶ Τίτου.*]

Μετὰ δὲ Οὐεσπασιανὸν ἐβασίλευσε Τίτος υἱὸς αὐτοῦ ἔτη γ΄. καὶ ὥρᾳ θερινῇ πανήμερον ὁδοιπορήσας καὶ αἱμορραγήσας διὰ τῶν μυκτήρων ὑπὸ τοῦ ἡλίου συμφλεχθεὶς καὶ πάνυ λιποθυμήσας, ἔτι ἐμπνέοντα αὐτὸν ἐνέβαλεν εἰς τὸν τάφον Δομετιανὸς ὁ ἀδελφὸς αὐτοῦ κατ' ἐπιτροπὴν τῆς γυναικὸς Τίτου. ὁ οὖν θαυμάσιος Τίτος οὗτος φιλοσοφώτατος καὶ εὐγλωττότατός τε καὶ πολεμικώτατος ἅμα καὶ μέτριος ἄγαν ὑπάρχων καὶ ἀγαθουργίᾳ πολλῇ καὶ σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ φρονήσει κοσμούμενος ἐκδηλοτέραν ἅπασι πεποίηκε τὴν ἑαυτοῦ συμπάθειαν ἐν τῇ ἁλώσει τῆς Ἱερουσαλήμ. σφόδρα γὰρ ἐπένθησε τοὺς θεηλάτους Ἰουδαίους τότε, καὶ μᾶλλον τὸν θεῖον ναὸν πυρπολούμενον ὁρῶν ἐδάκρυσε καὶ τὸν θεὸν ἐδυσώπησε τυχεῖν ἐλέους καὶ συγγνώμης, ὡς οὐ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν ταῦτα γεγόνασιν, ἀλλὰ διὰ τὴν ἐκείνων θεοστυγῆ δυστροπίαν. ὅθεν δὴ μετὰ τὴν ἅλωσιν πρὸς τοὺς ἀνακηρύττοντας αὐτὸν νικητὴν καὶ τροπαιοῦχον διωθεῖτο τὰς ἀναρρήσεις, ὡς οὐκ αὐτὸς εἰργάσθαι ταῦτα φήσας, ἀλλὰ θεηλάτῳ καὶ θείᾳ ὀργῇ καθυπουργῆσαι καὶ τὰς χεῖρας ἐπιδεδωκέναι. κἀντεῦθεν τοίνυν διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ ταπεινοφροσύνην παγγέραστος καὶ πανεπέραστος γενόμενος οὕτως ἐτελεύτησεν. τοσοῦτον

4 *τῖτος* BDEFV. — *ὁ υἱὸς* AFMR. — 7 *λειποθυμήσας* BCEM. — 9 *αὐτοῦ τίτου* N *αὐτοῦ* R. — *οὗτος τίτος* FR. — *τῖτος* BEV. — 11 *ὑπάρχων ἄγαν* D *ὑπάρχων om.* M. — *ἀγαθοεργίᾳ* BR Exc. de virt. — 15 *πυρπολούμενον ὁρῶν* ABP Exc. *ὁρῶν πυρπολούμενον* rell. — 17 *αὐτοῦ* AC Exc. — 21 *εἰργᾶσθαι* ACDLPV *εἴργασθαι* BEM *εἴργασται* F Exc. *ἐργάσασθαι* R *ἐργάσατο* G. — *τοῦτο* RV. — *θείᾳ καὶ θεηλάτῳ ὀργῇ* B *θεηλάτῳ ὀργῇ καὶ θείᾳ* N. — 24 *τοσοῦτος* LR.

2 *Post v. 2 alia add.* P *de septem hebdomadibus et Judaeorum regibus in tertio volumine edenda.*

δὲ θρῆνος ἐπὶ τῇ τελευτῇ αὐτοῦ κατέσχε τὴν Ῥώμην, ὡς ἐν χρόνῳ πολλῷ τοῦτον ἀπομνημονεύοντες καὶ τὰς ἀρετὰς αὐτοῦ ἀναλογιζόμενοι δημοσίᾳ καὶ κατ' οἴκους κλαίειν ὥσπερ οἰκείῳ πάθει κατεχόμενος ἕκαστος.

5 Ἐφ' οὗ τὸ Βέσβιον ὄρος ἐν τῇ δύσει κατὰ κορυφῆς ῥαγὲν πῦρ ἀνέβλυσε τοσοῦτον, ὡς καταφλέξαι τὴν παρακειμένην χώραν σὺν ταῖς πόλεσιν. ὅπερ θεασάμενοι οἱ Ἕλληνες καὶ σφόδρα καταπλαγέντες ἠρώτησάν τινας τῶν ἐλλογίμων χριστιανῶν, πῶς καὶ πόθεν ἐξῆλθε τὸ πῦρ ἐκ τῶν 10 μυχάτων τῆς γῆς. οἱ δέ φησιν· ἐκ τῆς ἡτοιμασμένης τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ καὶ πᾶσι τοῖς ἁμαρτωλοῖς καὶ ἀσεβέσιν ἀνθρώποις γεέννης ἀνεδόθη πρὸς σωφρονισμὸν καὶ ἐπίγνωσιν τῶν ἁμαρτανόντων. καὶ δῆλον ἐξ ὧν καὶ ὁ περιβόητος ὑμῶν διδάσκαλος Πλάτων ἔφη διεξερχόμενος ἐν 15 τῷ Φαίδωνι περὶ τῶν λήξεων καὶ ἀποπληρώσεων τῶν ψυ- 329 M. χῶν, ὅτι οἱ κακῶς βεβιωκότες κολάζονται ἐν τῷ Κωκυτῷ καὶ ἐν τῷ Πυριφλεγέθοντι καὶ ἐν τῷ Ταρτάρῳ, ἅτινά εἰσιν ἐν τῷ τῆς γῆς βάθει. καὶ ταῦτα μὲν ἐκεῖνοι πρὸς τοὺς κατ' ἐκεῖνο καιροῦ διαποροῦντας Ἕλληνας. ὁ δέ γε θεῖος Πατρί- 20 κιος καὶ τῆς Προύσης ἐπίσκοπος καὶ μάρτυς πρὸς τὸν δικαστὴν ἀνθύπατον ἐρωτηθεὶς ἐπὶ λαοῦ καὶ δήμου περὶ τῶν αὐτοφυῶν θερμῶν πόθεν ἀνάγονται, οὕτως. ἀπεκρίθη· ὁ

---

13 Platon. Phaed. *p.* 112 A *sqq.* *cf.* Nonnus ad Gregor. Naz. Or. II ctr. Julian. *cp.* 36 Migne Tom. 36, 1053 D. — 19—*p.* 440, 12 Passio Scti Patricii *in* Acta Sanct. April. Tom. III *p.* LXVI.

1 ἐπὶ] ἐν BR. — 3 διαλογιζόμενοι R *om.* P. — ἔκλαιον P κατέκλαιον R. — 10 μυχάδων V μυχαιτάτων (μυχετ. F) FR μοιχοτάτων B. — φασίν R ἔφησαν F. — 15 φαίδονι CDFLPRV. — ἀποκληρώσεων CR. — 18 κατ' ἐκείνω (κατεκεῖνω C) καιροῦ BCLM κατεκείνου καιροῦ (ῦ *m. 1 in lit.*) P κατεκείνω καιρῷ A κατ' ἐκεῖνον καιρὸν V κατ' ἐκεῖνον καιροῦ G.

7 οἱ ἕλληνες θεασάμενοι P. — 14 ἔφη. διεξερχ. γὰρ ἐν — τῶν ψυχῶν λέγει ὅτι P. — 21 ἐπὶ] ὑπὸ P. — 22 ἀνάγωνται P. — ἀπεκρίθη φάσκων P.

κτίσας θεὸς πῦρ καὶ ὕδωρ ἐξ οὐκ ὄντων οὐσιῶν, καὶ ἐκ μὲν τοῦ πυρὸς φῶς καὶ ἥλιον καὶ τοὺς λοιποὺς φωστῆρας κατασκευάσας λόγῳ προσέταξεν αὐτοὺς ἡμέραν καὶ νύκτα δᾳδουχεῖν. τοσαύτη γὰρ αὐτοῦ ἡ δύναμις, ὅσον καὶ τὸ θέλημα. ἐκ δὲ τοῦ ὕδατος τὸ στερέωμα τοῦ οὐρανοῦ συμ- 5 *πήξας καὶ γῆν ἐπάνω τῶν ὑδάτων ἑδράσας ἐποίησε τὰ ἐν αὐτοῖς πάντα προγνωστικῇ ἐνεργείᾳ, ἵνα ὁ μέλλων παρ' αὐτοῦ διαπλάττεσθαι ἄνθρωπος μηδενὸς τῶν ἀναγκαίων καὶ συμφερόντων εἰς χρῆσιν ἐνδέηται. ἐν οἷς δύο τόπους εὐτρεπίσας πάλιν ἀϊδίους τὸν μὲν φωτὶ καταλάμπεσθαι καὶ ἀπε-* 10 *ράντων ἀγαθῶν ἔμπλεον κατεσκεύασεν, τὸν δὲ σκότους καὶ κολαστικοῦ πυρὸς αἰωνίου πεποίηκεν, ὅπως οἱ μὲν εὐαρεστήσαντες αὐτῷ καὶ πρὸς τὴν τοῦ διαβόλου μὴ κατολισθήσαντες ἀπάτην τὸν τῶν φωσφόρων ἀγαθῶν μετὰ τὴν ἀνάστασιν ἀπολαβόντες τόπον αἰωνίως αὐτῷ συμβασιλεύσωσιν, οἱ* 15 *δὲ παρoργίσαντες αὐτὸν καὶ τῷ κοινῷ ἐχθρῷ ἐξακολουθήσαντες σὺν αὐτῷ καὶ τὸν τῶν σκοτεινοφόρων κολαστηρίων ἀπειληφότες χῶρον ἀτελευτήτως ἀπολαύσωσιν. διαχωρίσας δέ γε τὸ πῦρ καὶ τὸ ὕδωρ, ὥσπερ τὸ φῶς καὶ τὸ σκότος, κατεκερμάτισε ταῦτα κατὰ πάσης αὐτοῦ τῆς κτίσεως, καὶ* 20 *ἔστιν ὕδωρ ὑπεράνω τοῦ στερεώματος καὶ πῦρ ὑποκάτω τοῦ στερεώματος, ὅ ἐστιν αἰθήρ, καὶ ἔστιν ὕδωρ καὶ πῦρ ὑποκάτω τῆς γῆς. καὶ τὸ μὲν ἐπάνω τῆς γῆς ὕδωρ συναχθὲν εἰς συναγωγὴν μίαν θάλασσα προσηγορεύθη, τὸ δὲ ὑποκάτω* 330 M. *τῆς γῆς ἀπομεῖναν ἄβυσσος ἐκλήθη, ἐξ οὗ καθάπερ σίφω-* 25

---

2 *καὶ ἥλιον* ABP Pass. *καὶ om.* rell. — 3 *αὐτοῖς* FR. — *ἡμέρα* ABEL. — 7 *δι' αὐτοῦ* RV. — 11 *ἔμπλεων* BDR *ἔμπλεω* V. — 15 *ἀπολαύοντες* BCE *ἀπολάβοντες* F. — 17 *τὸν om.* PR. — 18 *ἀπειληφότες χῶρον* ABP *χῶρον* (*χώραν* R) *ἀπειληφότες* CELNRV *ἀπειληφότες om.* F. — *ἀτελευτήτως* ABP *αἰωνίως καὶ ἀτελευτήτως* rell. — 21 *ὕδωρ καὶ πῦρ ὑπεράνω* R. — *καὶ πῦρ ὑποκάτω τοῦ στερεώματος om.* CELNR *ὑποκάτω τοῦ στερεώματος om.* F.

16 *τὸν κοινὸν ἐχθρὸν* P. — 22 *ὁ αἰθήρ* P.

νές τινες ἀναπέμπονται πρὸς ζωὴν ἡμῶν αἱ πηγαὶ καὶ παντὸς ζώου, ἀφ' οὗ καὶ τὰ θερμὰ ἀνάγονται. καὶ τὰ μὲν πορρωτέρω τοῦ κάτω πυρὸς ἀπέχοντα προνοίᾳ θεοῦ ἀναδίδονται ψυχρότερα, τὰ δὲ πλησίον τοῦ πυρὸς ἐκεῖθεν ἐκπυ-
5 *ρούμενα ζέοντα λίαν ἀναφέρονται, ὅσα δὲ οὐ πολὺ πλησιάζουσι τὸ πῦρ ὕδατα χλιαρὰ ἔν τισι τόποις ἐξάλλονται. καὶ τὸ μὲν ὑποκάτω τῆς γῆς πῦρ κολαστήριόν ἐστι δαιμόνων καὶ ἁμαρτωλῶν ἀνθρώπων, τὸ δὲ κατώτατον ὕδωρ ψυχρότατον ὂν καὶ εἰς βώλους κρυστάλλου πεπηγός, ὃ καὶ Τάρ-*
10 *ταρος λέγεται, βασανιστήριόν ἐστιν ὡσαύτως καὶ τοῦτο τῶν μὴ φυλαξάντων τὰς ἐντολὰς κυρίου. ὅτι δὲ πῦρ ἔστιν ὑποκάτω τῆς γῆς, πειθέτω σε τὸ ἐν Σικελίᾳ καὶ ἐν Λυκίᾳ προφανῶς ἀναδιδόμενον καὶ μέντοι καὶ ἐν ἄλλοις διαφόροις τόποις ὁμοίως παραδεικνύμενον πῦρ εἰς τὴν φοβερὰν γέεν-*
15 *ναν προδήλως πάντας κατακαῖον, ὅσοι τὰ τοῦ πυρὸς ἔργα πεπράχασιν. περὶ οὗ καὶ ὁ μέγας Μωϋσῆς ἐκ προσώπου τοῦ θεοῦ φησιν· ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου. καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων. οὕτω δὲ καὶ Ἡσαΐας*
20 *προφαίνων διαρρήδην τοῖς ἁμαρτωλοῖς τὴν ἐσομένην καὶ ἡτοιμασμένην αὐτοῖς διὰ τοῦ ἀσβέστου πυρὸς κόλασιν ἐκβοᾷ· τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται, καὶ τίς ἀπαγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. καὶ ἐξελεύσονται καὶ*
25 *ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί, λέγει κύριος. ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει καὶ*

---

16 Deut. 32, 22. — 22 Jes. 33, 14; 50, 11; 66, 24.

3 *ἀπέχονται* EV. — *ἀναδίδοται* CDEFLR *ἀναδιδόμενα* V. — 6 *τὸ πῦρ* ABP *τῷ πυρὶ* rell. — 12 *ἐν τῇ σικελίᾳ* N. — 13. 14 *τόποις διαφόροις* EFLNR. — 19 *γεννήματα* BR Deut. — 22 *ὅτι — ὑμῖν om.* CF. — 22 *ἀπαγγελεῖ* ABP *ἀναγγελεῖ* rell. Jes.

14 *εἰς*] *καὶ* P. — 15 *πάντας ὑπομιμνήσκοντα* P *in quo κατακαῖον — πεπράχασιν desunt.*

τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

Καὶ δὴ καὶ ὁ θεηγόρος Χρυσόστομός φησιν· ὅρα παράδοξον ἕτερον αὖθις, ἐναντίας φύσεις συνιούσας. οὔτε γὰρ ἀστραπῆς τι πυρωδέστερον, οὔτε ὕδατος ψυχρότερον, ἀλλ' 5 *ὅμως ἀναμίγνυται καὶ οὐ συγχεῖται οὐδὲ κεράννυται, ἀλλὰ* 331 M. *τοὺς οἰκείους ἑκάστη διατηρεῖ ὅρους, τὸ πῦρ ἐν τῷ ὕδατι καὶ τὸ ὕδωρ ἐν τῷ πυρί· καὶ οὔτε τοῦτο ἐκεῖνο ἀνεξήρανεν, οὔτε ἐκεῖνο τοῦτο κατέσβεσεν, καίτοι ἀστραπὴ τοῦ ἡλιακοῦ πυρὸς ὀξύτερον καὶ φανότερον καὶ τομώτερον. καὶ μαρτυ-* 10 *ροῦσιν αἱ ὄψεις αἱ ταῖς ἀκτῖσι διηνεκῶς καταλαμπόμεναι, ἐκείνης δὲ τὴν φορὰν οὐδὲ πρὸς βραχὺ δυνάμεναι ἐνεγκεῖν. καὶ ὁ μὲν ἥλιος διὰ πάσης ἡμέρας διατρέχει τὸν οὐρανόν, αὕτη δὲ ἐν μιᾷ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν, ὡς καὶ Χριστὸς μαρτυρεῖ λέγων· ὥσπερ ἡ ἀστραπὴ ἐξ ἀνατολῶν* 15 *πορεύεται καὶ φαίνει ἕως δυσμῶν. εἶτά φησιν· ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. αὕτη πάλιν ἑτέρα φύσις οὐ μικρὰν ἡμῖν παρέχουσα χρείαν, ἀλλὰ τοσαύτην ὥστε εἰς τὸ πολὺ τῆς ζωῆς ἡμῖν συντελεῖν καὶ κεκμηκότα ἀνακτᾶσθαι τὰ σώματα. τοῦτο γὰρ ἔργον ἀνέμων ἀναρριπίζειν τὸν ἀέρα,* 20 *ὥστε μὴ ἀκίνητον ὄντα φθείρεσθαι, πεπαίνειν τε τοὺς καρποὺς καὶ τρέφειν τὰ σώματα. τί ἂν τις εἴποι τὰς ἐν ναυ-*

3—*p.* 443, 11 Chrysost. *in* Psalm. 134 *cp.* 3 Migne Tom. 55, 390. — 15 Matth. 24, 27.

1 *αὐτῶν om.* RV. — 6 *σύγχυται* ER. — 8 *ἐξήρανεν* DFG. — 9 *τοῦτο om.* ANP *τὸ πῦρ* B. — *ἡ ἀστραπὴ* RV Chr. — 10 *φανώτερον* ABDF *et mg.* P *m. 1* *φανερώτερον* P *in textu.* — 12 *φορὰν*] *φοβερὰν* CP. — *ἐνεγκεῖν* ABP Chr. *ὑπενεγκεῖν* rell. — 15 *ὁ χριστὸς* BFR Chr. — 16 *φαίνει* ABP *φαίνεται* rell. Chr. Matth. — 18 *ἡμῖν* ABFP *ἡμῶν* rell. — 22 *τίς ἂν τις εἴποι* ER *τίς ἂν εἴποι* C. — *ἐν ναυτηλίᾳ* DFPR *ἐν ναυτιλλίᾳ* B *ἐναυτηλία* C *ἐν αὐτῇ λία* M.

10 *καὶ φαν. τε καὶ* P. — 20 *τὰ σώματα καὶ καταψύχειν καὶ τὸν ἀέρα κουφότερον ποιεῖν* P Chr. — *ἀναριπίζειν* P.

τιλίᾳ χρείας αὐτῶν καὶ τοὺς καιρούς, καθ' οὓς τεταγμένως ἐφίστανται καὶ παραχωροῦσιν ἀλλήλοις χορεύοντες ἐν τῷ πελάγει καὶ τοὺς πλωτῆρας διαβιβάζοντες; καὶ ὁ μὲν παρέπεμψεν, ὁ δὲ διεδέξατο, καὶ ἐναντίας ὁδεύοντες ὁδοὺς καὶ 5 *διακονοῦντες, ἡ μάχη αὐτῶν πάλιν τῷ βίῳ γίνεται χρήσιμος. καὶ μυρία ἕτερα ἂν τις εἴποι τῶν ἀνέμων ἔργα. ἀλλ' ὅμως ταῦτα πάντα παραδραμὼν ὁ προφήτης καὶ καταλιπὼν τῷ ἀκροατῇ ἀναλέγεσθαι αὐτὸς μόνον τὴν εὐκολίαν τῆς δημιουργίας παρέστησεν. τὸ γὰρ εἰπεῖν· ἐκ θησαυρῶν αὐτοῦ,* 10 *οὐ τοῦτο δηλοῦντός ἐστιν, ὅτι θησαυροί τινές εἰσιν ἀνέμων,* 332 M. *ἀλλὰ τὸ εὔκολον τοῦ ἐπιτάττοντος καὶ ἕτοιμον τῆς βουλῆς καὶ παρεσκευασμένον. ὥσπερ γὰρ ὁ ἔχων ἐν θησαυρῷ μετὰ ἀδείας ἐξάγει πάντα καὶ ὅτε βούλεται πάλιν εἰσάγει, οὕτω καὶ ὁ τοῦ παντὸς δημιουργὸς πάντα εὐκόλως ἐποίησε καὶ* 15 *τῇ φύσει παρέδωκεν. εἶδες πόση καὶ ἐν ἀέρι διαφορά, καθάπερ καὶ ἐν ὕδατι καὶ ἐν πυρὶ πολλαὶ ἐναλλαγαί. καὶ γὰρ τοῦ ὕδατος τὸ μέν ἐστι πηγαῖον, τὸ δὲ θαλάττιον, τὸ δὲ ἀέριον, τὸ δὲ ἐν νεφέλαις, τὸ δὲ ὑπερουράνιον, τὸ δὲ ὑπεράνω τῶν οὐρανῶν, τὸ δὲ ὑπόγειον, ἀφ' οὗ καὶ τὰ* 20 *θερμὰ ὕδατα ἐν διαφόροις τόποις ἀνάγονται διὰ τοῦ ὑπογείου πυρὸς θερμανθέντα παραδόξως. καὶ τοῦ πυρὸς τὸ μέν ἐστιν ἐν ἡλίῳ, τὸ δὲ ἐν σελήνῃ, τὸ δὲ ἐν ἀστραπαῖς, τὸ δὲ ἐν ἀέρι, τὸ δὲ ἀπὸ ξύλων τὸ περὶ ἡμᾶς καὶ τὸ λυχνιαῖον, τὸ δὲ ἀπὸ γῆς (καὶ γάρ ἐστι πολλαχοῦ τὸ τοιοῦτον* 25 *ἀπὸ γῆς ἀναδιδόμενον ὥσπερ αἱ πηγαὶ τῶν ὑδάτων), τὸ δὲ*

1 *καθ' οὓς*] *καθοὺς* M *καθὼς* CF *et* recc. quidam *καθὴν* A *om.* recc. alii. — 11 *τὸ εὔκολον* BFRV Chr. *τὴν εὔκολον* rell. — 12 *ἔχων θησαυρῷ* A *ἔχων θησαυρὸν* FR. — 16 *ἐν ante πυρὶ om.* CF. — 18 *ὑπερουράνιον*] *οὐράνιον* Chr. — 19 *ὑπόγιον* A *ὑπόγαιον* B. — 19 *ἀφ' οὗ* — 21 *παραδόξως om.* B *et alia inserit e Pauli Silentiarii opusculo de thermis Pythiis desumpta.* — 23 *καὶ τὸ λυχνιαῖον* ABPV Chr. *καὶ om.* rell. — 25 *ἀπὸ γῆς om.* CF.

9 *αὐτῶν* P.

ἐν λίθοις παρατριβομένοις, τὸ δὲ ἐν κόμαις δένδρων καὶ αὐτῶν παρατριβομένων, τὸ δὲ ἐν κεραυνοῖς ἐκ τοῦ αἰθέρος, τὸ δὲ καὶ ἐξ ὑδάτων καὶ ὑέλων διαυγεστάτων καὶ καθαρωτάτων ἐξάλλεσθαι πέφυκεν. οὕτω δὴ καὶ ἐν ἀέρι πάλιν ὁ μέν ἐστι παχύτερος ὁ περὶ ἡμᾶς καὶ φθοροποιός τε καὶ 5 νοσημάτων ποικίλων καὶ ἐπικινδύνων αἴτιος, ὁ δὲ λεπτότερος καὶ σωμάτων εὐκρασίας καὶ εὐρωστίας πρόξενος, ὁ δὲ ἀνώτερος καὶ πυρωδέστερος. ὥσπερ καὶ τῶν ἀνέμων πολλαὶ διαφοραί. ὁ μὲν γάρ ἐστι λεπτότερος, ὁ δὲ παχύτερος, ὁ μὲν ψυχρότερος, ὁ δὲ ξηρότερος, ὁ μὲν ὑγρότερος, ὁ δὲ θερμότερος. 10 ὅθεν οὖν ὁ προφήτης ἐμπεσὼν εἰς τὴν ἄβυσσον τῶν εὐεργετημάτων τούτων καὶ τῶν τοιούτων, ἐν οἷς ἡ τοῦ θεοῦ δύναμις καὶ σοφία δείκνυται, καὶ ἰδὼν τὸ πέλαγος ἀχανές, ἀπεπήδησε μέγα βοήσας· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε. πάντα ἐν σοφίᾳ ἐποίησας καὶ σοφίας ἐνέπλησας τά 15 τε ἔμψυχα καὶ ἄψυχα.

[ιβ'. Περὶ Δομετιανοῦ.]

Μετὰ δὲ Τίτον ἐβασίλευσε Δομετιανὸς ἀδελφὸς αὐτοῦ 333 M. ἔτη ιε' καὶ ἐσφάγη ἐν τῷ ναῷ Ῥώμης κατ' ἐπιβουλὴν

---

14 Psalm. 103 (104), 24.

1 κώμαις BDFV κοπαῖς C. — 2 αἰθέρους B ἀέρος N. — 3 καὶ ἐξ AP καὶ *om.* rell. — 6 ποικίλων καὶ *om.* B καὶ *om.* N *et* E *in quo verba* ἐπικινδύνων αἴτ. ὁ δὲ λεπτότερος *post* ἀνώτερος *inserta sunt.* — 15 σοφίας ἐνέπλησας ABP ἐνέπλησας σοφίας rell. — τά τε (τε *om.* A) ἔμψυχα καὶ ἄψυχα APV τά τε ἄψυχα καὶ ἔμψυχα B τά τε ἔμψυχα καὶ τὰ ἄψυχα rell. — 18 τῖτον BEFV *et* recc. quidam. — ἀδελφὸς BP ὁ ἀδελφὸς rell.

14 μέγα νοήσας ὡς καὶ προαναφωνήσας φησίν P. — 16 *Post* ἄψυχα P *add.*: καὶ τίς οὐ θαυμάσειεν, ἵνα τὰ πολλὰ τῶν ἔργων αὐτοῦ παραλείψαντες διὰ τὸ μῆκος τοῦ λόγου, τὸν ἥλιον καὶ τὴν σελήνην ἐπιμνησθῶμεν καὶ τὸν τούτων ἄπαυστόν τε καὶ εὔτακτον δρόμον εἰς εὐκρασίαν καὶ σύστασιν τῶν ζώων ἁπάντων μὲν εὔδηλον ὅτι, μάλιστα δὲ τοῦ ἀνθρωπίνου συγκρίματος. τρέχουσι γάρ φησιν ὁ δαμασκηνὸς ἱερὸς ἰωάννης δρόμον ἄληκτον.

τῆς ἑαυτοῦ γυναικός. καὶ οὕτω διάδοχος τοῦ ἀδελφοῦ γενόμενος οὐ τὴν πατρικήν τε καὶ ἀδελφικὴν ἐζήλωσεν ἄριστον πολιτείαν, ἀλλὰ τὴν Τιβερίου καὶ Νέρωνος ἀνοσιουργίαν ἐκ διαμέτρου. καὶ δὴ πᾶν εἶδος κακίας ἐπελθὼν καὶ μιαιφονίας
5 τε καὶ γυναικομανίας ἅμα καὶ ἀνδρομανίας ἀνάπλεος γενόμενος ἑαυτὸν ὁ ἄθεος τελευταῖον ἀπεθέωσεν. κἀντεῦθεν οὖν ἔχθιστον ἅπασι καὶ ἀπόβλητον διὰ τὸ φονικόν τε καὶ θηριῶδες τῆς μιαρᾶς γνώμης ἑαυτὸν ὁ τάλας ἀποφήνας εἰκότως μάλα τὰ ἐπίχειρα τῆς οἰκείας δυσμενείας κομισάμε-
10 νος αἰσχίστῳ μόρῳ τὸν μυσαρὸν καὶ βέβηλον καταστρέφει βίον, ὡς εἴρηται.

Ἐφ' οὗ Τιμόθεος ὁ ἀπόστολος καὶ Ὀνήσιμος ἐμαρτύρησαν, καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς ἐν Πάτμῳ τῇ νήσῳ ἐξορίζεται, καὶ Ἀπολλώνιος ὁ Τυανεὺς ἐγνωρίζετο περιπολεύων
15 καὶ πανταχοῦ ποιῶν εἰς τὰς πόλεις καὶ χώρας δαιμονικὰ ἀποτελέσματα. ἀπὸ Ῥώμης δὲ ἐλθὼν πρὸς τὸ Βυζάντιον καὶ παρακληθεὶς ὑπὸ τῶν ἐντοπίων ἐποίησε ταῦτα φυγαδεύ-
334 M. σας τὸ πλῆθος τῶν ὄφεων καὶ σκορπίων ἐκ τῆς πόλεως, ὥστε μὴ ἀδικεῖσθαι ὑπ' αὐτῶν τοὺς ἀνθρώπους, καὶ τῶν
20 ἵππων τὴν ἀταξίαν χαλινώσας ἐν ταῖς συνελεύσεσι τῶν ἀρχόντων. ὡσαύτως δὲ καὶ εἰς Ἀντιόχειαν παραγενόμενος

---

12 *cf.* Leo Gramm. *p.* 65, 14. — 14—*p.* 445, 11 *cf.* Malalas *p.* 263, 18 Leo Gr. *p.* 65, 16.

1 τῆς αὐτοῦ γυναικός M τῆς γυναικὸς αὐτοῦ A. — 2. 3 πολιτείαν ἄριστον A ἄριστον *om.* B. — 5 ἀνάπλεως BRV Exc. τε ἀνάπλεος CEF τε ἔμπλεος (-ως D) N. — 13 ὁ εὐαγγελιστὴς ABP Leo ὁ θεολόγος καὶ εὐαγγελιστὴς rell.

8 ὁ τάλας *om.* P. — 9 τὰ πίχειρα P. — 10 καταστρέφει καὶ βέβηλον P. — 15 *sqq. sic in* P.: καὶ χώρας τελέσματα, καὶ πρὸς τὸ βυζάντιον ἀπὸ ῥώμης ἐλθὼν ἐποίησεν ἐκεῖ πολλὰ τελέσματα παρακληθεὶς ὑπὸ τῶν βυζαντίων, ὥστε φυγαδεύεσθαι τὸ πλ. τῶν ὄφ. καὶ σκ. ἐκ τ. πόλ. καὶ μηδὲν ὑπ' αὐτῶν παραβλάπτεσθαι μήτε μὴν ὑπὸ τῆς πολλῆς ἀταξίας τῶν ἵππων συναθροιζομένων ἐν ταῖς συνελ. τῶν ἀρχ. ἐν τῷ παλατίῳ. — 21—*p.* 445, 1 παραγεν. ἐποίησε δυσωπηθεὶς εἴς τε τοὺς σκορπίους καὶ τοὺς κώνωπας τελέσματα. τυραννούμενοι γὰρ P.

δυσωπηθεὶς ἐποίησεν. τυραννούμενοι γὰρ οἱ Ἀντιοχεῖς ὑπὸ τῶν σκορπίων καὶ τῶν κωνώπων, ποιήσας χαλκοῦν σκορπίον καὶ χώσας αὐτὸν ἐν τῇ γῇ καὶ μικρὸν ἐπιστήσας ἐπάνω κίονα προσέταξε καλάμους βαστάζειν τὸν λαὸν καὶ περιερχομένους ἐν τῇ πόλει κράζειν τοὺς καλάμους ἐπισείοντας· ἀκώ- 5 νωπα τῇ πόλει. καὶ οὕτως ἐξηφανίσθησαν ἐκ τῆς πόλεως οἵ τε σκορπίοι καὶ οἱ κώνωπες. αἰτηθεὶς δὲ καὶ περὶ τῶν ἐπικειμένων αὐτῇ σεισμῶν στενάξας ἔγραψεν ἐν διπτύχῳ ταῦτα· οὐαί σοι, τάλαινα πόλις, ὅτι σεισμοῖσι πολλοῖς καὶ πυρσοῖς κατενεχθείης. κλαύσεται δέ σε καὶ ὁ παρ' αἰγια- 10 λοῖς Ὀρέντης.

Περὶ οὗ μέντοι καὶ ὁ μέγας Ἀναστάσιος Θεουπόλεώς φησιν· Ἀπολλωνίου δὲ μέχρι νῦν ἔν τισι τόποις ἐνεργοῦσι τὰ ἀποτελέσματα ἱστάμενα τὰ μὲν εἰς ἀποτροπὴν ζώων τετραπόδων καὶ πετεινῶν βλάπτειν δυναμένων ἀνθρώπους, τὰ δὲ 15 εἰς ἐποχὴν ῥευμάτων ποταμῶν ἀτάκτως φερομένων καὶ ἄλλα εἰς ἕτερά τινα ἐπὶ φθορᾷ καὶ βλάβῃ ἀνθρώπων ὑπάρχοντα ἀποτρόπαια ἵστανται. καὶ γοῦν οὐ μόνον ἐν τῇ ζωῇ αὐτοῦ ταῦτα καὶ τὰ τοιαῦτα εἰργάσαντο οἱ δαίμονες δι' αὐτοῦ, ἀλλά γε καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ παραμένοντες τῷ μνή- 20 ματι αὐτοῦ σημεῖά τινα ἐπετέλεσαν ἐξ ὀνόματος αὐτοῦ πρὸς ἀπάτην τῶν ἐλεεινῶν ἀνθρώπων τῶν ῥᾳδίως ὑποκλεπτομένων εἰς τὰ τοιαῦτα ὑπὸ τοῦ διαβόλου. τί ἂν τις εἴποι περὶ τῶν κατὰ Μανέθωνα μαγικῶν ἔργων; ὃς τοιοῦτος ἄκρος γέγονε τῇ μαγικῇ ἀπάτῃ, ὅτι ἀεὶ ἔσκωπτε προδήλως 25 335 M. τὸν Ἀπολλώνιον ὡς μὴ ἀκριβῆ τὴν κατ' αὐτοὺς φιλοσοφικὴν ἐμπειρίαν ἐσχηκότα. ἔδει γὰρ αὐτόν, φησίν, ὥσπερ ἐγὼ

12—*p.* 446, 2 Anastas. Sinait. Quaest. 20 Migne T. 89, 525 B.

16 *ἀποχὴν* CN. — 25 *ἄκρος* AR Anast. *ἄκρως* BGPV *ἀκριβῶς* CE *ἀκριβὴς* F *om.* LN. — 27 *ἐγὼ*] *ἔργῳ* CFLNR.

2 *καὶ τῶν κωνωπίων σφόδρα καὶ ποιήσας* P. — 14 *τελέσματα* P Anast. — 22 *ἐλεεινῶν om.* P Anast. — 25 *γέγονεν ἄκρως* P.

λόγῳ μόνον ποιεῖν ἅπερ ἐβούλετο, καὶ μὴ ἀποτελέσμασιν ἐπιτρέπειν τὰ παρ' αὐτοῦ πραττόμενα. ταῦτα δὲ πάντα συγχωρήσει τοῦ θεοῦ καὶ ἐνεργείᾳ δαιμόνων γίνονται πρὸς τὸ διὰ τῶν τοιούτων πραγμάτων δοκιμάζεσθαι τὴν ἡμετέραν 5 *ὀρθόδοξον πίστιν, εἰ ἑδραία ἐστὶ καὶ παγία προσμένουσα τῷ κυρίῳ καὶ μὴ ὑποσυρομένη ὑπὸ τοῦ ἐχθροῦ διὰ τῶν φαντασιωδῶν τεράτων καὶ σατανικῶν ἔργων τῶν πραττομένων ὑπὸ τῶν δούλων καὶ ὑπηρετῶν τῆς κακίας. οὐ μὴν δὲ ἀλλὰ καὶ τῷ ὀνόματι κυρίου προεφήτευσάν τινες, ὡς Βα-* 10 *λαὰμ καὶ Σαοὺλ καὶ Καϊάφας, καὶ δαιμόνια πάλιν ἐξέβαλον, ὡς Ἰούδας καὶ υἱοὶ Σκευᾶ. οὐκοῦν καὶ εἰς ἀναξίους ἡ χάρις ἐνεργεῖ πολλάκις, ἵνα ἑτέρους εὐεργετήσῃ. καὶ γὰρ Βαλαὰμ ἀμφοτέρων ἀλλότριος ἦν, βίου ἀρίστου καὶ πίστεως, ἀλλ' ὅμως ἐνήργησεν εἰς αὐτὸν ἡ χάρις διὰ τὴν ἑτέρων* 15 *οἰκονομίαν. καὶ ὁ Φαραὼ τοιοῦτος ἦν, ἀλλὰ κἀκείνῳ τὰ μέλλοντα προέδειξεν. καὶ ὁ Ναβουχοδονόσωρ παρανομώτερος, ἀλλά γε καὶ τούτῳ πάλιν τὰ μετὰ πολλὰς ὕστερον ἐσομένας γενεὰς ἀπεκάλυψεν. ὅθεν δῆλον ὅτι πολλοὶ καὶ τῶν ἐναντίον ἐχόντων φρόνημα ἐπὶ τῷ προσχήματι τοῦ Χριστοῦ* 20 *τεράστια ποιοῦσιν ἑτέρᾳ τέχνῃ τινὶ πρὸς ἀπάτην ἀνθρώπων ἀπειροκάλων. οἷος ἐγένετο Σίμων ὁ μάγος καὶ Μένανδρος μετ' ἐκεῖνον καὶ ἄλλοι τοιοῦτοι, δι' οὓς εἰκότως ἔφη· μὴ θαύμασιν ἀπατᾶσθαι προσήκει μήτε μὴν ἐπαγγελίᾳ ψιλῇ, δοκιμάζειν δὲ τῶν λεγομένων τὴν ἀλήθειαν.*

8—11 *cf.* Constitut. Apostol. apud Anastas. Sin. Quaest. 20 Migne Tom. 89, 528 C. — 12—18 Chrysost. in Matth. XXIV (XXV), 2 Migne Tom. 57, 322.

1 *μόνῳ* BEFLM Anast. — 3 *τοῦ om.* CFM. — *δαιμόνων* ABP *τῶν δαιμόνων* rell. — 9 *τὸ ὄνομα* CEFRV. — 11 *υἱοὶ* DEPV *οἱ υἱοὶ* rell. — *σκευά* ADFV *σκεύα* E. — 15 *ὁ φαραὼ* ABP *ὁ om.* rell. — 17 *ἐσόμενα* CFL. — 18 *καὶ τῶν* ABPV *καὶ om.* rell. — 19 *ἐναντίον* BEL *ἐναντίων* rell. — 20 *τεράστεια* FP.

1 *τελέσμασιν* P Anast. — 11 *Post Σκευᾶ* P *add.*: *ἐν τούτοις δὲ καὶ τὸ τινὲς ἐξεριθείας τὸν χριστὸν καταγγέλουσι καὶ τὰ ἑξῆς.* — 13 *καὶ τῆς πίστεως* P. — 24 *λεγομένων καὶ πραττομένων* P.

[ιγ'. Περὶ Νερούα.]

Μετὰ δὲ Δομετιανὸν ἐβασίλευσε Νερούας ἔτος ἕν. ὃς ἀνακαλεσάμενος Ἰωάννην ἐκ τῆς νήσου ἀπέλυσεν οἰκεῖν ἐν 336 M. Ἐφέσῳ. μόνος τότε περιὼν τῷ βίῳ ἐκ τῶν ιβ' μαθητῶν καὶ συγγραψάμενος τὸ κατ' αὐτὸν εὐαγγέλιον ἐν εἰρήνῃ 5 ἀνεπαύσατο. περὶ οὗ καὶ ὁ πολυΐστωρ Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ φησίν· Θωμᾶς μὲν τὴν Παρθίαν εἴληχεν, Ἰωάννης δὲ τὴν Ἀσίαν, πρὸς οὓς καὶ διατρίψας ἐτελεύτησεν ἐν Ἐφέσῳ. καὶ πάλιν· ἐπὶ τούτοις οὖν καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς ἐν Ἐφέσῳ τῆς Ἀσίας τελευτᾷ καὶ θάπτεται 10 πρὸς τῶν αὐτόθι πιστῶν. ὁμοίως δὲ καὶ Φίλιππος ὁ ἐκ τῶν ζ' διακόνων ἐν Ἱερᾷ πόλει τελειοῦται καὶ θάπτεται μετὰ τῶν θυγατέρων αὐτοῦ. περὶ ὧν καὶ Πολυκράτης ὁ τῆς ἐν Ἐφέσῳ παροικίας ἐπίσκοπος Ἰούκτορι τῷ ἐπισκόπῳ Ῥώμης γράφων οὕτω φησίν· καὶ γὰρ κατὰ τὴν Ἀσίαν μεγάλα στοι- 15 χεῖα κεκοίμηνται, ἅτινα καὶ ἀναστήσονται τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς παρουσίας τοῦ κυρίου, Ἰωάννης ὁ ἐπιστήθιος Χριστοῦ, ὃς καὶ τὸ πέταλον πεφορηκὼς καὶ διδάσκαλος ἐν Ἐφέσῳ γενόμενος κεκοίμηται, καὶ Φίλιππος ὁ ἐκ τῶν ζ' διακόνων ἐν Ἱερᾷ πόλει τελειοῦται. οὗτός ἐστιν ὁ καὶ τὸν εὐνοῦχον 20 βαπτίσας καὶ τὸν Σίμωνα κατηχήσας.

Οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ θεῖος Ἱππόλυτος Ῥώμης περὶ τοῦ κηρύγματος καὶ τῆς τελειώσεως τῶν ἀποστόλων διεξιὼν

7—9 Eus. Hist. Eccl. III, 1. — 9—20 *ib.* III, 31. — 22—*p.* 448, 6 Hippolytus de XII apostolis. Migne Tom. 10, 952.

2 νεροῦας LM *νέρβας* V νερβᾶς R. — 4 *ἐν τῷ βίῳ* AFL. — 12 ἱερᾷ (-ρὰ GP) *πόλει* ABCGPR *ἱεράπολει* M *ἱεραπόλει* DEFLV *item v.* 20. — 14 *ἰούκτορι* ABFPR *ἰούκτωρι* DV *οὐίκτορι* CE *οὐίκτωρι* LM. — 15 *φάσκει* RV. — 16 *ἐν τῇ* PR. — 17 *τοῦ om.* AR.

2 *ἕνα* P. — 5 *ἐν εἰρήνῃ ἀνεπαύσατο*] *μαρτυρίου κατηξίωται* P. *Tum alia addit seorsim edenda et prosequitur: καὶ μὲν δὴ καὶ ὁ πολ. εὐσ.* — 18 *διδάσκαλός τε καὶ μάρτυς* P Eus. — 20 *τελειοῦται καὶ θάπτεται ἐκεῖ μετὰ τῶν θυγατέρων αὐτοῦ* P (*cf.* Euseb.).

ἔφη· Ἰωάννης ὁ ἀδελφὸς Ἰακώβου κηρύσσων ἐν τῇ Ἀσίᾳ τὸν λόγον ἐξωρίσθη ἐν Πάτμῳ τῇ νήσῳ ὑπὸ Δομετιανοῦ βασιλέως Ῥωμαίων, κἀκεῖθεν πάλιν εἰς Ἔφεσον ἐκ τῆς ἐξ-ορίας ἀνακληθεὶς ὑπὸ Νερούα καὶ τὸ κατ' αὐτὸν εὐαγγέλιον
5 *συγγραψάμενος, ἔνθα καὶ τὴν ἀποκάλυψιν θεασάμενος ἐτε-λεύτησεν, οὗ τὸ λείψανον ζητηθὲν οὐχ εὑρέθη.*

337 M. *Ὁ δὲ τοῦ μεγάλου Γρηγορίου ἀδελφὸς Καισάριος ἐπὶ σεκρέτου ἐν Κωνσταντινουπόλει ἐρωτηθεὶς περὶ τούτου οὕτως ἀπεκρίνατο λέγων· αὐτὸς Ἰωάννης ἐν τῷ κατ' αὐτὸν εὐαγ-*
10 *γελίῳ πρὸς τῷ τέλει διεσάφησε τοῦτο φάσκων· καὶ τοῦτο εἰπὼν ὁ Ἰησοῦς λέγει αὐτῷ, τοῦτ' ἔστι τῷ Πέτρῳ, ἀκολού-θει μοι. ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητήν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα καί φησιν· κύριε, οὗτος δὲ τί; καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐὰν αὐτὸν θέλω μένειν ἕως*
15 *ἔρχομαι, τί πρὸς σέ; ἐξῆλθε δὲ ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, καὶ ἔδοξαν ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνή-σκει. καὶ οὐκ εἶπεν αὐτῷ ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; ἐπεὶ οὖν ἁλιεύοντας αὐτοὺς κατειληφὼς τῷ Πέτρῳ μόνῳ προσέταξεν*
20 *ἕπεσθαι αὐτῷ, ὁ δὲ καὶ τὸν Ἰωάννην συμπορεύεσθαι βουλό-μενος ἔφη· κύριε, οὗτος δὲ τί; ὃν θεσπίσας ὁ Ἰησοῦς προσ-μένειν ἐπὶ τῆς ἁλείας φησίν· ἐὰν αὐτὸν θέλω μένειν ἐν-ταῦθα καὶ ἁλιεύειν ἕως ἂν ὑποστρέψας ἔρχομαι πάλιν ὧδε, τί πρὸς σέ; ὥστε οὖν ἄριστα διορθούμενος τὴν ἐσφαλμένην*

7—24 Caesarius Dialog. III, 179 Migne Tom. 38, 1152. — 10 Joh. 21, 19—23.

3 *τῶν ῥωμαίων* N. — 4 *νεροῦα* CLM. — 7 *καισάρειος* EFMR. — 15 *δὲ* ABP *οὖν* rell. Joh. — *οὗτος om.* BV *et* recc. quidam. *In* L *m. 1 spr. vers. add.* — 16 *καὶ ἔδοξαν* ABP *om.* rell. Joh. — 17 *καὶ οὐκ εἶπεν — ἀποθνήσκει om.* BC. — 21 *μένειν* N. — 24 *διορθ. αὐτῶν τὴν ἐσφαλμένην ὑπόν.* N.

7 *καί γε καὶ ὁ τοῦ* P. — 9 *ἀπεκρίθη* P. — 14 *αὐτὸν*] *αὐτῷ* P. — 17 *ὅτι om.* P. — 22 *ἐνταῦθα δηλαδὴ καὶ* P.

αὐτῶν ὑπόνοιαν εἰκότως ἔφη· καὶ οὐκ εἶπεν αὐτῷ· οὐκ ἀποθνήσκει. καὶ γὰρ ἐν πολλοῖς πολλάκις διεσφάλλοντο πρὸς τὰς πεύσεις Χριστοῦ καὶ ἀποκρίσεις, ὡς καὶ ἀκούειν ἀσυνέτους καὶ βραδεῖς τῇ καρδίᾳ, ἕως ἐλθὼν τὸ ἅγιον πνεῦμα ἐδίδαξεν αὐτοὺς καὶ ὡδήγησεν εἰς πᾶσαν τὴν ἀλήθειαν κατὰ 5 τὸν λόγον κυρίου. εἰ δέ τις ἐριστικῶς τε καὶ προπετῶς ἀποκρουόμενος τὰς ἱερὰς ταύτας φωνὰς καὶ μαρτυρίας ἀκαίρως δῆθεν συλλογιζόμενος εἴποι· πρὸς τὸ καταγγεῖλαι τὴν δευτέραν Χριστοῦ παρουσίαν κατελείφθη ζῶν ἐν σαρκὶ μετὰ Ἐνὼχ καὶ Ἡλία, ἀκουέτω ὅτιπερ μόνους διὰ τῆς ἀποκαλύ- 10 ψεως αὐτὸς οὗτος ἐκείνους ἐκ προσώπου κυρίου λέγει τοὺς δύο μάρτυρας γενήσεσθαι Ἐνὼχ καὶ Ἡλίαν τοιάδε φάσκων· καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας ͵ασξ′ περιβεβλημένοι σάκκους. οὗτοί εἰσιν αἱ δύο 338 M. ἐλαῖαι καὶ αἱ δύο λυχνίαι ἐνώπιον κυρίου πάσης τῆς γῆς 15 ἑστῶτες. καὶ εἴ τις θελήσειεν αὐτοὺς ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν. καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, ποιήσει τὸ ἀναβαῖνον θηρίον ἐκ τῆς ἀβύσσου πόλεμον μετ᾽ αὐτῶν καὶ νικήσει καὶ ἀποκτείνει αὐτούς, καὶ τὰ πτώματα αὐτῶν 20 ἐπὶ τῆς πλατείας τῆς μεγάλης πόλεως ἔσονται ἡμέρας τρεῖς ἥμισυ ἄταφα, ὅπου καὶ ὁ κύριος αὐτῶν ἐσταυρώθη. μάτην

---

3 Luc. 24, 25. — 4 Joh. 16, 13. — 13 Apocal. 11, 3 *sqq*.

1 *καὶ οὐκ εἶπεν αὐτὸν οὐκ ἀποθνήσκειν* B. — *αὐτῷ· οὐκ* AP *αὐτῷ ὅτι οὐκ* rell. — 4 *ἐλθὸν* E. — 6 *κυρίου* BCP *τοῦ κυρίου* rell. — 10 *ἠλία* CR *ἡλιοῦ* B. — *ἀκουέτωσαν* CENR *om*. F. — 11 *ἐκεῖνος* CMR *om*. L. — 12 *ἠλίαν* BCR. — 14 *περιβεβλημένοις* CP *περιβεβλημένους* F. — 15 *καὶ αἱ δύο* ABLP *αἱ om*. rell. — 20 *ἀποκτείνῃ* ACV *ἀποκτενεῖ* E Apocal. — 21 *ἡμέρας τρεῖς ἥμισυ ἄταφα* AP *γ′ ἥμισυ ἔτη ἄταφα* B *ἄταφα ἡμέρας τρεῖς ἥμισυ* rell. (*ἥμισυ compendio scr. in* ABN).

1 *αὐτῶν καὶ ἄλογον ὑπόνοιαν* P. — 18 *ποιήσῃ* P. — 22 *Post ἐσταυρώθη* P *add*.: *καὶ πάλιν φησίν· sqq*. Apocal. 20, 9; 10.

οὖν παραληροῦσί τινες φάσκοντες αὐτὸν ἔτι ζῆν ἐν σαρκὶ μὴ νοοῦντες μήτε ἃ λέγουσι τῷ ὄντι μήτε περὶ τίνων διαβεβαιοῦνται, οἴκοθεν τοῦτο καὶ οὐκ ἔκ τινων ἱερῶν ἐξηγητῶν ῥιψοκινδύνως τε καὶ τολμηρῶς ὄντως τερατευόμενοι.

5 [ιδ'. Περὶ Τραϊανοῦ.]

Μετὰ δὲ Νερούαν ἐβασίλευσε Τραϊανὸς ἔτη θ' καὶ ὑδεριάσας ἀπέθανεν. ὅστις ἀγαθὸς καὶ μισοπόνηρός τε καὶ φιλοδίκαιος τοσοῦτον ὑπῆρχεν, ὥστε γυμνώσας ποτὲ ῥομ-
339 M. φαίαν ἐνώπιον τῶν μεγιστάνων ἐπέδωκε τῷ ἐπάρχῳ λέγων·
10 δέξαι τὸ ξίφος τοῦτο, καὶ εἰ μὲν καλῶς ἄρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μή, κατ' ἐμοῦ αὐτῷ χρήσῃ. ἐφ' οὗ Συμεὼν ὁ τοῦ Κλωπᾶ καὶ Ἰγνάτιος ὁ θεοφόρος ἐμαρτύρησαν, καὶ Βασιλείδης καὶ Μένανδρος καὶ Κήρινθος καὶ Νικόλαος καὶ Ἐβιοναῖος οἱ αἱρεσιάρχαι καὶ ἐχθροὶ τῆς ἀληθείας ἐγνωρίζοντο.

15 [ιε'. Περὶ Ἀδριανοῦ.]

Μετὰ δὲ Τραϊανὸν ἐβασίλευσεν Ἀδριανὸς ὁ καὶ Αἰλίας
340 M. γαμβρὸς αὐτοῦ ἔτη κδ', καὶ ὑδεριάσας ἀπέθανεν. ἐφ' οὗ στασιασάντων τῶν Ἰουδαίων καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν οἰκοδομῆσαι βουληθέντων, ὀργίζεται κατ' αὐτῶν σφόδρα. καὶ
20 πολέμου γενομένου μεταξὺ ἀνεῖλεν ἐξ αὐτῶν ἐν ἡμέρᾳ μιᾷ μυριάδας νη', καὶ τὰ μὲν παλαιὰ λείψανα τῆς πόλεως καὶ

---

2 I. Timoth. 1, 7. — 6—11 *cf.* Leo Gramm. *p.* 67, 12. — 11—14 *cf. ib. p.* 68, 5. — 17—*p.* 451, 5 *cf. ib. p.* 68, 17.

1 *οὖν om.* C *m. 1 spr. vers. add. in* P. — 6 *νεροῦαν* LNV *νερβᾶν* R. — 9 *ἐπάρχῳ* BMPR Leo *ὑπάρχῳ* rell. — 11 *αὐτῷ* AEGP *αὐτὸ* rell. *om.* Exc. de virt. — *χρήσει* AEF *χρείσῃ* C *χρῆσαι* BR Exc. Leo. — 12 *κλωπὰ* E *κλοπᾶ* B *κλοπὰ* AV *κλεώπα* R. — *βασιλίδης* (*-ις* A) ACLMRV. — 14 *ἐγνωρίζοντο v.* 13 *post κήρινθος inserit* N. — 16 *αἰλίας* (*αἰλ.* A) ACELMP *αἴλιος* rell. — 18 *τῶν ἰουδαίων* ALV (P *cf. infra*) *τῶν om.* rell. — 20. 21 *μυριάδας νη' ἐν ἡμέρᾳ μιᾷ* C *ἐν ἡμέρᾳ μιᾷ om.* B.

14 *καὶ ἐχθροὶ τῆς ἀληθείας om.* P. — 18 *στασιάσαντες οἱ ἰουδαῖοι καὶ — βουληθέντες* P.

τοῦ ναοῦ καταρριπώσας κτίζει νέαν Ἱερουσαλήμ, ἣν δὴ καὶ μετωνόμασεν Αἰλίαν εἰς τὸ ἴδιον ὄνομα, καὶ στήσας τὸ ἑαυτοῦ εἴδωλον ἐν τῷ ναῷ οἰκεῖν Ἕλληνας ἐν τῇ πόλει προσέταξεν. κτίσας δὲ καὶ ναὸν ἐν Κυζίκῳ καὶ πόλιν ἐν τῇ Θράκῃ προσηγόρευσεν αὐτὴν Ἀδριανούπολιν. ἐφ' οὗ 5 *Κέρδων καὶ Οὐαλεντῖνος καὶ Μαρκίων καὶ Μοντανὸς καὶ Σατορνίλος καὶ Καρποκράτης οἱ αἱρεσιάρχαι καὶ Ἀκύλας ἐγνωρίζοντο.*

[ις'. *Περὶ Ἀντωνίνου.*]

Μετὰ δὲ Ἀδριανὸν ἐβασίλευσεν Ἀντωνῖνος ἔτη κβ'. ἐφ' 10 341 M. *οὗ Πολύκαρπος ὁ μαθητὴς Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ Ἰουστῖνος ὁ φιλόσοφος καὶ Διονύσιος ἐπίσκοπος Κορίνθου ἐμαρτύρησαν, καὶ Τατιανὸς καὶ Βαρδισιάνης οἱ αἱρεσιάρχαι* 342 M. *καὶ Πρίσκιλλα καὶ Μαξιμίλλα αἱ ψευδοπροφήτιδες τῶν κατὰ Φρύγας ἐγνωρίζοντο.* 15

[ιζ'. *Περὶ Μάρκου.*]

Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσε Μάρκος υἱὸς αὐτοῦ ἔτη ια'. ἐφ' οὗ πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς φερόμενον ὤφθη.

[ιη'. *Περὶ Βήρου.*] 20

Μετὰ δὲ Μάρκον ἐβασίλευσε Βῆρος υἱὸς αὐτοῦ ἔτη η' 343 M. *καὶ ἐσφάγη ἐν προκένσῳ.*

---

7 *cf.* Leo Gramm. *p.* 69, 14. — 21 *cf.* Malalas *p.* 282, 14 (*cf.* Exc. de insid. *quae ἐν προκένσῳ exhibent*).

1 *καταρρηπώσας* P *κατερριπώσας* L *κατερρειπώσας* V *κατερειπώσας* B. — 3 *ἐν τῇ πόλει*] *ἐν τῷ ναῷ* N. — 4 *δὲ καὶ ναὸν* ABP *καὶ om.* rell. — *ἐν τῇ κυζίκῳ* GV *ἐν τῷ κυζ.* R (*in quorum uno ἐν τῷ ἢ κυζ.*). — 6 *μουντανὸς* CM. — 7 *σατορνῖλος* BELRV *σατορνεῖλος* M. — 12 *ὁ ἐπίσκοπος* MRV. — 13 *βαρδησιάνης* BL *μαρδησιάνης* (*μαρδισ. alii*) R *βαρδισάνης* CE. — 14 *πρισκίλλα* EF *πρίσκυλλα* R. — *μαξίμιλλα* MV *μαξιμῖλα* C. — 14 *κατὰ φρύγας* ERV *καταφρύγας* rell. — 17 *ὁ υἱὸς* BM. — 18 *ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς om.* V *ἐπ' ἀνατολὰς om.* B.

[ιθ'. *Περὶ Κωμώδου.*]

Μετὰ δὲ Βῆρον ἐβασίλευσε Κώμωδος ἀδελφὸς αὐτοῦ ἔτη ιβ' καὶ ὑπὸ ἀναγωγῆς αἵματος καὶ χολῆς ἀθρόως ἀπ- 344 M. *έθανεν. ἐφ' οὗ Θεόδοτος ὁ καὶ πρῶτος τῆς κατὰ Παῦλον* 5 *τὸν Σαμωσατέα καὶ Νεστόριον πλάνης ἀρξάμενος καὶ Θεοδοτίων ἐγνωρίζετο.*

[κ'. *Περὶ Περτίνακος.*]

Μετὰ δὲ Κώμωδον ἐβασίλευσε Περτίναξ μῆνας δύο καὶ ἐσφάγη ὑπὸ τῶν στρατιωτῶν ἐξερχόμενος ἐκ τοῦ παλατίου 10 *τὸν μάρτιον μῆνα.*

[κα'. *Περὶ Δαδίου.*]

Μετὰ δὲ Περτίνακα ἐβασίλευσε Δάδιος μῆνας δ' καὶ ἐσφάγη ὑπὸ κουβικουλαρίου εἰς τὴν πηγὴν τοῦ παλατίου 345 M. *θεωρῶν τοὺς ἰχθύας.*

15 [κβ'. *Περὶ Σευήρου.*]

Μετὰ δὲ Δάδιον ἐβασίλευσε Σευῆρος ἔτη ιη'. ὃς τὸν ἐν Βρεττανίαις νικήσας πόλεμον ἀπὸ θαλάσσης εἰς θάλασσαν περιετείχισε τὴν νῆσον σταδίοις χιλίοις. ἐφ' οὗ Λεωνίδης ὁ ἐπίσκοπος καὶ πατὴρ Ὠριγένους ἐμαρτύρησεν, καὶ Κλήμης 20 *ὁ Στρωματεὺς καὶ Σύμμαχος καὶ Ὠριγένης ἐγνωρίζοντο.*

16—18 *cf.* Leo Gramm. *p.* 72, 20. — 18—19 *ib. p.* 72, 18.

2 *κώμωδος* BDPR *κώμοδος* AELV *κόμωδος* C *κόμοδος* FM. *Similiter v.* 8. — *ὁ ἀδελφὸς* BFMR. — 5 *σαμωσατέα* (*-αῖα* C *-αῖαν* M) ACFLMPR *σαμουσατέα* G *σαμοσατέα* BDEV. — 6 *ἐγνωρίζοντο* CENV. — 9 *ἐκ*] *ἀπὸ* L *om.* R. — 10 *εἰς τὸν μάρτιον μῆνα* P *τοῦ μαρτίου μηνός* AB *τῇ ἀρχῇ τοῦ μαρτίου μηνός* F. — 13 *ὑπὸ τοῦ κουβικουλαρίου* AR *ὑπό τινος κουβ.* V. — 16 *σεύηρος* L *σευίρος* A *σεβῆρος* BFG *σέβηρος* V *βήρος* M. — 18 *λεωνείδης* D *λεονίδης* ACLMPRV.

17 *βριτανίαις* P. — 19. 20 *κλ. ὁ στρωμεὺς καὶ ὁ τούτου μαθητὴς ὠριγένης σύμμαχος ἐγνωρ.* P.

Ὅστις Ὠριγένης εἰς Ἀλεξάνδρειαν ἀκμάζων μεγίστην εἰς 346 M.
τὸν θεῖον λόγον σπουδὴν καταβαλλόμενος οὐ μόνον τοῖς
πιστοῖς πρόξενος ὠφελείας ἐγένετο μεγάλης, ἀλλά γε καὶ
τῶν αἱρετικῶν οὐκ ὀλίγοις. ὑπ' αὐτοῦ γὰρ τὰ ὑγιῆ τῆς
πίστεως παραλαμβάνοντες δόγματα ζηλωταὶ τῆς ἀληθείας 5
ἐγίνοντο. ἐξ ὧν ὑπῆρχε διαφερόντως Ἀμβρόσιος ἀνὴρ ἐπί-
σημος καὶ φιλόλογος, ὃς εἰς γνῶσιν τοῦ ἀνδρὸς ἀφικέσθαι
σπουδάσας ἀπέστη τῆς Οὐαλεντίνου καὶ Μαρκίωνος αἱρέσεως
πεῖραν τῆς ἐνθέου παιδείας αὐτοῦ ἀρκοῦσαν κτησάμενος.
πλεῖστοι δὲ καὶ τῶν ἔξωθεν φιλοσόφων πρὸς αὐτὸν φοιτῶν- 10
τες μεγίστην καὶ αὐτοὶ πρὸς τὰ οἰκεῖα μαθήματα τὴν ὠφέ-
λειαν ἐκαρποῦντο. μέγας γὰρ καὶ παρ' αὐτοῖς ἐνομίζετο
παραδιδοὺς γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἄλλα προπαι-
δεύματα. διόπερ οὐκ ὀλίγοι τῶν παρ' Ἕλλησι φιλοσόφων
μαρτυροῦσιν αὐτῷ μνήμην ἐν τοῖς ἰδίοις ποιούμενοι συγ- 15
γράμμασιν ὡς διδασκάλου. καὶ γὰρ εὐφυὴς παιδόθεν ὑπῆρχε
σφόδρα καὶ ζητητικὸς ἄγαν, ᾧ ἐν τῇ παιδικῇ ἡλικίᾳ τὸ τῆς
θείας γραφῆς βούλημα πυνθανομένῳ ὡς βαθύτερον ἢ δια-
νοούμενον ἐπέπληττεν ὁ πατὴρ μηδὲν ὑπὲρ ἡλικίαν περαι-
τέρω ζητεῖν. νύκτωρ δὲ ἐπιστὰς εὕδοντι τὰ στέρνα ὡς θείου 20

1—13 *cf.* Euseb. Hist. eccl. VI, 18. — 14—16 *cf. ib.* VI, 19, 1. — 16—*p.* 453, 2 *ib.* VI, 2, 9 *sqq.*

6 ἐγένοντο BMR. — 9 αὐτοῦ παιδείας C αὐτοῦ *om.* F. — 12 ἐγνωρίζετο RV. — 14 φιλοσόφων AP Exc. de virt. Eus. σοφῶν rell. — 15 αὐτὸν AB αὐτῶν P. — 17 ζητιτικὸς AFV ζηζιτικὸς M ζηλωτικὸς (-οτικὸς C) CR ζητικὸς E *et* L *in quo* ζητητικὸς *corr. incert. qua m.* — ᾧ B ὡς AFRV ὃς CELN Exc. — 18 πυνθανόμενος L Exc. πυνθανόμενον F. — διανοουμένω B. — 20 δ' ἐπιστὰς AB.

1 καὶ εἰς ἀλεξ. P. — καὶ μεγίστην P. — 9 ἀρκοῦσαν *om.* P. — 14 ὀλίγιστοι P. — 15 συντάγμασιν P. — 16—*p.* 453, 2 *sic in* P: ὑπῆρχε σφόδρα καὶ τοσαύτης ἀγχινοίας ἦν ἔμπλεος, ὡς τὸν πατέρα αὐτοῦ ἐκπαιδεύοντα αὐτὸν τὰ θεῖα μαθήματα ὑπερεκπλήττεσθαι, κἀντεῦθεν ὁρῶν αὐτὸν πολὺν ἐν ταῖς κατὰ τὸν θεῖον λόγον θεωρίαις τυγχάνοντα πολλάκις ἐπιστὰς αὐτῷ καθεύδοντι ἀπεγύμνου τὸ στέρνον αὐτοῦ καὶ σεβασμίως κατεφίλει ὡς ἔνδον ἀφιερωμένου πνεύματος ἁγίου.

πνεύματος ἔνδον ἐν αὐτοῖς ἀφιερωμένου κατεφίλει καὶ τῆς εὐτεκνίας ἑαυτὸν ἐμακάριζεν. ἁγνείαν δὲ καὶ ἐγκράτειαν τοσαύτην ἤσκησεν ἐκ νέου τοῦ σώματος, ὡς ὀβολοὺς δ' καὶ μόνον πρὸς διατροφὴν καθ' ἑκάστης ἡμέρας ἀρκούμενος, 5 *καὶ μέντοι καὶ ἐν πολλοῖς ἔτεσι τοῦτο ποιῶν διετέλει, καὶ ἐπ' ἐδάφους καὶ ψιαθίου καθεύδων καὶ ὀλίγον καιρὸν τῆς νυκτὸς ἀναπαυόμενος τὸν πλείονα εἰς τὴν μελέτην τῶν ἱερῶν λογίων διήνυεν. καὶ ἐν τούτοις ἐπεκτεινόμενος ἐπί τε ἀσιτίᾳ καὶ ἀγρυπνίᾳ καὶ γυμνότητι ἑαυτὸν ὑπωπιάζων* 347 M. 10 *τοσοῦτον κατεδάμασε τὴν ἀκμὴν τοῦ σώματος ὡς ὁρᾶσθαι παντελῶς αὐτὸν ἀπεσκληκέναι. οἴνου γὰρ καὶ ἐλαίου καὶ τῶν λοιπῶν ἀπεχόμενος ἀνατροπὴν τοῦ θώρακος μεγίστην ὑπέμεινεν. ἔνθεν γέ τοι διαβόητος γενόμενος ὡς διαπρέπων ἔργῳ καὶ λόγῳ πολλοὺς Ἕλληνας τὴν εἰδωλομανίαν* 15 *βδελύττεσθαι πείσας μαρτυρίου στέφανον ἀναδήσασθαι παρεσκεύασεν. πολλῆς οὖν φήμης περὶ αὐτοῦ τρεχούσης, καὶ πολλῶν μακρόθεν πρὸς αὐτὸν συρρεόντων, οὐ μόνον Ἕλληνας φιλοσόφους καὶ αἱρετικοὺς ἐλλογίμους πρὸς τὴν εὐσέβειαν εἵλκυσεν, ἀλλὰ καὶ τοὺς ὄντας χριστιανοὺς μᾶλλον* 20 *στοιχειώσας ἐπεβεβαίωσεν. ὃν ὁ προλεχθεὶς Ἀμβρόσιος ἱκετεύσας πολλὰ καὶ παραβιασάμενος ἐν Καισαρείᾳ καὶ ταχυγράφους μὲν αὐτῷ παραστήσας ἑπτά, πλείους δὲ καλλιγράφους, ἑρμηνεῦσαι τὰς θείας γραφὰς αὐτὸν πεποίηκεν. καὶ ὁ μὲν*

2—16 *cf.* Euseb. Hist. eccl. VI, 3, 9 *sqq.* — 20—*p.* 455, 4 *cf. ib.* VI, 23.

3 *ὀβολοὺς δ'* (*τέσσαρας* N) AELNPR Exc. *ὀβολοῖς δ'* (*τέσσαρσι* BV) BCFV. — *καὶ μόνον* ABP Exc. *καὶ om.* rell. — 4 *μόνους* D *μόνοις* F. — *καθ' ἑκάστην ἡμέραν* BF Exc. *ἑκάστης ἡμέρας* (*om. καθ'*) R *καθ' ἑκάστης* (*om. ἡμέρας*) A. — *ἀρκεῖσθαι* BCF *διαρκούμενος* R. — 6 *ψιανθίου* B *ψια*θίου* (*una litt. eras.*) Exc. — 9 *ὑποπιάζων* AFLNPR Exc. — 11 *ὑποσκληκέναι* A *ἀπεσκληκότα* BC. — 16 *περὶ αὐτὸν* ABCR. — 17 *συρρυέντων* CEF *συρριέντων* A. — 20 *ἐβεβαίωσεν* BCN. — 22 *μὲν om.* F Exc. — 23 *αὐτῶν* M *αὐτῷ* RV.

16 *διατρεχούσης* P. — 23 *ἑρμην. αὐτὸν τὰς θ. γρ. πεποίηκεν* P.

τὴν δέουσαν χρείαν παρεῖχεν, ὁ δὲ ἐπὶ σχολῆς γενόμενος ὑπηγόρευε τοῖς ταχυγράφοις, καὶ οἱ βιβλογράφοι σὺν γυναιξὶν ἔγραφον ἐπὶ τὸ καλλιγραφεῖν ἐξησκημέναις, πᾶσάν τε θείαν γραφὴν ἡρμήνευσεν ἐπὶ ἔτη ιη'. λέγεται δὲ ὅτι ἑξακισχιλίας βίβλους συνέταξεν. τοσοῦτον γὰρ ζῆλον εἰς τὴν 5 ἐξήγησιν τῶν θείων λογίων ὁ Ἀμβρόσιος ἐπεδείκνυτο, ὥστε τὴν πολλὴν αὐτοῦ σπουδὴν Ὠριγένης μαρτυρῶν γράφει πρός τινα λέγων· ὁ ἱερὸς καὶ θεῷ γνησίως ἀνακείμενος Ἀμβρόσιος πολλὰ προσαγορεύει σε. ὅστις νομίζοντά με φιλόπονον εἶναι καὶ πάνυ διψᾶν τοῦ θείου λόγου ἤλεγξε τῇ ἰδίᾳ φιλο- 10 πονίᾳ τῷ πρὸς τὰ ἅγια μαθήματα ἔρωτι, ὅθεν ἐπὶ τοσοῦτόν με παρελήλυθεν, ὥστε κινδυνεύειν ἀπαυδᾶν πρὸς τὰς αὐτοῦ προτάσεις. οὔτε γὰρ δειπνῆσαι ἔστιν εἰ μὴ ἀντιβάλλοντα οὔτε δειπνήσαντα ἔξεστι περιπατῆσαι καὶ διαναπαῦσαι τὸ σωμάτιον, ἀλλὰ καὶ ἐν τοῖς καιροῖς ἐκείνοις φιλολογεῖν καὶ ἀκριβοῦν 15 τὰ ἀντίγραφα ἀναγκαζόμεθα, οὔτε μὴν ὅλην ἐπὶ θεραπείᾳ τοῦ σώματος τὴν νύκτα ἔξεστιν ἡμῖν κοιμᾶσθαι ἐπὶ πολὺ τῆς ἑσπέρας φιλολόγοις παρατείνοντα. ἐῶ δὲ λέγειν καὶ τὰ ἕωθεν μέχρι τῆς ἐννάτης ἔσθ' ὅτε καὶ δεκάτης ὥρας· πάντες γὰρ οἱ θέ- 348 M. λοντες φιλοπονεῖν τοὺς καιροὺς ἐκείνους τῇ ἐξετάσει τῶν 20 θείων λογίων καὶ ταῖς ἀναγνώσεσιν ἀνατιθέασιν. πᾶσαν τοίνυν ἑρμηνεύσας τὴν θείαν γραφὴν ἐτελεύτησεν ἐτῶν ξθ'.

22 *cf.* Euseb. Hist. eccl. VII, 1.

1 ἐπισχολῆς LMP Exc. *et* recc. quidam ἐπισχολης *sine acc.* A ἐπισχολὶς C. — 4 ἑρμήνευσεν EFM. — 6 ἐπεδείξατο Exc. ἔσχεν N. — 8 γνήσιος ABFM *om.* L. — 9 νομίζων με B Exc. — 10 διψῶντα B διψῶν Exc. — 12 ἀπ' αὐδὰν M ἀπανδὰν (*sine acc.* Exc.) C Exc. ἀπαντᾶν F με ἀπαντᾶν L ἅπαν V ὅλον R. — 13 ἀντιβάλλοντο C ἀντιβάλλονται F. — 19 ἐνάτης AC θ' M. — 22 τὴν *om.* LV.

3 πᾶσαν — 5 συνέταξεν *om.* P (*cf. infra*). — 5 οὕτω γὰρ καὶ τοσοῦτον ζῆλον P. — 6 ὥστε καὶ τὴν P. — 9 φιλόπονος P. — 22 γραφὴν καὶ πολλὰς καὶ δυσαριθμήτους (? δυριθμ. cod.) βίβλους συντάξας καὶ πλεῖστα ὑπὸ τῶν ἀθέων ἑλλήνων διὰ τὴν πίστιν δεινὰ πεπονθὼς ὡς καὶ ἐπιθῦσαι διά τινος σατανικῆς πανουργίας τῶν ἀσεβῶν καὶ αὖθις ἀναπαλαῖσαι (-λέσαι cod.), ὡς πολὺς ᾄδεται λόγος, ἐτελεύτ. ἐτῶν ξθ' P.

Περὶ οὗ καὶ ὁ μέγας Ἐπιφάνιος ἐν τοῖς Παναρίοις λέγει· τοῦ μὲν Ἀμβροσίου τὰ πρὸς τροφὰς αὐτῷ τε καὶ τοῖς ὀξυγράφοις καὶ τοῖς ὑπηρετοῦσιν ἐπαρκοῦντος χάρτην τε καὶ τἄλλα τῶν ἀναλωμάτων, τοῦ δὲ Ὠριγένους ἔν τε ἀγρυπνίαις
5 *καὶ πολιτείᾳ ὑπερβαλλούσῃ καὶ σχολῇ μεγίστῃ τὸν περὶ τῆς γραφῆς διανύοντος κάματον, καὶ πᾶσαν τὴν καλουμένην τῶν ἑξαπλῶν πραγματείαν καὶ τῶν λοιπῶν ὁ ἀνὴρ μετὰ καμάτου πεφιλοτίμητο. οὐ μόνον γὰρ τὰς ἐπισήμους δ' ἐκδόσεις κατὰ ταὐτὸν συνήγαγεν, ἀλλὰ καὶ πέντε καὶ ἓξ*
10 *κατὰ τοὺς χρόνους τούτους ἐν Ἱεριχῷ περιτυχὼν ἔν τινι πίθῳ ταύταις συνέταξεν. ἐπὶ ταὐτὸν οὖν πάσας συναγαγών, διελὼν δὲ καὶ ἀντιπαραθεὶς ἀλλήλαις μετὰ καὶ αὐτῆς τῆς Ἑβραίων σημειώσεως τὰ τῶν λεγομένων ἑξαπλῶν ἀντιγράφων εὐφυῶς μάλα καὶ ἐπιστημόνως ἐκ πολυπειρίας κατε-*
15 *σκεύασεν. ἀλλ' οὐκ εἰς τέλος ἄσβεστον αὐτοῦ τὸ κλέος διέμεινεν. συμβέβηκε γὰρ αὐτῷ τὸ τῆς πολυπειρίας δραστήριον πτῶμα ἐξαίσιον, καὶ μέντοι σκάνδαλον πολλοῖς καὶ ἀπωλείας πρόξενος γέγονεν. βουλόμενος γὰρ μηδὲν ἐᾶσαι τῶν θείων γραφῶν ἀνερμήνευτον εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν*
20 *ἁμαρτίας καὶ θανάσιμα ἐξηγήσατο ῥήματα. ἐξ αὐτοῦ γὰρ καὶ Ἄρειος τὰς ἀφορμὰς εἴληφε καὶ οἱ καθεξῆς ἀνόμοιοί τε καὶ ἀνόσιοι καὶ οἱ λοιποὶ πάντες. φάσκει γὰρ οὗτος*

1—8 Epiphanius Haer. II, 64, 3. — 8—15 *cf.* Euseb. Hist. eccl. VI, 16. — 15—20 Epiphanius Haer. II, 64, 3. — 20—*p* 457, 6 *ib.* II, 64, 4.

2 *τὰς πρὸς* R *τὰς* (*om.* *πρὸς*) C. — 3 *ἐξαρκοῦντος* AB. — 5 *ὑπερβαλούσῃ* BD. — 9 *κατ' αὐτὸν* GMV *κατ' αὐτὸ* FR. — 11 *ταύταις* ABP *ταύτας* FLN *ταῦτα* CERV. — *πᾶσαν* LRV. — 18 *πρόξενον* LMRV. — *μηδὲν ἐᾶσαι τῶν θείων γραφῶν* AB *τῶν θ. γραφῶν μηδὲν ἐᾶσαι* Exc. *μηδὲν τῆς θείας γραφῆς ἐᾶσαι* rell. (*μηδὲν τῶν θ. γραφῶν ἐᾶσαι* Epiph.). — 20 *γὰρ* *om.* R. — 21 *καὶ* *ante* *Ἄρειος* *om.* N. — *ἔλαβεν* A *om.* B. — *καὶ οἱ καθεξῆς* — 22 *πάντες* *om.* N.

1 *ἐν τοῖς παναρίοις* *om.* P. — 11 *τὰς πάσας* P. — 18 *βουλόμενος* — 20 *ῥήματα* *om.* P. — 22 *καὶ οἱ λοιποὶ* — *p.* 457, 6 *αὐτοῦ* *om.* P.

τολμήσας κατὰ τὴν ἀρχήν, ὅτι ὁ μονογενὴς υἱὸς ὁρᾶν τὸν πατέρα οὐ δύναται οὔτε τὸ πνεῦμα τὸ ἅγιον τὸν υἱὸν οὔτε 349 M. *οἱ ἄγγελοι τὸ πνεῦμα οὔτε οἱ ἄνθρωποι τοὺς ἀγγέλους, καὶ ἐκ τῆς οὐσίας τοῦ πατρὸς οὐ θέλει εἶναι τὸν υἱόν, ἀλλὰ κτίσμα, καὶ κατὰ χάριν υἱὸν λέγεσθαι, τὴν δὲ ἀνθρωπίνην* 5 *ψυχὴν προϋπάρχειν, καὶ τὰ ἑξῆς τῶν βλασφημιῶν αὐτοῦ. πολλὴν γοῦν πεποίηκε σύνταξιν εἰς ἑκάστην γραφήν, καὶ ὅσα μὲν ἐν προσομιλίαις καὶ διὰ προοιμίων εἰς ἤθη τε καὶ εἰς φύσεις ζώων τε καὶ ἀλόγων εἴρηται μέσος φερόμενος πολλάκις χαρίεντα διηγήματα, ὅσα δὲ περὶ πίστεως ἐδογμά-* 10 *τισεν, τῶν πάντων ἀτοπώτερος εὑρίσκεται. ἔδοξε δὲ αὐτῷ καὶ ἀσκητικὸν βίον ἐπανῃρῆσθαι τοιοῦτον, ὡς καὶ τὸν θώρακα αὐτοῦ φασι δι' ὑπερβολὴν ἀσιτίας τε καὶ σκληραγωγίας ἀνατραπῆναι, ἐπινενοηκέναι δὲ καὶ κατὰ τὸ σωμάτιον, οἱ μὲν ὅτι νεῦρον ἀποτετμηκέναι διὰ τὸ μὴ τῇ ἡδονῇ παρ-* 15 *ενοχλεῖσθαι, οἱ δὲ φάρμακον ἐπιθεῖναι τοῖς μορίοις εἶπον καὶ ἀποξηρᾶναι, ἄλλοι δὲ ἄλλα εἰς αὐτὸν ἀναφέρουσιν, ὡς ὅτι καὶ βοτάνην ἰατρικὴν εὗρε μνήμης ἕνεκα. οὗτος πολλὰ λέγεται πεπονθέναι ὑπὲρ τοῦ Χριστοῦ λόγιος ὢν σφόδρα καὶ ἐν τῇ ἐκκλησίᾳ ἀνατεθραμμένος. φθόνῳ δὲ διαβληθεὶς* 20 *πρὸς τοὺς τῆς ἐξουσίας ἄρχοντας, κακομηχανίᾳ διαβολικῆς ἐπινοίας εἰς αἰσχρότατον ἄνδρα φασὶν ἐπινοηθῆναι παρὰ*

7—14 Epiphanius Haer. II, 64, 5. — 14—18 *ib.* II, 64, 3. — 18—20 *ib.* II, 64, 1. — 20—*p.* 458, 16 *ib.* II, 64, 2.

4 *ἀλλὰ* — 5 *λέγεσθαι om.* M. — 5 *λέγεσθαι υἱόν* DR. — 9 *εἰς φύσεις* ABP Exc. Epiph. *εἰς om.* rell. — *καὶ om.* N. — *μέσως* BNPV Exc. *μέσης* R. — 10 *χάριεν τὰ διηγήματα* B *χαρίεντα τὰ διηγήματα* CERV *χαρ. διηγήματα ταῦτα* F. — *ἐδογμάτιζεν* RV. — 12 *καὶ ἀσκητικὸν* ABP Exc. Epiph. *καὶ om.* rell. — *ἐπανηρεῖσθαι* BCNPR. — 13 *αὐτοῦ om.* AB. — 16 *ἐπιθῆναι* LN *ἐπιτεθῆναι* AF *et* recc. quidam *ἐπιτεθεῖναι* B *et* recc. alii. — 19 *τοῦ om.* AF. — 22 *εἰς om.* AF.

15 *νεῦρον*] *εὗρον* P. — *μή τι ἡδονῇ* P. — 18 *μνήμης ἕνεκα καὶ βίβλους ἑξακισχιλίους συνέταξεν* P. *Tum om. rell. usque ad p.* 458, 16 *συγκλαιόντων αὐτῷ.*

τῶν τῆς κακίας ἐργατῶν. Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν
350 M. εἰς παράχρησιν τοῦ σώματος αὐτοῦ. ὁ δὲ μὴ φέρων τὴν
τοσαύτην βδελυρὰν ἐπίνοιαν ἔρρηξε φωνήν, ἀμφοτέρων προ-
τεθέντων αὐτῷ πραγμάτων. ἐπεὶ δὲ τοῦτο καθωμολόγησε
5 θῦσαι, βαλόντες ἐπὶ χεῖρας αὐτοῦ λίβανον εἰς τὴν τοῦ βω-
μοῦ πυρὰν καθῆκαν, καὶ οὕτω τοῦ μαρτυρίου ἀπὸ τῶν
κρινάντων ἀπεβλήθη καὶ τῆς ἐκκλησίας ἐξεώθη. τὴν Ἀλε-
ξάνδρειαν δὲ καταλιπὼν διὰ τὸν ὄνειδον τὴν Ἰουδαίαν κατέ-
λαβεν, ἀνελθὼν δὲ εἰς Ἱεροσόλυμα ὡς ἐξηγητὴς καὶ λόγιος
10 προετρέπετο ἀπὸ τοῦ ἱερατείου ἐπὶ τῆς ἐκκλησίας εἰπεῖν
(πρεσβύτερος γὰρ προϋπῆρχεν), καὶ πολλὰ καταναγκασθεὶς
ὑπὸ τῶν ἱερέων ἀναστὰς καὶ τοῦτο μόνον τὸ ῥητὸν εἰπών·
τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δι-
καιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ
15 στόματός σου, πτύξας τὸ βιβλίον ἐκάθισε μετὰ κλαυθμοῦ
καὶ δακρύων, πάντων ὁμοῦ συγκλαιόντων αὐτῷ.

Εἰσὶ δὲ πολλὰ καὶ ἕτερα τὰ περὶ αὐτοῦ λεγόμενά τε καὶ
ᾀδόμενα διὰ τὸ πλῆθος τῆς γνώσεως αὐτοῦ καὶ συντάξεως
τῶν βιβλίων, ὅθεν καὶ συντακτικὸς ὠνομάσθη διὰ τὸ πε-
20 ποιηκέναι πολλὰ βιβλία, μὴ ἀκούων ὡς ἔοικε τοῦ σοφωτά-
του Σολομῶντος λέγοντος· υἱὲ φύλαξαι τοῦ ποιῆσαι βιβλία
πολλά, καί· μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου μὴ
ταχυνάτω τοῦ ἐξενεγκεῖν λόγον ἀπὸ προσώπου τοῦ θεοῦ,
ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ σὺ ἐπὶ τῆς γῆς κάτω.

---

13 Psalm. 49 (50), 16. — 17 Epiph. II, 64, 3 *fin.* — 21 Eccl. 12, 12. — 22—*p.* 459, 4 *cf.* Euseb. ap. Anastasium Sin. Quaest. 65 Migne Tom. 89, 684 A. — 22 Eccl. 5, 1 *sqq.*

3 τοιαύτην AM. — 4 τοῦτο] τούτῳ BE οὕτω C. — 5 βάλλοντες AFLR λαβόντες V. — 6 ἀπὸ τῶν κρινάντων ABV Exc. Epiph. ἀποκρινάντων CEFLN ἀποκριθεὶς R. — 7 τὴν ἀλέξ. δὲ AB Exc. τὴν δὲ ἀλέξ. rell. — 8 τὸ ὄνειδος BR. — 17 τὰ περὶ ABP τὰ *om.* rell. — 24 ὁ *om.* BF.

17 καὶ πολλὰ εἰσὶ τὰ περὶ P. — 18 ᾀδόμενα ὑπέρογκα διὰ P Epiph. — 21 τοῦ μὴ ποιῆσαι P.

διὰ τοῦτο ἔστωσαν οἱ λόγοι σου ὀλίγοι. εἰσὶ γὰρ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα. καί· μὴ γίνου δίκαιος πολύ· ἔστι γὰρ δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ μὴ σοφίζου περισσά, μήποτε ἀσεβήσῃς. ταύτας τοίνυν παρα- 351 M. γραψάμενος τὰς ἱερὰς παραινέσεις καὶ παραγκωνισάμενος 5 οὐδὲ τοῦ χριστοφόρου προσέσχε τὴν ἔννοιάν τε καὶ σύνεσιν ἐν τοῖς συντάγμασιν. ὁ γὰρ θεσπέσιος Παῦλος ἐν παρασκευῇ λόγων πάντων δυνατώτατος νοήμασί τε ἱκανώτερος γεγονὼς οὐ πλεῖον τῶν βραχυτάτων ἐπιστολῶν γραφῇ παραδέδωκεν, καίτοι μυρία καὶ ἀπόρρητα λέγειν ἔχων, ἅτε τῶν 10 μέχρις οὐρανοῦ τρίτου θεωρημάτων ἐπιφθάσας, ἐπ' αὐτόν τε τὸν θεοπρεπῆ παράδεισον ἀναρπασθεὶς καὶ τῶν ἐκεῖσε ῥημάτων ἀνεκφράστων ἀξιωθεὶς ἀκοῦσαι. καὶ μέντοι οὐδ' οἱ λοιποὶ τοῦ Χριστοῦ φοιτηταί, ιβ' μὲν ἀπόστολοι, ο' δὲ μαθηταί, καὶ ἄλλοι πρὸς τούτοις μυρίοι οὐκ ἄπειροι λόγων 15 ἐτύγχανον, καὶ ὅμως οὖν ἐξ ἁπάντων τῶν τοῦ κυρίου διατριβῶν ὑπομνήματα Ματθαῖος ἡμῖν καὶ Ἰωάννης μόνοι καταλελοίπασιν, οὓς καὶ ἐπάναγκες ἐπὶ τὸ γράφειν ἐλθεῖν κατέχει λόγος, ὥσπερ δὴ καὶ Μάρκον καὶ Λουκᾶν ὕστερον. διὸ δή φησιν ὁ μέγας Μάξιμος· ὁ λόγους συγγραφόμενος ἢ 20 πρὸς τὴν ἑαυτοῦ ὑπόμνησιν συγγράφεται ἢ πρὸς ὠφέλειαν ἑτέρων ἢ ἄμφω ἢ πρὸς βλάβην τινῶν ἢ πρὸς ἐπίδειξιν ἢ ἐξ ἀνάγκης.

[κγ'. Περὶ Ἀντωνίνου.]

Μετὰ δὲ Σευῆρον ἐβασίλευσεν Ἀντωνῖνος καὶ Γέτας 25

1 Eccl. 6, 11. — 2 Eccl. 7, 16; 17.

2 ματαιότητι (-τη E) CEFLV. — 9 πλείον M πλείων ACF πλείω BL. — 10 καὶ ἀπόρρητα ABPV καὶ om. rell. — 12 τε BP δὲ rell. — 13 ἀνεκφράστων ῥημάτων AB ἀνεκφράστων om. R. — 17 μόνοι om. AB. — 19 δὴ om. AF. — 22 ἢ καὶ ἄμφω A Suid. v. συγγραφεύς. — 25 σεύηρον ACLM σεβῆρον recc. quidam σέβηρον V.

15 καὶ ἄλλοι τε P. — 22 ἢ καὶ πρὸς βλάβην P.

ὁ ἀδελφὸς αὐτοῦ μῆνας β', καὶ σφάξας τὸν ἀδελφὸν καὶ μοναρχήσας ἔτη ς' ἀνταναιρεῖται ὑπὸ τῶν ἰδίων.

[κδ'. Περὶ Ἀντωνίνου τοῦ Καρακάλλου.]

352 M. Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσεν Ἀντωνῖνος ὁ Καρά-
5 καλλος ἔτη κς' καὶ ἐσφάγη ἐν τῷ πολέμῳ. ἐφ' οὗ ἦν καὶ Γαληνὸς ὁ ἰατρός.

[κε'. Περὶ Μακρίνου.]

Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσε Μακρῖνος ἔτη δ' καὶ ἐσφάγη ὑπὸ Ἀντωνίνου.

10 [κς'. Περὶ Ἀντωνίνου τοῦ Γάλβα.]

353 M. Μετὰ δὲ Μακρῖνον ἐβασίλευσεν Ἀντωνῖνος ὁ Γάλβας ἔτη δ' καὶ ἐσφάγη ὑπὸ Ἀλεξάνδρου.

[κζ'. Περὶ Ἀλεξάνδρου.]

Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσεν Ἀλέξανδρος ὁ Μαμαίας
15 υἱὸς ἔτη ιγ' καὶ ἐσφάγη σὺν τῇ μητρὶ αὐτοῦ Μαμαίᾳ ἐξ
354 M. ἐπιβουλῆς Μαξιμίνου στρατηγοῦ. ἐφ' οὗ Νάρκισος ἐπίσκοπος Ἱεροσολύμων ἐν τῷ βαπτίζειν ἐλαίου τοῦ χρίσματος λείψαντος ἐκέλευσεν ὕδωρ ἐν τῷ κρατῆρι βληθῆναι καὶ τοῦτο προσευξάμενος εἰς ἔλαιον μετέβαλεν.

20 [κη'. Περὶ Μαξιμίνου.]

Μετὰ δὲ Ἀλέξανδρον ἐβασίλευσε Μαξιμῖνος ἔτη γ' καὶ ἐσφάγη ὑπὸ τοῦ στρατοῦ αὐτοῦ. ἐφ' οὗ Λαυρέντιος καὶ Κυπριανὸς ἐμαρτύρησαν.

16—19 *cf.* Euseb. Hist. eccl. VI, 9?.

1 *τὸν ἀδελφὸν αὐτοῦ* N. — 2 *ἰδίων αὐτοῦ* N *ἰουδαίων* Exc. de insid. — 9 *ὑπ' ἀντωνίνου* BP. — 14 *μαμαίας υἱὸς* ABP *υἱὸς om.* rell. — *μαμμαίας et* 15 *μαμμαίᾳ* N. — 16 *νάρκισος* BLPR *νάρκησος* A *νάρκισσος* rell.

[κθ'. Περὶ Βαλβίνου.]

Μετὰ δὲ Μαξιμῖνον ἐβασίλευσε Βαλβῖνος μῆνας β' καὶ ἐσφάγη ἐν τῷ πολέμῳ.

[λ'. Περὶ Πουπλιανοῦ.]

Μετὰ δὲ Βαλβῖνον ἐβασίλευσε Πουπλιανὸς μῆνας β' καὶ 5 355 M. *ἐσφάγη ἐν τῷ πολέμῳ.*

[λα'. Περὶ Ἰούνορος.]

Μετὰ δὲ Πουπλιανὸν ἐβασίλευσεν Ἰούνωρ μῆνας γ', ὃς πρῶτος ἐποίησε κανδιδάτους καὶ προτίκτορας καὶ τὸ τάγμα τῶν σχολαρίων συστησάμενος ἐκάλεσεν αὐτὸ Ἰούνορον εἰς τὸ 10 *ἴδιον ὄνομα.*

[λβ'. Περὶ Γορδιανοῦ.]

Μετὰ δὲ Ἰούνορον ἐβασίλευσε Γορδιανὸς υἱὸς αὐτοῦ ἔτη δ' καὶ ἐν τῷ πολέμῳ συμπεσὼν τῷ ἵππῳ καὶ μηροκλασθεὶς ἀπέθανεν. 15

[λγ'. Περὶ Οὐνίωρος.]

Μετὰ δὲ Γορδιανὸν ἐβασίλευσεν Οὐνίωρ υἱὸς αὐτοῦ ἔτη β' καὶ ὑδεριάσας ἀπέθανεν. ἐφ' οὗ Σαβέλλιος ὁ αἱρεσιάρχης ἐγνωρίζετο. καὶ Ἑβραῖός τις χριστιανοῖς ἐν ἐρήμῳ τόπῳ συνοδοιπορῶν ἐν Συρίᾳ καὶ ἀρρωστήσας, ὥστε μὴ 20 *δύνασθαι παντελῶς αὐτὸν κινεῖσθαι, συνεβουλεύσαντο οἱ*

8—11 *cf.* Chron. Pasch. *p.* 501, 13; 502, 14. — 19—*p.* 463, 19 *cf.* Johannis Moschi Pratum spir. *cp.* 176 Migne Tom. 87, 3044.

2 *Βαλβῖνος* — 5 *ἐβασίλευσε om.* CEFL *et* R (*cf. v.* 8. 13). — 8 *ἰούνωρ* LM *ἰούωρ* B *βαλβῖνος ὁ ἰούνορος* R. — 10 *ἰούνορον* M *ἰούνωρον* L *ἰούνουρον* P. — 13 *ἰούνωρον* L *ἰούνουρον* (*ἰουν.* M) MP *ἰούνορα* F *ἰούωρ* B *βαλβῖνον* R. — 17 *οὐνίωρ* AP *ἰουνίωρ* BL *ἰούνωρ* CDEFG *ἰούνορ* M *ἰούνορος* R. — 19 *ἐν ἐρήμῳ τόπῳ συνοδοιπορῶν* ABNP *συνοδ. ἐν ἐρήμῳ τόπῳ* rell. — 21 *παντελῶς αὐτὸν* ABP *αὐτὸν παντελῶς* rell.

2 *μῆνα α'* P. — 9 *προτίκτωρας* P.

σὺν αὐτῷ χριστιανοὶ μετὰ πολλῶν δακρύων καταλεῖψαι τοῦ-
τον ὑφορώμενοι μὴ καὶ αὐτοὶ συνδιαφθαρῶσιν ἐκ τῆς ἀνυ-
δρίας τοῦ τόπου καὶ ἐρημίας. οὓς ἰδὼν ἀπιέναι μέλλοντας
ὁ Ἰουδαῖος ἤρξατο μετὰ κλαυθμοῦ πρὸς αὐτοὺς λέγειν· ὁρ-
5 κίζω ὑμᾶς τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
κατελθόντα ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων καὶ μέλλοντα κρῖναι
ζῶντας καὶ νεκρούς, μὴ ἐάσητέ με ἀποθανεῖν Ἑβραῖον, ἀλλὰ
356 M. βαπτίσατέ με καὶ οὕτως ἀπέλθατε. οἱ δέ φησιν· οὐκ ἔξ-
εστιν ἡμῖν τοῦτο ποιῆσαι κοσμικοῖς οὖσι καὶ χειροτονίαν
10 μὴ ἔχοντας, ἀλλ' οὐδὲ πάλιν ὕδωρ ἐστὶν ἐνταῦθα, καθὼς
καὶ αὐτὸς ἐπίστασαι. ὁ δὲ μᾶλλον ἐπέμενε τοῖς αὐτοῖς ὅρ-
κοις ἐκβιαζόμενος αὐτοὺς καὶ κατακρίνων. ἐν πολλῇ οὖν
ἀπορίᾳ γενόμενοι, εἶπεν εἷς ἐξ αὐτῶν πρὸς τοὺς λοιπούς·
ἐγείρατε αὐτὸν καὶ ἐκδύσατε. καὶ μετὰ πολλοῦ κόπου τοῦ-
15 τον ὀρθώσαντες καὶ ἀποδύσαντες, ἐκεῖνος τὰς χεῖρας ἑαυτοῦ
ψάμμου πλήσας κατέχεεν ἐπὶ τῆς κεφαλῆς τοῦ Ἰουδαίου
λέγων ἐκ τρίτου· βαπτίζεται Θεόδωρος εἰς τὸ ὄνομα τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἀποκρινο-
μένων τῶν ἄλλων καθ' ἕκαστον ὄνομα τὸ ἀμήν. καὶ παρα-
20 χρῆμα τοσοῦτον ἐνίσχυσεν, ὥστε σὺν πολλῇ προθυμίᾳ καὶ
εὐρωστίᾳ βαδίζειν μετ' αὐτῶν. ἐλθόντων δὲ αὐτῶν ἐν Ἀλε-
ξανδρείᾳ καὶ ταῦτα διηγησαμένων τῷ ἀρχιεπισκόπῳ Διονυ-
σίῳ, καὶ τοῦτον ἐκθαμβήσαντες, εὐθὺς πάντα τὸν κλῆρον
συναθροίζει καὶ ἀνατίθεται αὐτοῖς τὸ πρᾶγμα, εἴτε ἄρα ἐλο-
25 γίσθη τῷ Ἰουδαίῳ εἰς βάπτισμα ἢ τῆς ψάμμου ἐπίχυσις,

---

1 μετ' αὐτοῦ AB. — 2 ἀνυδρίας καὶ ἐρημίας τοῦ τόπου F ἐρημ. τοῦ τόπου καὶ ἀνυδρίας L. — 8 ἀπέλθατε *m. 1 ex* ἀπέλθετε P ἀπέλθετε V. — φασιν FLRV. — 10 ἔχοντας ACEPR ἔχουσι rell. — 15 τὰς ἑαυτοῦ χεῖρας P τὰς χεῖρας αὐτοῦ BN (*in* L ἑαυτοῦ *ex* αὐτοῦ *m. 1 corr.*). — 20 ἐνίσχυσεν PRV (*cf* Moschum) ἴσχυσεν rell. — 23 ἐκθαμβησάντων FV.

8 με *om.* P. — 16 ἐπὶ τὴν κεφαλὴν P. — 20 προθυμίᾳ τε καὶ P. — 21 συμβαδίζειν αὐτοῖς P. — 24 εἰάρα (*om.* τε) P.

εἴτε οὔ. καὶ οἱ μὲν ἔλεγον· ἐλογίσθη, μαρτυρούσης καὶ τῆς ἀθρόας ὑγείας αὐτοῦ, οἱ δὲ οὐ παρεδέχοντο διὰ τὸ μὴ τοιαύτην ἔχειν τὴν ἐκκλησίαν παράδοσιν καὶ μάλιστά γε τοῦ κυρίου πρὸς Νικόδημον εἰρηκότος· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν 5 *τῶν οὐρανῶν. τούτων τοίνυν καὶ ἑτέρων λαληθέντων, ἔδοξε τῷ ἁγίῳ Διονυσίῳ βαπτισθῆναι αὐτὸν καὶ ἀποστείλας αὐτὸν εἰς τὸν Ἰορδάνην ποταμὸν ἐβάπτισεν. τὸν δὲ προβαπτίσαντα αὐτὸν διὰ τῆς ψάμμου ἄξιον αὐτὸν ὑπάρχοντα διάκονον ἐχειροτόνησεν. εἰκότως οὖν καὶ ὁ μέγας Γρηγόριος ἀπα-* 10 *ριθμήσας τὰ βαπτίσματα πάντα φησίν· ἐβάπτισε Μωϋσῆς, ἀλλ' ἐν ὕδατι καὶ πρὸ τούτου ἐν νεφέλῃ καὶ ἐν θαλάσσῃ. ἐβάπτισε καὶ Ἰωάννης οὐκέτι μὲν ἰουδαϊκῶς, οὐ γὰρ ἐν ὕδατι μόνον, ἀλλὰ καὶ εἰς μετάνοιαν. βαπτίζει καὶ Ἰησοῦς, ἀλλ' ἐν πνεύματι. τοῦτο ἡ τελειότης. οἶδα καὶ τέταρτον* 15 *βάπτισμα τὸ διὰ μαρτυρίου καὶ αἵματος, οἶδα καὶ πέμπτον ἔτι τὸ διὰ δακρύων. οὐκοῦν δικαίως οὐ παρεδέξαντο καὶ* 357 M. *λίαν ἁρμοδίως ἐκεῖνο τὸ βάπτισμα. ποῖον γὰρ ἐκ ταῦτα ἐβαπτίσατο, ἵν' ὡς βέβαιον καὶ θεῖον κυρωθείη;*

Ποῦ τοίνυν εἰσὶν οἱ κοσμικούς τινας καὶ γυναῖκας λέ- 20 *γοντες βαπτίσαι ποτὲ κατὰ περίστασιν, μὴ παρόντος ἱερέως, καὶ εἰς βάπτισμα θεῖον καὶ τέλειον αὐτοῖς λογισθῆναι, φιλο-*

---

4 Joh. 3, 5. — 11—17 Gregor. Naz. Or. 39 *cp.* 17 Migne Tom. 36, 353.

1 *εἴτε καὶ οὔ* N. — *ὅτι ἐλογίσθη* NV. — *καὶ τῆς* ABP *καὶ om.* rell. — 2 *ὑγίας* ACEF. — *διὰ τὸ τὴν τοιαύτην ἔχειν* C *διὰ τὸ μὴ τὴν τ. ἔχ.* R *διὰ τὸ τοιαύτ. μὴ ἔχειν* V *διὰ τὸ μὴ ἔχ. τοιαύτην* B. — 4 *πρὸς νικόδημον* ABP Mosch. *πρὸς τὸν ν.* rell. — 9 *αὐτὸν post ἄξιον om.* V *et* recc. quidam. — 12 *ἐν τῇ θαλάσσῃ* CDEFL. — 17 *ἔτι om.* CF. — 18 *ἐκ ταῦτα* ACGL *ἐκταῦθα* E *ἐκ τούτων* BFNRV. — 19 *κυρωθῇ* RV. — 22 *φιλονικοῦντες* ACLMP.

1 *εἴτε οὔ om.* P. — 2 *ὑγείας*] *εὐρωστίας* P. — *αὐτοῦ om.* P. — 4 *φάσκοντος* P. — 7 *διονυσίῳ ἀποστεῖλαι αὐτὸν εἰς τὸν ἰορδ. ποταμὸν κἀκεῖ βαπτισθῆναι. τὸν δὲ* P Mosch. — 9 *ἄξιον αὐτὸν ὑπάρχοντα om.* P Mosch. — 10 *εἰκότως* — 19 *κυρωθείη om.* P.

νεικοῦντες, μᾶλλον δὲ τερατολογοῦντες καὶ βλασφημοῦντες ἐκ πολλῆς ἀγνωσίας καὶ αὐθαδείας, μηδὲ τῆς ἱερᾶς τῶν ἀποστόλων διδασκαλίας καὶ παραγγελίας ἀκούοντες τῆς λεγούσης· οὐκ ἐπιτρέπομεν λαϊκὸν ποιεῖν τι τῶν ἱερατικῶν,
5 *οἷον θυσίαν ἢ βάπτισμα ἢ χειροθεσίαν ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην. οὐχ ἑαυτῷ γάρ τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ. διὰ γὰρ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ ἐπισκόπου δίδοται ἡ τοιαύτη δόξα. ὁ δὲ μὴ ἐγχειρισθεὶς ταύτην, ἀλλ' ἁρπάσας καὶ τυραννήσας αὐτὴν*
10 *ἑαυτῷ, τὴν ἁμαρτίαν καὶ τὴν τιμωρίαν τοῦ Σαοὺλ καὶ Ὀζία ὑποστήσεται. οὐ μὴν δὲ ἀλλ' οὐδὲ τοῖς λοιποῖς κληρικοῖς ἐπιτρέπομεν βαπτίζειν οἷον διακόνοις ἢ ἀναγνώσταις ἢ ψάλταις ἢ ὑπηρέταις, ἢ μόνοις ἐπισκόποις καὶ πρεσβυτέροις, ἐξυπηρετουμένων αὐτοῖς τῶν διακόνων. οἱ δὲ τολμῶντες*
15 *τοῦτο τῶν Κοριτῶν ὑποίσουσι τὴν δίκην. καὶ μέντοι οὐδὲ πρεσβυτέροις χειροτονεῖν διακόνους ἢ διακονίσσας ἢ ἀναγνώστας ἢ ὑπηρέτας ἢ πυλωρούς, ἀλλ' ἢ μόνοις τοῖς ἐπισκόποις. αὕτη γάρ ἐστι τάξις ἔννομος ἐκκλησιαστικὴ καὶ θεάρεστος ἁρμονία καὶ κατάστασις. μάτην οὖν ἐρεσχελοῦσιν*
20 *ἢ τό γε ἀληθέστερον εἰπεῖν θεομαχοῦσιν οἱ τὰ τῆς ἱερωσύνης χαρίσματα καὶ ἐνεργήματα κοσμικοῖς τε καὶ γυναιξὶν ἀπονέμοντες ἐπὶ καταστροφῇ τῶν ἀκουόντων καὶ πειθομένων τῇ ματαιολογίᾳ καὶ φλυαρίᾳ τῶν μηδὲ ὅ τί ποτέ ἐστιν ἱερωσύνη καὶ διαφορὰ κοσμικοῦ τε καὶ ἱερέως πάμπαν εἰδότες.*

4—19 Constit. Apostol. III, 10; 11.

6 *οὐχὶ ἑαυτῷ* AB *οὐχ αὐτῷ* P. — 8 *δόξα*] *ἀξία* ER Const. — 10 *ὀζίου* BRV Const. — 13 *ἀλλ' ἢ μόνοις* BR. — 15 *κορητῶν* AE *κριτῶν* B. — *καὶ μέντοι καὶ οὐδὲ* CDER. — 16 *διακόνισσας* CPV *διακονίσας* FL *διακονίσσαις* B. — 19 *μάτην* — 24 *εἰδότες om.* B. — 24 *εἰδότων* F *et m. 2* D.

V. 11 *post ὑποστήσεται, v.* 19 *post κατάστασις et v.* 24 *post εἰδότες alia inserit* P *in tertio volumine edenda.* — 20 *θεομαχοῦσιν*] *βλασφημοῦσι* P. — 23 *μηδ' ὅτι* P.

[λδ'. Περὶ Μάρκου.]

Μετὰ δὲ Οὐνίωρον ἐβασίλευσε Μάρκος ἔτη γ'.

[λε'. Περὶ Ἰουστιλλιανοῦ.]

Μετὰ δὲ Μάρκον ἐβασίλευσεν Ἰουστιλλιανὸς ἔτη β' καὶ φλεβοτομηθεὶς ἐξεχύθη τὸ αἷμα αὐτοῦ ἐν τῷ καθεύδειν καὶ 5 λιποθυμήσας ἀπέθανεν.

[λϛ'. Περὶ Φιλίππου.]

Μετὰ δὲ Ἰουστιλλιανὸν ἐβασίλευσε Φίλιππος ἔτη ϛ' καὶ 358 M. κτίσας πόλιν ἐν τῇ Εὐρώπῃ καὶ καλέσας αὐτὴν Φιλιππόπολιν ἐσφάγη ἐν τῷ παλατίῳ. 10

[λζ'. Περὶ Οὐαλλεριανοῦ.]

Μετὰ δὲ Φίλιππον ἐβασίλευσεν Οὐαλλεριανὸς ἔτος α' καὶ ἐσφάγη ὑπὸ τοῦ λαοῦ αὐτοῦ. ἐφ' οὗ, ἐπὶ πᾶσαν τὴν οἰκουμένην τοῦ θεοῦ ὀργὴν μεγάλην ἐκπέμψαντος, λοιμώδης νόσος τὸ ἀνθρώπινον γένος διέφθειρεν εἰς ἐξάλειψιν. ἀπὸ 15 359 M. γὰρ τῆς γῆς καὶ τῆς θαλάσσης ἀτμοί τινες ἀνῄεσαν καὶ πρὸς τούτοις ἄνεμοι καὶ αὖραι τῶν ποταμῶν καὶ λιμνῶν ἀνιμήσεις ἀπέπνεον, ὡς νομίζειν νεκρῶν ἰχῶρας εἶναι τὰς δρόσους. συνεχεῖς οὖν ἐκ τούτου λοιμοὶ τὴν γῆν συνεῖχον καὶ βαρεῖα καὶ ἀνίατα νοσήματα, ὡς ἄπειρον καὶ ἀναρίθμη- 20

13—*p.* 466, 15 Epitome ecclesiastica? *cf.* Dionysii Alexand. epist. ap. Euseb. Hist. eccl. VII, 21; 22.

2 *οὐνίωρον* CELP *οὐνίορον* AB *ἰούνωρον* DR *ἰούνουρον* M *ἰούνορα* F. — 4 *ἰουστιλιανὸς* M *ἰουστελλιανὸς* R *ἰουστινιανὸς* B. *Item v.* 8. — 6 *λιποθυμήσας* FLP *λυποθυμήσας* M *λειποθυμήσας* rell. — 8 *ἔτη ϛ'* AP *ἔτη γ'* B *ἔτη ζ'* R *ἔτη κϛ'* CEFLN. — 9 *φιλιππούπολιν* R *φιλίππου πόλιν* Exc. de insid. — 16 *ἀνίεσαν* ACFLMP. — 18 *ἀπέπνεον* ABP Eus. *ἀνέπνεον* rell. — 19 *ἐκ τοῦ τοιούτου λοιμοῦ τ. γ. συνεῖχεν* RV. — *τὴν γῆν συνεῖχον λοιμοὶ* B *τὴν γῆν λοιμοὶ συνεῖχον* L. — 20 *βαρεῖα* FL *βαρία* C *βαρέα* E.

14 *ὁ θεὸς ὀργὴν μεγάλην ἐκπέμψας* P.

τον γενέσθαι τῶν ἀνθρώπων τὸν ὄλεθρον. θρῆνοι δὲ καὶ οἰμωγαὶ διὰ τὸ πλῆθος τῶν ὀλλυμένων ἐγίνοντο πανταχοῦ κατ' οὐδὲν τῶν ἐπὶ τοῦ θανάτου τῶν πρωτοτόκων Αἰγύπτου ἀπολειπόμενοι. οὐ γὰρ ἦν οἰκία, ἐν ᾗ οὐκ ἦν τεθνηκὼς
5 *καὶ ἀπόζων, καὶ οἱ μὲν τῶν ἐθνῶν ἀπηνεῖς ἄνθρωποι τὴν τοῦ νοσήματος ἐκτρεπόμενοι καὶ τὴν τοῦ θανάτου μετάδοσιν ἀτάφους ἢ καὶ ἡμιθανεῖς ἔρριπτον τοὺς ἀνθρώπους, οὐ συγγενῶν, οὐ φίλων, οὐκ ἄλλων τινῶν ἐγγυτέρω φειδόμενοι, κἂν ὅτι μάλιστα τὴν ὀργὴν καὶ τὸν θάνατον οὐ διέ-*
10 *φυγον. οἱ δὲ πλεῖστοι τῶν φοβουμένων τὸν κύριον ἀπαραφυλάκτως τοὺς νοσοῦντας θεραπεύοντες καὶ τοῦ πάθους μεταλαμβάνοντες τοῦ βίου τούτοις συναπηλλάττοντο, ἄλλοι δὲ ἑτέρους νοσοκομήσαντες καὶ ἀνεθῆναι τῆς νόσου ποιήσαντες ἀπεγένοντο εἰς αὐτοὺς τὸν ἐκείνων θάνατον ἐπισπασά-*
15 *μενοι.*

[λη'. *Περὶ Γάλλου.*]

Μετὰ δὲ Οὐαλλεριανὸν ἐβασίλευσε Γάλλος υἱὸς αὐτοῦ μῆνα ἕνα καὶ ἐσφάγη καθεύδων ὑπὸ τῆς ἰδίας γυναικός.

[λθ'. *Περὶ Δεκίου.*]

20 *Μετὰ δὲ Γάλλον ἐβασίλευσε Δέκιος ἔτος ἓν καὶ ἐσφάγη*
360 M. *ἐν τῷ πολέμῳ. ὃς ἐθέσπισεν ἐν Ῥώμῃ τὰς χριστιανὰς γυναῖκας μὴ ἐξεῖναι κατακαλύπτεσθαι τὴν κεφαλὴν οἰόμενος διὰ τῆς νομιζομένης αἰσχύνης ταύτης εἰς εἰδωλολατρείαν αὐτὰς ἑλκύσειν. αἱ δὲ μᾶλλον προθύμως ἀκατακάλυπτοι*
25 *προήεσαν δόξαν ἡγούμεναι τὴν ὑπὲρ Χριστοῦ δοκοῦσαν ἀνθρωπίνην ἀτιμίαν. ὅθεν ἄχρι νῦν αἱ μὲν ἀκριβεῖς χριστια-*

---

2 *ἐγίνετο* CE *ἐγένετο* V. — 3 *ἐπὶ τοῦ θανάτου* ABP *ἐπὶ τῷ θανάτῳ* F *ἐπὶ θανάτου* rell. — 4 *ἀπολιπόμενοι* FR. — 7 *ἢ* om. LR. — 9 *κἂν*] *καὶ* BP. — 14 *τὸν*] *τῶν* DFP. — *ἐπισπασάμενοι θάνατον* FL. — 17 *ὁ υἱὸς* BM. — 25 *προίεσαν* ADP *προίασιν* CEFLR.

7 *ἡμιθανεῖς τοὺς νεκροὺς ἔρριπτον οὐ συγγ. οὐ φιλτάτων παντελῶς φειδόμενοι* P. — 14 *τὸν αὐτὸν θάνατον* P.

ναὶ γυναῖκες ἀκατακάλυπτοι πρoίασιν, αἱ δὲ Ἰουδαῖαι καὶ ἄπιστοι καλυπτονται. ἐφ' οὗ καὶ Βαβυλᾶς Ἀντιοχείας καὶ Φλαβιανὸς Ῥώμης καὶ Ἀλέξανδρος Ἱεροσολύμων καὶ Διονύσιος Ἀλεξανδρείας ἐμαρτύρησαν, καὶ Ναυάτος τῆς ἐκκλησίας ἀπέστη, καὶ Ἑλκεσαῖος ὁ αἱρεσιάρχης ἐγνωρίζετο. 5

[μ'. Περὶ Αἰμιλιανοῦ.]

Μετὰ δὲ Δέκιον ἐβασίλευσεν Αἰμιλιανὸς ἔτος α' καὶ ἐσφάγη ἐν τῷ παλατίῳ.

[μα'. Περὶ Γαλλιανοῦ.]

Μετὰ δὲ Αἰμιλιανὸν ἐβασίλευσε Γαλλιανὸς ἔτη γ' καὶ 10 361 M. ἐσφάγη ἐν τῷ πολέμῳ. ἐφ' οὗ Ἀρτέμων καὶ Συνέπων οἱ αἱρεσιάρχαι ἐγνωρίζοντο, καὶ Γρηγόριος ὁ θαυματουργὸς καὶ μαθητὴς Ὠριγένους διέπρεπεν.

[μβ'. Περὶ Κλαυδίου.]

Μετὰ δὲ Γαλλιανὸν ἐβασίλευσε Κλαύδιος ἔτη β'. 15

[μγ'. Περὶ Κυντιλιανοῦ.]

Μετὰ δὲ Κλαύδιον ἐβασίλευσε Κυντιλιανὸς ἡμέρας ζ'.

[μδ'. Περὶ Αὐριλλιανοῦ.]

Μετὰ δὲ Κυντιλιανὸν ἐβασίλευσεν Αὐριλλιανὸς ἔτη ε' καὶ ἐσφάγη ὑπὸ κουβικουλαρίου. ἐφ' οὗ Μάνης ὁ μιαρὸς 20 362 M.

20—*p.* 467, 5 Exc. Barocc. *ex* Eus. Hist. eccl. VII, 31.

2 κατακαλύπτονται FL. — βαβυλὰς C βαβύλας EFLNRV. — 4 ναυᾶτος C *et* recc. plerique νοάτος E ναβάτος BGL. — 5 ἐλκεσαῖος (ἐλ. P) ABP κελσαῖος (-έος C) rell. — 7 αἱμιλιανὸς BCPR αἱμηλιανὸς A. — 8 ἐν τῷ παλατίῳ — 11 ἐσφάγη *om.* PR *ex homoeoteleuto.* — 10 αἱμιλιανὸν ACGL αἱμιλλιανὸν B. — γαλινὸς C. — 11 ἀρτίμων M ἀρτέμπων P. — συνέπον AC συνέσων *ut vid.* D νέπων P. — 15 γαλινὸν C γάλλον L. — 17 *om.* R. — κυντιλλιανὸς L κυντυλλιανὸς F κιντιλλιανὸς M. — 19 κυντυλλιανὸν F κιντιλιανὸν M κυντιανὸν B κλαύδιον R. — αὐριλλιανὸς DFPRV αὐρηλλιανὸς L αὐρηλιανὸς B Exc. de ins. αὐριλιανὸς ACEM.

καὶ τρισκατάρατος ἀνεφύη Χριστὸν ἑαυτὸν καὶ πνεῦμα ἅγιον ὁ δαιμονιώδης μορφαζόμενος. διὸ καὶ μαθητὰς ιβ΄ ὡς ἂν ὁ Χριστὸς ἐπαγόμενος καὶ ἐκ πάσης αἱρέσεως εἴ τι κακὸν ἐρανισάμενος ἐκ Περσίδος εἰς τὴν Ῥωμαίων γῆν κατὰ θεοῦ
5 συγχώρησιν εἰσέφρησεν. οὗτος οὖν ὁ μεμηνὼς Μάνης ὁ καὶ Σκυθιανὸς λεγόμενος Βραχμάνης ἦν τὸ γένος, διδάσκαλον δὲ ἔσχε Βούδδαν τὸν πρώην καλούμενον Τερέβινθον, ὃς καὶ παιδευθεὶς ὑπὸ Σκυθιανοῦ τὰ Ἑλλήνων δοξάζοντος τὴν Ἐμπεδοκλέους ἠγάπησεν αἵρεσιν δύο ἀρχὰς λέγοντος
10 ἀντικειμένας ἀλλήλαις. εἰσελθὼν δὲ ἐν Περσίδι ἐκ παρθένου ἑαυτὸν ἔφασκε γεγεννῆσθαι καὶ ἐν τοῖς ὄρεσιν ἀνατραφῆναι, καὶ συγγραψάμενος βιβλία τέσσαρα τὸ μὲν ἐπωνόμασε τῶν μυστηρίων, τὸ δὲ εὐαγγέλιον, τὸ δὲ τῶν θησαυρῶν, τὸ δὲ τῶν κεφαλαίων. καὶ ὁ μὲν Βούδδας οὗτος ὁ καὶ
15 Τερέβινθος ὑπὸ πνεύματος ἀκαθάρτου συντριβεὶς ἀπώλετο, γυνὴ δέ τις, παρ' ᾗ κατέλυσε καὶ κατελύθη, τὰ χρήματα καὶ τὰς βεβήλους βίβλους τοῦ ἐξαγίστου κληρονομήσασα ὠνεῖται παιδάριον ἐτῶν ζ΄ τοὔνομα Κούβρικον, ὃν καὶ διδάξασα γράμματα καὶ ἐλευθερώσασα κληρονόμον τῶν ἑαυτῆς
20 πάντων καθίστησιν. ὁ δὲ λαβὼν τὰ βιβλία τοῦ Βούδδα καὶ

2—*p.* 469, 3 Epitome e Theodori Lectoris Historia tripartita *apud* Cram. Anecd. Paris. II *p.* 93, 9.

2 ἂν *om.* FRV. — 6 βραμάνης M βραχμὰν (-ᾶν F) F Exc. de virt. (Σαρακηνὸς Cram.). — 7 βουδδὰν C βουδδᾶν V Exc. βουδᾶν E βοδδὰμ P βόδδαν *s.* βοδδᾶν *s.* βοδδὰν R (Βόδδας Cram.). — 8 καὶ *om.* AB Exc. — 9 ἐκπαιδοκλέους (-κλεοὺς C) BC. — 10 ἀλλήλοις CER. — 11 γεγενῆσθαι DPR Exc. γεννηθῆναι M γεγεννῆσθαι rell. Cram. (B *m. 1 corr. ex* γεγενῆσθαι). — 13 τῶν μυστηρίων ABP Exc. Cram. μυστηρίων N μυστήριον rell. — τὸ δὲ τὸ εὐαγγέλιον ABCEL Exc. — τὸν θησαυρόν BCV Exc. θησαυρόν R Cram. — 14 βοῦδδας C βουδδᾶς RV βουδδας *sine acc.* Exc. βοδδᾶς B βούδας F βουδᾶς E. — οὗτος *om.* AB. — 16 κατέλυσε τὸν βίον καὶ N. — καὶ κατελύθη *om.* Exc. Cram. — 17 τοῦ ἐναγίστου F τοῦ ἐναγοῦς V *om.* M Exc. Cram. — 20 βοῦδδα C Exc. βουδδᾶ V βοδδᾶ P βουδᾶ E *item p.* 469, 2.

6 τῷ γένει P Cram. — διδάσκαλον] μαθητὴν P Cram.

τὰ χρήματα διήρχετο τὴν Περσίδα Μάνην ἑαυτὸν ὀνομάζων, καὶ τῆς πλάνης τοῦ Βούδδα συνίστωρ γινόμενος καὶ τὰ βιβλία πονήματα ἴδια ἔλεγεν εἶναι. ὃν ὁ βασιλεὺς Περσῶν 363 M. ἐξέδειρε ζῶντα ὡς θανάτου γενόμενον τοῦ υἱοῦ αὐτοῦ αἴτιον. τοῦ γὰρ βασιλικοῦ παιδὸς νοσοῦντος καὶ πολλῆς ἰατρικῆς 5 ἐπιμελείας ἀπολαύοντος, ἐπηγγείλατο Μάνης χωρὶς ἰατρείας ἀναστῆσαι τοῦτον, καὶ οὕτω τοὺς ἰατροὺς ἀποστήσας ἐθανάτωσε τὸν παῖδα τῇ ἀμελείᾳ καὶ τερατολογίᾳ. ὑπὲρ δὲ τούτου μισθὸν ἐπάξιον εἰκότως κομίζεται τὴν ἐκδορὰν τοῦ παναθλίου αὐτοῦ σώματος. 10

Ὁ τοίνυν ἐμβρόντητος οὗτος Μάνης ἀποβαλλόμενος τὴν παλαιὰν διαθήκην καὶ τὴν κτίσιν πᾶσαν καὶ τὴν τοῦ ἀνθρώπου κατασκευὴν οὐκ ἀγαθοῦ τινος θεοῦ γεγονέναι βλασφημῶν ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν οὖσαν, τὴν νέαν ὡς ἀγαθοῦ δῆθεν προσίεται θεοῦ, καὶ κατὰ φαντασίαν καὶ δό- 15 κησιν τὸν Χριστὸν πεφηνέναι τερατεύεται. καὶ πρὸς τούτοις καταδύσεις τινὰς ἐναγεῖς καὶ νυκτερινὰς τελετὰς καὶ παρανόμους ἐπιτηδεύσας μίξεις καὶ ἀρρητοποιΐας καὶ εἱμαρμένην καὶ μετενσωματώσεις καὶ ἄλλα πλεῖστα φλυαρήσας καὶ δράσας καὶ διδάξας τὰ τῶν Ἑλλήνων πονηρὰ καὶ μάταια 20 δόγματα κρατύνειν ἐσπούδακεν ὁ θεομισὴς καὶ θεήλατος.

Περὶ οὗ φησι καὶ Θεόδωρος πρεσβύτερος ὁ τῆς Ῥαϊθοῦ· Μάνης ὁ τοῦ ἀντιθέτου σκότους ἐφευρετής, μᾶλλον

3—10 Theod. Lect. *cf.* Socrat. H. eccl. I, 22. — 22—*p.* 473, 15 Theodori Rhaituensis Liber de incarnatione *cp.* 2 *sqq.* Migne Tom. 91, 1485 C *sqq.*

2 *γινόμενος* ACDP Cram. *γενόμενος* rell. — 7 *τοῦτο* CEL *αὐτόν* A. — 8 *ὑπὲρ τούτου* (*om. δὲ*) AB (*ὑπὲρ οὗ* P). — 13 *θεοῦ τινος* L *θεοῦ om.* R. — 14 *οὖσαν καὶ ἀλλοίωσιν* N. — 15 *προσιέναι* CELNR. — 21 *ἐσπούδακεν* ABP Exc. *ἐσπούδασεν* N *ἐσπούδαζεν* rell.

4 *αἴτιον τοῦ υἱοῦ αὐτοῦ* P. — 6 *Μάνης om.* P. — 9 *εἰκότως ἐκδορὰν ἀπηνέγκατο παραυτίκα τοῦ* P. — 11 *μάνης οὗτος* P. — 22 *ὁ τῆς ῥ. πρεσβύτερος* P (Exc.).

δὲ τῆς ἐξουσίας τοῦ σκότους ἀνάπλασμα, φαντασίᾳ ψιλῇ καὶ σχήματι διακένῳ σώματος ἀνθρωπείου πεφανερῶσθαι τὸν κύριον ἐφαντάσθη καὶ ὠνείρωξεν, ὥστε φησὶ καὶ πάσχειν μὲν δοκεῖν αὐτὸν καὶ πράττειν ἅπερ ἔδρα καὶ πέπονθε καθ' 364 M. 5 ἡμᾶς, μηδὲν δὲ τούτων ἀληθείᾳ καὶ πράγματι ὑπάρξαι, ἀλλὰ δοκήσει μόνον καὶ ἀπάτῃ ἀποβουκολεῖν τοὺς ἀνθρώπους, οἷς καὶ συνανεστράφθαι νενόμισται. διὰ τοῦτο καὶ φύσεις δύο παραιτεῖται λέγειν ἐπὶ τοῦ κυρίου, ἀλλὰ μίαν τὴν τῆς θεότητος.

10 Παῦλος δέ τις τῷ Μάνεντι τούτῳ σύγχρονος γεγονώς, τὸ γένος μὲν Σαμωσατεύς, Ἀντιοχείας δὲ τῆς μεγάλης πρόεδρος, ψιλὸν ἄνθρωπον εἶναι τὸν κύριον ἐδυσφήμησεν, ὥσπερ δὲ εἰς ἕκαστον τῶν προφητῶν οὕτω καὶ ἐν αὐτῷ γεγενῆσθαι τοῦ θεοῦ λόγου τὴν οἴκησιν, ἔνθεν καὶ δύο φύ- 15 σεις διῃρημένως ἐχούσας καὶ ἀκοινωνήτους πρὸς ἑαυτὰς εἶναι παντάπασιν ἐν Χριστῷ, ὡς ἄλλου ὄντος αὐτοῦ τοῦ Χριστοῦ καὶ ἄλλου τοῦ ἐν αὐτῷ κατοικοῦντος θεοῦ λόγου. αὗται μὲν οὖν αἱ πρῶται φυαὶ τοῦ μίαν φύσιν καὶ τὰς δύο κακῶς καὶ δυσφήμως ἐπὶ Χριστοῦ λέγεσθαι, τὸ μὲν 20 ἐπ' ἀναιρέσει τῆς θεότητος, τὸ δὲ τῆς ἀνθρωπότητος.

Ἐν δὲ τοῖς ἑξῆς χρόνοις Ἀπολινάριός τις ἀνεφύη πρόεδρος Λαοδικείας τῆς Συρίας ματαιοφροσύνης ἑτέρας ἡγησάμενος. τῶν γὰρ Ἀρειανῶν ἄψυχον πάντῃ λεγόντων τὴν τοῦ κυρίου σάρκα, αὐτὸς ἔφη ὅτι σάρκα μὲν ἐψυχωμένην 25 ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ κύριος, νοῦν δὲ τὸν ἡμέτερον οὐ

---

2 ἀνθρωπείου ERV ἀνθρω^π^ B ἀνθρωπίου rell. — 5 δὲ om. AM. — τοῦτον BV. — 9 τὴν om. B Exc. et recc. quidam. — 11 μὲν] δὲ MB om. Exc. et unus ex recc. — σαμωσατεύς MP Exc. σαμουσατεύς A σαμοσατεύς rell. — 12 εἶναι om. BM. — 16 ὄντως CFM. — 18 πρῶται φύαι P πρωτοφυαὶ BF προταιφυαὶ M πέντε φωναὶ R. — 21 ἀπολιηνάριος LM ἀπολλινάριος E ἀπολληνάριος F. — 22 λαοδικίας (λαοδ. A) ACFLNPR compendiose script. in B. — 24 ἐψυχωμένην BDLPV Exc. ἐμψυχωμένην rell. Theod.

2 ἀνθρωπίνου P Theod. — 6 μόνη P. — 20 τῆς ἀνθρωπότητος τὸ δὲ τῆς θεότητος P Theod.

προσήκατο. μηδὲ γὰρ δεηθῆναι τὴν σάρκα φησὶν ἐκείνην ἀνθρωπίνου νοὸς ἡγεμονευομένην ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος θεοῦ λόγου, ἀλλὰ μηδὲ χωρεῖν αὐτὴν ἄλλην νοερὰν δύναμιν παρὰ τὴν θείαν. ταῦτα ὑποθέμενος διατείνεται μίαν εἶναι φύσιν τοῦ λόγου καὶ τῆς σαρκός, ὡς ἅτε τῆς 5 *σαρκὸς ἀτελοῦς οὔσης εἰς τὸ εἶναι ἄνθρωπον καὶ διὰ τοῦτο μὴ ἄξιον φύσιν ὀνομάζεσθαι.*

Μεθ' ὃν ἀναφαίνεταί τις Θεόδωρος τῆς Μοψουεστίας 365 M. *πόλεως ἐν τῇ Κιλικίᾳ τὴν ἡγεμονίαν λαχών, καὶ ἐκ διαμέτρου τῷ Ἀπολιναρίῳ φερόμενος ὕβρεις οὐ τὰς τυχούσας* 10 *τολμηρᾷ ψυχῇ καὶ ἀφόβῳ καρδίᾳ καταχέει τοῦ δεσπότου Χριστοῦ, ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς καὶ κοινὸν ἀποκαλῶν καὶ ἐκ προκοπῆς λαβόντα τὴν χάριν τοῦ θεοῦ θεὸν ὀνομάζεσθαι καὶ ἐκ τοῦ ἐν τῷ Ἰορδάνῃ βαπτίσματος ἀξιωθῆναι τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς ἐν πρώτοις εἰς* 15 *ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθέντα. τὸν δὲ θεὸν λόγον διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν αὐτοῦ κατ' εὐδοκίαν ἐν αὐτῷ κατοικήσαντα μεταδοῦναι τῆς θεϊκῆς ἀξίας αὐτῷ καὶ προσκυνήσεως εἰς ὕστερον μετὰ τὴν τελείωσιν. ταῦτα καὶ ἕτερά τε πολλὰ τοιαῦτα δυσφημήσας δύο φύσεις* 20 *ἰδιοπεριορίστους ἐδογμάτισεν ἐπὶ Χριστοῦ σχέσει τινὶ καὶ μόνον καὶ ἀλλήλαις οἰκειωμένας. δευτέρα καὶ αὕτη βλάστησις τοῦ μίαν φύσιν καὶ δύο φύσεις ἐν Χριστῷ μὴ κατὰ τὸν ὀρθὸν λόγον ὁμολογεῖσθαι.*

Μετὰ δὲ τούτους γέγονέ τις ὀνόματι Νεστόριος ἀπὸ 25 *Γερμανικείας τῆς Συρίας τὸν θρόνον Κωνσταντινουπόλεως*

---

2 *ἀνθρωπίνου* BP Theod. *ἀνθρωπείου* ERV Exc. *ἀνθρωπίου* rell. — 5 *μίαν εἶναι φύσιν* ABP Exc. Theod. *μίαν φύσιν εἶναι* rell. — 8 *ἀναφαίνεται* ABFLP Exc. Theod. *ἀναφέρεται* rell. — *μοψουεστίας* (*- ἑστίας* P) LPV Exc. Theod. *μομψουεστίας* (*- ἑστίας* M *-ἑστιὰς* C) BCFNR *μόμψου* (*μομψοῦ* A) *ἑστίας* AEG. — 10 *ἀποληναρίῳ* C *ἀπολλιναρίῳ* E *et* recc. quidam *ἀπολληναρίῳ* F. — 12 *τῶν*] *τὸν* BCM *et* recc. quidam. — *κοινωνὸν* BR. — 20 *τε om* ABFLM. — *τοιαῦτα om.* N. — 21 *ἰδιοπορίστους* V *ἰδιοπεριόχους* R. — 22 *καὶ ante ἀλλήλαις om.* FP Theod. — *οἰκειουμένας* F *ᾠκειωμένας* Exc. — 26 *γερμανικίας* ACFLNPR.

δραξάμενος. ὁμοίως τῇ φωνῇ τῶν ἐν Χριστῷ δύο φύσεων κακοφρόνως ἀπεχρήσατο Παύλῳ καὶ Θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις ἑπόμενος. υἱὸς μὲν γὰρ ἦν τοῦ Κίλικος, ἀπόγονος δὲ τοῦ Σαμωσατέως. καὶ διὰ τοῦτο πρὸς τὴν ἁγίαν
5 παρθένον ἄσπονδον ἤρατο πόλεμον ἐξαρνούμενος τὸν ἑαυτοῦ κύριον καὶ ἀτιμάζων τὴν ἑαυτοῦ δέσποιναν ὁ δείλαιος δοῦλος καὶ ἀναίσχυντος. οὗτος οὖν ὁ δεινὸς Νεστόριος τρίτος προστάτης γεγονὼς τῆς Ἰουδαϊκῆς ταύτης αἱρέσεως ἄλλον εἶναι παρ᾽ ἑαυτῷ τὸν Χριστὸν καὶ ἄλλον τὸν θεὸν λόγον κατὰ
10 τὴν πατρικὴν αὐτοῦ πλάνην ἐδογμάτισεν.

366 M. Τῆς δὲ κατὰ Μάνην καὶ Ἀπολινάριον ἀντιθέτου μοίρας τρίτος πάλιν ὑπασπιστὴς Εὐτυχὴς ἡγούμενος μοναστηρίου Κωνσταντινουπόλεως ἀνεδείχθη, ὃς μὴ ἀνεχόμενος ὁμοούσιον ἡμῖν καὶ ὁμοφυῆ τὴν σάρκα τοῦ κυρίου διομολογεῖν ἀπηρ-
15 νεῖτο σώζεσθαι λέγειν ἐν τῷ Χριστῷ δύο φύσεις μετὰ τῆς τούτων ἑνώσεώς τε καὶ συμφυΐας. οὐ μὴν δὲ ἀλλὰ καὶ τερατώδη τινὰ καὶ ἀλλόκοτα παρέπλαττεν ἐξ οὐρανοῦ λέγων κατενηνέχθαι τὸ σῶμα τοῦ κυρίου καὶ ὡς διὰ σωλῆνος τῆς παρθένου παραδραμεῖν τὸν θεὸν λόγον οὐρανόθεν τοῦτο ἐν-
20 δεδυμένον, ἵνα δόξῃ γεγενῆσθαι ἐκ γυναικὸς καίπερ μὴ γεγεννημένος. Μανιχαῖος οὗτος ὁ λόγος καὶ πεφαντασμένος πολλῷ μᾶλλον ἐκείνου. μίαν φύσιν καὶ οὗτος διεστραμμένῃ καρδίᾳ τὸν Χριστὸν ἐπρέσβευεν.

Εἶτα Σευῆρός τις λεγόμενος ἁρπάσας τὸν θρόνον Ἀντιο-

---

4 σαμοσατέως BDEGV Theod. σαμουσατέως A. — 7 οὖν *om.* FM. — προστάτης ABP Exc. Theod. προτοστάτης L πρωτοστάτης CERV ἀποστάτης N. — 11 ἀποληνάριον L ἀπολλινάριον E ἀπολληνάριον F. — 13 ἐδείχθη A ἀναδειχθείς LV. — 14 τὴν κατὰ σάρκα (κατασάρκα M *et* recc. plerique) CENR. — ὁμολογεῖν B Exc. Theod. — ἀπηρνήτω C ἀπηρνήσατο N. — 17 ἑτερατώδη τινὰ B ἑτερατώδη τινα C *et* recc. quidam ἕτερα τερατώδη τινὰ L *et* recc. alii ἕτερα τινὰ τερατώδη V. — παρέπραττεν AM παρέπληττεν CR. — 18. 19 παραδραμεῖν τῆς παρθένου R τῆς παρθένου *om.* BV. — 20 γεγεννῆσθαι DFV Theod. γεννῆσθαι L. — γεγεννημένος ACDFLPR Theod. γεγενημένος BEGV Exc. γενομένης M. — 23 ἐπρέσβευσεν EF Exc. Theod. — 24 σευῆρος *m. 1 ex* σεύηρος P σεύηρος ALM σευῖρος V σεβῆρος recc. quidam.

χείας τὴν κατὰ Μάνην αὖθις Ἀπολινάριόν τε καὶ Εὐτυχέα διεκδικεῖν αἵρεσιν ἐπειρᾶτο κυκῶν ὅση δύναμις αὐτῷ τὴν τῆς ἐκκλησίας εἰρήνην. ἐξελαθεὶς δὲ τῆς Ἀντιοχέων ὡς στασιώδης καὶ ταραξίας τῇ Ἀλεξανδρέων κουφότητι λαίλαπος καὶ θυέλλης δίκην ἐνέσκηψεν, ἔνθα καὶ ἑτέρας καταιγίδος 5 ἀντιπνευσάσης αὐτῷ τε καὶ τῷ λαῷ συνέχεε πάντας καὶ ἐθορύβησεν. διεσκέδασε γὰρ αὐτοὺς Ἰουλιανός τις καλούμενος, Ἀλικαρνασοῦ μὲν τῆς Ἀσίας ἐπίσκοπος, τῆς δὲ Εὐτυχιανῆς κακοδοξίας προστάτης εὐθυμότατος. Σευήρου γὰρ μίαν φύσιν λέγοντος εἶναι τὸν Χριστὸν καὶ τὴν ἐν τῷ Χριστῷ 10 διαφορὰν δεχομένου, Ἰουλιανοῦ δὲ μίαν μὲν κατὰ Σευῆρον φάσκοντος φύσιν, ἀναιροῦντος δὲ τὴν διαφοράν, αἴτιοι πάσης ταραχῆς καὶ ζάλης γεγόνασιν οἱ ἀνόσιοι μὴ νοοῦντες κατὰ τὸ δὴ λεγόμενον μήτε ἃ λέγουσι μήτε περὶ τίνων διαβεβαιοῦνται. 15

Οἵτινες πρὸς ἡμᾶς διαμάχονται λαμβάνοντας εἰς παράδειγμα τῆς θείας ἑνώσεως τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον καί φασιν· οὐκοῦν τρεῖς ὁμολογεῖτε φύσεις. ἀλλ' ἴστωσαν οἱ ἀμαθεῖς καὶ ἀπαίδευτοι, ὅτι δύο φύσεις ἡμεῖς λέγομεν, οὐ θεοῦ καὶ σαρκός, οὔτε μὴν θεοῦ καὶ ψυχῆς, 20 ἀλλὰ θεοῦ καὶ ἀνθρώπου. οὐδὲ γάρ ἐστι κυρίως ἀνθρώπου φύσις ἡ τοῦ μέρους φύσις. μέρη μὲν γὰρ ἀνθρώπου ψυχὴ καὶ σῶμα, μέρη δὲ τῶν μερῶν αἱ περὶ αὐτῶν διαιρέ-

367 M.

13 1. Timoth. 1, 7.

1 ἀποληνάριον L ἀπολλινάριον EV ἀπολληνάριον F. — 2 κυκλῶν AR κυρῶν C κυνῶν L. — 3 ἐξελαθεὶς ACEGLV Exc. Theod. *et* D *lit. corr. ex* ἐξελασθεὶς. ἐξελασθεὶς BFMPR. — ὡς] ὁ CP. — 4 λαίλαπος θυέλλης δίκην (*om.* καὶ) N λαίλαπος δίκην καὶ (ἢ Exc.) θυέλλης B Exc. — 6 συνέχεται A συνέχεε *lit. ex* συνέχετε Exc. — 8 ἀλικαρνάσου P ἀλλικαρνασοῦ (-σοῦν G) CG ἀλικαρνασσοῦ E. — εὐτυχιανικῆς FR. — 10 τῷ *om.* AMR Exc. — 11 σευήρου MP σεύηρον A σευῖρον V σευήρου BCLR. — 16 λαμβάνοντες BFMV *et* E *corr. ex* -τας *incert. q. m.* — 17 τῆς θείας ἑνώσεως *om.* FL. — 23 περὶ αὐτὸν DL περὶ αὐτὰ F.

12 διαφθοράν P. — 16 οἵτινες καὶ πρὸς P.

σεις τε καὶ ὑποδιαιρέσεις. καὶ μέρη μὲν Χριστοῦ ἀσύγχυτα
θεότης καὶ ἀνθρωπότης, ψυχὴ δὲ καὶ σῶμα οὐ μέρη
Χριστοῦ, ἀλλὰ μέρη τοῦ μέρους. μέρη μὲν τῶν μερῶν τοῦ
ἀνθρώπου ἐπὶ μὲν ψυχῆς οὐσία λογικὴ καὶ ποιότης ἀσώμα-
5 τος, ὧν τὸ μὲν ἡγεμονικόν, τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμη-
τικόν, καὶ τούτων τὸ μὲν ἐννοηματικὸν καὶ διανοητικὸν
μνημονευτικόν τε καὶ βουλευτικόν, τὸ δὲ ὀρεκτικόν τε καὶ
ἑλκτικόν, τὸ δὲ ἀμυντικόν, καὶ πολλὰ ἕτερα τούτοις ὑπο-
διαιροῦνται. ἀφείσθω δὲ τὰ νῦν ζητεῖν πότερον ὡς μέρη
10 ταῦτά εἰσιν ἐν τῇ ψυχῇ ἢ ὡς δυνάμεις. ἡ δὲ τοῦ σώμα-
τος πάλιν διαίρεσις γίνεται εἰς ὁμοιομερῆ, καὶ τούτων ἔτι
εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας, καὶ ταῦτα εἰς ὀστέα καὶ
σάρκα καὶ νεῦρα, καὶ ταῦτα εἰς δ′ στοιχεῖα, καὶ ταῦτα εἰς
ὕλην καὶ εἶδος. πολλὰ δὲ καὶ ἕτερα φιλοσοφοῦσιν ἰατρῶν
15 παῖδες περὶ δυνάμεων φυσικῶν, ὧν τὴν μὲν ἑλκτικήν, τὴν
δὲ καθεκτικήν, τὴν δὲ ἀλλοιωτικήν, τὴν δὲ ἀποκριτικὴν
ὀνομάζουσιν, πολλὰ δὲ καὶ περὶ αἰσθήσεως καὶ φαντασίας
καὶ τοῦ συνέχοντος τὸ ζῶον ζωτικοῦ καὶ ὀργανικοῦ πνεύ-
ματος ἑτέρου παρὰ τὸ λογικόν, ὥς φασιν, ὑπάρχοντος.
20 ὥσπερ τοίνυν ἀπόχρη πρὸς τὸ παραστῆσαι ταῦτα πάντα διὰ
τοῦ σάρκα εἰπεῖν ἢ σῶμα ἀνθρώπου, καὶ ἀπόχρη πάλιν διὰ
τῆς λογικῆς ψυχῆς τὸ εἰς ἃ διαιρεῖται μέρη δηλῶσαι, οὕτως
ἀπόχρη ἄνθρωπον ἢ φύσιν ἀνθρώπου εἰρηκότα πάντα δη-
λῶσαί τε καὶ παραστῆσαι τὰ ἐξ ὧν συνέστηκεν, ἐν οἷς καὶ
25 γνωρίζεται. οἱ δὲ οὐχ ἵνα τὸν ἄνθρωπον τέλειον ἀποφή-
νωσιν, ἀλλ' ἵνα τὸν κύριον συκοφαντήσωσι καὶ τῆς ἡμετέ-
368 M. ρας αὐτὸν ἀλλοτριώσωσι φύσεως καὶ ἢ μὴ προσειληφότα

1 τε καὶ ὑποδιαιρέσεις *om.* FM. — 2 θεότητος καὶ ἀνθρωπότητος CELN. — 9 πρότερον CR. — 14 πολλὰ δὲ καὶ ἕτερα ABPV καὶ πολλὰ δὲ ἕτερα rell. — 15. 16 τὴν δὲ καθεκτικήν, τὴν δὲ ἀλλοιωτικήν *om.* N τὴν δὲ καθεκτικήν *om.* A *sed in mg. add. m. 2.* — 16 καθελκτικήν BP ἀνθελκτικήν L. — 17 δὲ καὶ περὶ ABP καὶ *om.* rell. — 20 παραστῆναι CF. — 27 ἀλλοτριώσουσι ACDEFLP.

3 μέρη μὲν οὖν τῶν P.

τὴν ἀρχὴν τὸ ἡμέτερον ἢ μὴ σῶον φυλάξαντα ὅπερ ἔσχε παρ' ἡμῶν, ταῦτα καὶ τὰ τοιαῦτα σοφιζόμενοι καὶ περὶ τὸ παράδειγμα κακουργοῦντες εἰς ἀφύκτους καὶ ἀδιεξοδεύτους καταπεπτώκασι λαβυρίνθους.

Ἀμέλει γέ τοι καὶ Θεοδώρητος ἔφη περὶ τούτων καὶ 5 *τῶν τοιούτων ἀνοσίων οὕτως· εἰσὶ μέντοι γέ τινες οἳ καὶ χριστιανῶν μὲν προσηγορίαν ἔχοντες, ἄντικρυς δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦσιν. οἳ μὲν γὰρ τὸ ἀγέννητον εἰς τρία τέμνουσι καὶ τὸ μὲν καλοῦσιν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δὲ δίκαιον, οἳ δὲ δύο ἀρχὰς ἀγεννήτους ζωγραφοῦσι* 10 *τῷ λόγῳ ἀλλήλαις ἐναντίας ἐκ διαμέτρου, ἄλλοι δὲ τοῖς μὲν ἀσεβέσι τούτοις πολεμεῖν ἐπαγγέλλονται δόγμασιν, ἑτέραν δὲ δυσσεβείας ἐπινοοῦσιν ὁδόν· τὸν γὰρ τοῦ θεοῦ μονογενῆ λόγον ὁμολογοῦντες υἱὸν ὡς ποίημα τῇ κτίσει συναριθμοῦσι καὶ τὸν κτίστην ἱστῶσι μετὰ τῆς κτίσεως καὶ τὸ ἅγιον* 15 *πνεῦμα τῷ δυσσεβεῖ λόγῳ τῆς θείας ἐξορίζουσι φύσεως. ἄλλοι δὲ ἄλλως τὴν εὐθεῖαν ὁδὸν ἀπολέσαντες καὶ τοῖς τῶν προοδευκότων ἴχνεσιν ἀκολουθῆσαι μὴ βουληθέντες πόρρω που τῆς ἀληθείας ἐγένοντο, καὶ οἳ μὲν τὴν ὑπὲρ ἡμῶν γεγενημένην οἰκονομίαν παντελῶς ἀπηρνήσαντο, οἳ δὲ ὁμολο-* 20 *γοῦσι μὲν ἐνανθρωπῆσαι τὸν θεὸν λόγον, σῶμα δὲ μόνον ἀνειληφέναι, οἳ δὲ ἔμψυχον μὲν καλοῦσι τὴν ληφθεῖσαν σάρκα, οὐ τὴν λογικὴν δὲ καὶ νοερὰν ἐν ταύτῃ γεγενῆσθαι ψυχὴν ἴσως τὴν οἰκείαν ἄνοιαν τοῦτο τεκμήριον ἔχοντες. ἡμεῖς δὲ ἀνθρώπου ψυχὴν οὐδεμίαν ἴσμεν ἑτέραν ἢ τὴν* 25

5—*p.* 476, 1 Theodoret. de provid. I Migne Tom. 83, 560 C.

5 *περὶ τούτων τῶν* (*τῶν om.* Exc. *spr. vers. m. 2 ut vid. in* D) *ἀνοσίων* BD Exc. — 6 *καὶ om.* BN. — 7 *ἔχουσι* V Theod. — 11 *ἐναντίαις* R Exc. — *ἄλλοι* (*ἀλλ' οἱ* V) *μὲν τοῖς ἀσεβέσι* RV. — 13 *μονογεννῆ* RV. — 17 *εὐθεῖαν* APV Exc. Theod. *et compendio scriptum* B *θείαν* rell. — 18 *προωδευκότων* E Exc. — 23 *δὲ*] *τε* AF. — 24 *τούτου* BF Theod.

7 *χριστιανὸν* P.

λογικὴν καὶ ἀθάνατον. καὶ ἄλλοι μὲν πάλιν εἰς δύο τὸν ἕνα Χριστὸν διατέμνουσι καὶ ἕτερον μὲν εἶναι διατεινόμενοι τὸν ἐκ παρθένου τεχθέντα τελείως ἄνθρωπον, ἕτερον δὲ τὸν ἐκ θεοῦ πατρὸς λόγον, καὶ τὸν μὲν ὡς ἄνθρωπον ἰδίᾳ τι-
5 θέντες καὶ ἀνὰ μέρος, τὸν δὲ ὡς θεὸν φύσει τε καὶ ἀλη-
369 M. θῶς υἱὸν ὀνομάζουσιν. ἄλλοι δὲ παρατετράφθαι φασὶ τὸν ἐκ θεοῦ πατρὸς λόγον εἰς ὀστέων καὶ νεύρων καὶ σαρκὸς φύσιν.

[με'. Περὶ Τακίτου.]

10 Μετὰ δὲ Αὐριλλιανὸν ἐβασίλευσε Τάκιτος μῆνας ς' καὶ ἐσφάγη ὑπὸ Φλωριανοῦ.

[μς'. Περὶ Φλωριανοῦ.]

Μετὰ δὲ Τάκιτον ἐβασίλευσε Φλωριανὸς μῆνας β' καὶ ἐσφάγη ὑπὸ τοῦ Πρόβου.

15 [μζ'. Περὶ Πρόβου.]

370 M. Μετὰ δὲ Φλωριανὸν ἐβασίλευσε Πρόβος ἔτη ς' καὶ ἐσφάγη ὑπὸ τοῦ Κάρου.

[μη'. Περὶ Κάρου.]

Μετὰ δὲ Πρόβον ἐβασίλευσε Κάρος ἔτος ἓν καὶ ἐσφάγη
20 ὑπὸ τοῦ Καρίνου.

---

1 μὲν ABP Exc. *om.* R. δὲ rell. — 2 μὲν *om.* RV. — 5 καὶ ἀνὰ μέρος ABP Exc. καὶ *om.* rell. — 10 αὐριλλιανὸν CDEFPV *et* recc. quidam αὐρηλλιανὸν recc. alii αὐριλληανὸν L αὐρηλιανὸν B αὐριλιανὸν A οὐαλεριανὸν M. — τάκητος BLMRV τάκιστος P. — 11 φλωριανοῦ BRV φλουριανοῦ A *similiterque vv.* 13 *et* 16. — 13 τάκητον BLMRV. — 14 ὑπὸ τοῦ πρόβου ABP τοῦ *om.* rell. — 17 ὑπὸ τοῦ κάρου ABELP *et* recc. quidam τοῦ *om.* rell. — 20 ὑπὸ τοῦ καρίνου ABP τοῦ *om.* rell.

8 *Post* φύσιν P *add.*: οὕτως ἡ φιλοδοξία καὶ φιλαρχία τοὺς τοιούτους εἴωθεν εἰς αἱρέσεις καὶ πολέμους διεγείρειν, περὶ ὧν φησιν ὁ μέγας ἰσίδωρος περὶ φιλαρχίας λέγων.

[*μθ'. Περὶ Καρίνου.*]

Μετὰ δὲ Κάρον ἐβασίλευσε Καρῖνος υἱὸς αὐτοῦ ἔτη β' 371 M.
καὶ ἐσφάγη ὑπὸ Νουμεριανοῦ.

[*ν'. Περὶ Νουμεριανοῦ.*]

Μετὰ δὲ Καρῖνον ἐβασίλευσε Νουμεριανὸς ἀδελφὸς αὐτοῦ 5
ἔτος ἓν καὶ πολεμήσας Πέρσας καὶ συλληφθείς, ἐξέδειραν
αὐτὸν ζῶντα.

[*να'. Περὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ.*]

Μετὰ δὲ Νουμεριανὸν ἐβασίλευσαν ἐπὶ τὸ αὐτὸ Διοκλη-
τιανὸς καὶ Μαξιμιανὸς γαμβρὸς αὐτοῦ ἔτη κβ'. ὑφ' ὧν 10
μέγας διωγμὸς κατὰ χριστιανῶν καὶ φρικωδέστατος κινηθείς,
προσέταξαν κατὰ πόλιν καὶ χώραν τὰς μὲν Χριστοῦ ἐκκλη-
σίας καταστρέφεσθαι καὶ τὰς θείας αὐτῶν γραφὰς κατα-
καίεσθαι, τοὺς δὲ χριστιανοὺς εὑρισκομένους ἀναγκάζεσθαι
θύειν τοῖς δαίμοσιν. διὸ καὶ πολλοὶ τὸν τῆς ἀθλήσεως 15 372 M.
ἀνεδήσαντο στέφανον, ἐξ ὧν εἰσι Πέτρος Ἀλεξανδρείας καὶ
Ἄνθιμος Νικομηδείας καὶ Προκόπιος καὶ Γεώργιος οἱ ἀοί-
διμοι μάρτυρες. καὶ Σαββάτιος ὁ τὴν αἵρεσιν τῶν Τεσσα-
ρισκαιδεκατιτῶν κρατύνας ἐγνωρίζετο.

10—18 *cf.* Theophan. *p.* 7, 15; 10, 5.

2 *καρῖνος* ER *καρῆνος* B *κρίνος* L *καρίνος* rell. — 5 *κα-ρῖνον* ELR *καρῆνον* B *καρίνον* rell. — 9 *ἐβασίλευσεν* CELR. — 11 *κινηθείς. προσέταξαν* (-*εν* M) *γὰρ* N *ἐκινήθη. προσέταξαν γὰρ* V. — 14 *εὑρισκομένους χριστιανοὺς* V *εὑρισκομένους om.* R(P). — 16 *ἐστὶ* D *ἦσαν* F. — 17 *νικομηδίας καὶ ὁ μεγαλομάρτυς γεώρ-γιος καὶ προκόπιος καὶ θεόδωρος οἱ ἀοιδ. μάρτ.* C. — *γεώργιος* ABPRV *θεόδωρος* EFLN. — 18 *καὶ σαββάτιος* — 19 *ἐγνωρίζετο in fine imperii Diocletiani p.* 481, 19 *collocant* N. — 18 *τεσ-σαρισκαιδεκατητῶν* ABCDEP *τεσσαρεσκαιδεκατιτῶν* (-*ητῶν* FM) FMV *τεσσαρεισκαιδεκατιτῶν* (-*ητῶν* L) LR.

11 *κατὰ τῶν χριστιανῶν* P. — 14 *εὑρισκομένους ἀναγκά-ζεσθαι om.* P. — 16 *εἰσι om.* P. — 17 *γεώργιος ἐμαρτύρησαν οἱ πολύαθλοι τοῦ χριστοῦ μάρτυρες* P.

Καὶ γυνή τις γένει καὶ πλούτῳ καὶ συνέσει καὶ κάλλει σώματος σὺν δυσὶ θυγατράσι παρθένοις μετὰ πολλὰς ἀποφυγὰς κατασχεθεῖσαι φόβῳ τοῦ μὴ διαφθαρῆναι τὴν παρ- 373 M. *θενίαν αὐτῶν εἰς τὸ ῥεῖθρον τοῦ ποταμοῦ ἑαυτὰς ἔρριψαν.* 5 *περὶ ὧν ζητητέον εἰ ἀριθμοῦνται εἰς μάρτυρας.*

Καὶ ἑτέρα δὲ πάλιν ἱερά τις καὶ θαυμασία γυνὴ τὸν βίον ἀειπάρθενος καὶ ὡραία πάνυ συσχεθεῖσα, καὶ πολλαῖς μηχαναῖς θῦσαι τῶν τυράννων αὐτὴν ἀναγκαζόντων, μὴ ἡττηθεῖσαν προσέταξαν ἐκδοθῆναι στρατιώτῃ πρὸς αἰσχρὰν 10 *μίξιν, καὶ μηδ' οὕτως πειθομένην ὑποβάλλεσθαι κεφαλικῇ τιμωρίᾳ. καὶ περιστατηθεῖσα λίαν ἐδεῖτο τοῦ Ἀνθίμου Νικομηδείας μήπω τελειωθέντος διὰ μαρτυρίου συμβουλεῦσαι αὐτῇ τί ἂν αἱρήσοιτο. ὁ δὲ χρηστὸς ὄντως ἀνὴρ καὶ οἰκονόμος καὶ πιστὸς ἐν κρίσει τὰ λόγια κυρίου ταμιευόμενός* 15 *φησιν· καλὸν μέν, ὦ τέκνον, καὶ θεοπρεπὲς τὸ κατόρθωμα τῆς ἁγνείας, μείζων δὲ ἡ τῆς πίστεως ἐντολὴ κρηπὶς οὖσα τῶν καλῶν τῆς εὐσεβείας. μὴ οὖν προκρίνῃς τῶν κρειττόνων τὰ δεύτερα. ὥσπερ γὰρ ἐν περιστάσει τινὰ γενόμενον αἱρετώτερόν ἐστιν ὑπὲρ τοῦ σώματος διαρπαγῆναι τὸ ἱμάτιον,* 20 *οὕτως ἐστὶ μᾶλλον ἐν τοῖς πειρασμοῖς ἄσπιλον τηρήσαντα τὴν ψυχὴν προδοῦναι τὴν σάρκα τοῖς παντοίως ἐνυβρίζειν ἐθέλουσιν, ἢ ἀπολέσαι τῆς ψυχῆς τὴν εὐγένειαν. ἡ δὲ τούτων ἀκούσασα ἀπῄει ταλαντευομένη τὸν νοῦν ὡς δύο καλῶν ἀντιποιουμένη. ἀλλ' ἡ θεία χάρις ἡ ἐν τοῖς ἀμηχάνοις προ-* 25 *φάσεις ἐπικουρίας παρέχουσα τότε καὶ τῇ κόρῃ δι' ἐπινοίας σοφωτάτης ἄσυλον τὴν σωφροσύνην ἐφύλαξεν. ὡς γὰρ ἐφ' ἑνὸς οἴκου συνεκλείσθη κατασοφίζεται τὸν στρατιώτην λέγουσα· μηδὲν ἄτοπον εἰς ἐμὲ πράξῃς, ἄνθρωπε, καὶ παρέξω σοι μισθὸν τῆς εὐεργεσίας ταύτης ἐπάξιον. δώσω γάρ σοι*

1—5 Epitome eccles. ex Euseb. VIII, 12 *cf.* Cramer An. Par. II, 90, 20 Leo Gramm. *p.* 82, 23.

16 *μεῖζον* BCP *μήζω* L. — *οὖσα* ABP *ὑπάρχουσα* rell. — 28 *πράξεις εἰς ἐμέ* DF.

φάρμακον οὖσα φαρμακὶς ἀθανασίας πρόξενον, ὅπερ ὅλον 374 M.
τὸ σῶμα χριόμενον ἐν τοῖς πολεμίοις ὑπάρξεις ἄτρωτος. εἰ
δὲ θέλεις ἄρτι πεῖραν λαβεῖν, ἐπίτρεψόν μοι τοῦτο κατα-
σκευάσαι. τοῦ δὲ μετὰ πολλῆς χαρᾶς ἐπιτρέψαντος, λαβοῦσα
κηρὸν ἡ μακαρία καὶ ἐλαίῳ συμμίξασα καὶ ἐπὶ πολὺ ταῖς 5
χερσὶ μαλάξασα καὶ τὸν ἑαυτῆς αὐχένα περιχρίσασα λέγει
πρὸς αὐτόν· πάταξον ὡς δύνῃ, καὶ ὄψει τὴν ἐνέργειαν τῆς
ἀλειφῆς, ὅτι οὔτε πλήξεις οὔτε θανατώσεις με. ὁ δὲ εἰς
ὕψος ἐπάρας τὸ ξίφος καὶ κατ' αὐτῆς ἐπενεγκὼν ἀπέτεμεν
εὐθέως τὴν τιμίαν αὐτῆς κάραν. καὶ οὕτω νικήσασα τῶν 10
δυσμενῶν τὴν κακουργίαν διπλοῦν τὸν στέφανον τοῦ τε
μαρτυρίου καὶ τῆς ἁγνείας ἀνεδήσατο.

Ὡσαύτως δὲ καὶ ἄλλη τις εὐπρεπεστάτη κόρη παρθενίαν
ἀσκοῦσα διεβλήθη ὡς βλασφημοῦσα τοὺς βασιλεῖς καὶ τὰ
εἴδωλα. ἣν συλλαβόμενοι καὶ πολλὰ μαστιγώσαντες μὴ ὑπεί- 15
κουσαν τῇ τούτων δυσσεβείᾳ παρέδωκαν εἰς πορνεῖον ἐντει-
λάμενοι τῷ ταύτας νέμοντι δέξασθαι αὐτὴν καὶ κομίζειν
ὑπὲρ αὐτῆς καθ' ἡμέραν νομίσματα γʹ. ὁ δὲ ὡς μέλλων
εἰσπράττεσθαι τὸ χρυσίον ἔκδοτον αὐτὴν ἔστησε τοῖς βουλο-
μένοις. ὅπερ γνόντες οἱ γυναικομανεῖς παρήδρευον τῷ ἐρ- 20
γαστηρίῳ τῆς ἀνομίας πρὸς αὐτὴν εἰσπηδῶντες καὶ τὸ ἀρ-
γύριον προδιδόντες. οὓς παρακαλοῦσα ἔλεγεν· ἕλκος ἔχω
δυσῶδες εἰς τὸν κεκρυμμένον τόπον καὶ δέδοικα μὴ καὶ
ὑμᾶς τῆς αἰτίας μεταδώσω. ἀλλ' ἀναμείνατε ὀλίγας ἡμέρας,
ἕως ἂν ὑγιάνω, καὶ ἐξουσίαν μου ἔχετε πάντοτε. οὕτως 25

13—*p.* 480, 14 *cf.* Palladii Hist. Laus. *cp.* 148—149 Migne Tom. 34, 1251 A (*cf.* Hippolytus ed. Bonwetsch et Achelis I, 2 *p.* 275).

2 *χριόμενος* BFL. — *πολέμοις* FLR. — 3 *σκευάσαι* ABV. — 8 *ἀλοιφῆς* BER *ἀληφῆς* C *ἀλιφῆς* G *ἀλυφῆς* L. — 10 *εὐθὺς* LM. — 22 *προδίδοντες* AD. — 24 *ὑμῖν* BDFR.

15 *ἣν καὶ συλλαβόμενοι* P. — 23 *ὀδυνηρὸν καὶ δυσῶδες* P. — 24 *ἀναμείνατέ μοι ὀλίγας ἡμ.* P (*ἔνδοτέ μοι* Pall.).

οὖν τούτους ἀποβουκολήσασα δεήσει τὸν θεὸν ἱκέτευεν ἀπαλλαγῆναι τοῦ τοιούτου μύσους καὶ ἄσπιλον τὴν παρθενίαν
375 M. αὐτῆς διαφυλάξαι. καὶ δὴ ὑπακούσας ὁ θεὸς τῆς δεήσεως αὐτῆς, ἔρχεται νεανίσκος τις περιφανὴς καὶ λίαν εὐσεβὴς
5 πρὸς τὸν πορνοβοσκὸν ἑσπέρας βαθείας καὶ δίδωσιν αὐτῷ νομίσματα ε' λέγων· ἔασόν μοι τὴν κόρην ταύτην ἕως πρωΐ. καὶ εἰσελθὼν εἰς τὸν ἀπόκρυφον τόπον λέγει πρὸς αὐτήν· ἀνάστα καὶ πορεύου μετ' εἰρήνης. καὶ ἐνδύσας αὐτὴν τὰ ἱμάτια αὐτοῦ καὶ περικαλύψας τὴν κεφαλὴν αὐτῆς, ἐξῆλθεν
10 ἄφθορος καὶ ἀνέπαφος ἡ γυνὴ καὶ διεσώθη. ἡμέρας δὲ γενομένης καὶ τοῦ δράματος γνωσθέντος, ἐκρίθη ὁ νεανίας ἀναιρεθῆναι. καὶ τούτου γενομένου ἐπλήρωσε τὸ κυριακὸν λόγιον τὸ λέγον· μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

15 Ὁμοίως δὲ καὶ ἄλλος τις μονάζων κατασχεθεὶς ὑπὸ τῶν ἀνοσίων ἐκείνων καὶ ἀσεβῶν μετὰ πολλῶν ποινῶν καὶ μαστίγων, τελευταῖον ἐπενόησαν πονηρὰν ἐπίνοιαν εἰς φθορὰν τῆς σωφροσύνης τοῦ δικαίου τοιάνδε· κλίνην γὰρ ἔν τινι κήπῳ στρώσαντες καὶ τὸν ἅγιον ἐν αὐτῇ δεσμήσαντες
20 ἐπαφῆκαν αὐτῷ γύναιον ἄσεμνον, ὡς ἂν καὶ ἐκ τῆς τοῦ

---

13 Joh. 15, 13. — 15 *Τοῦτο ἐκ τοῦ βίου τοῦ ἁγίου παύλου τοῦ θηβαίου* mg. cod. Mosq.

6 *τὴν κόρην ταύτην* ABF *ταύτην τὴν κόρην* CDELV *et* recc. quidam *ταύτην om.* recc. alii *τὴν κόρην om.* P. — 13 *τὸ φάσκον* AD. — 16 *καὶ* (*om.* B) *μετὰ πολλὰς* (*τὰς add.* B) *ποινὰς καὶ μάστιγας* BL. — 20 *ἂν καὶ ἐκ* ABP *ἂν ἔκ τε* L *ἂν ἐκ* rell.

6 *ε' eras. in* P. — 9. 10 *ἐξῆλθεν ἄφθορος ἡ κόρη καὶ ἀπέδρα* P. — 11 *γνωσθέντος ἀνῃρέθη ἀντ' αὐτῆς ὁ νεανίσκος πληρώσας* P. — 13 *τὸ λέγον om.* P. — 14 *τοῦ φίλου* P. — *Post αὐτοῦ* P *add.*: *καὶ γὰρ ὁ χριστὸς τοῦτο πεποίηκε λέγων· διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων* (Joh. 10, 17). *ὅθεν φησὶν ἰωάννης* (1. Joh. 3, 16) *ὥσπερ αὐτὸς τὴν ψυχὴν αὐτοῦ ἔθηκεν ὑπὲρ ἡμῶν οὕτως ὀφείλομεν καὶ ἡμεῖς ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τὰς ψυχὰς τιθέναι.* — 16 *ἀσεβῶν om.* P. — 19 *στρώσαντες καὶ τοῦτον ἐν αὐτῇ καταθέντες ἐπαφ.* P.

τόπου ἡδύτητος καὶ μονότητος καὶ ἐκ τοῦ μὴ δύνασθαι τὴν ἐπιχείρησιν τοῦ ἀκολάστου γυναίου διαφυγεῖν πανταχόθεν καὶ ἄκων εἰς τὴν παράνομον καθελκυσθείη πρᾶξιν. ἀλλ' ὅ γε θεῖος ἀνὴρ τοῦ γυναίου διὰ φιλημάτων ἤδη καὶ ῥημάτων αἰσχρῶν καὶ ἐπιτηδευμάτων περιπλεκομένου καὶ τὰς 5 *ἡδονὰς ἀνάπτοντος, τὴν ἑαυτοῦ γλῶσσαν ἀποτεμὼν δήγματι προσέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, καὶ ἑαυτῷ μὲν πόνους* 376 M. *καὶ ἀλγηδόνας ἀντὶ ἡδονῶν ἐπεισήγαγεν, ἐκείνην δὲ σφόδρα κατέπληξε καὶ ἀηδίας ἐνέπλησε τῷ ῥεύματι τοῦ αἵματος. οἱ δὲ Ἕλληνες ταῦτα μεμαθηκότες ἐθαύμασαν τῶν μοναζόντων* 10 *τὴν τῆς σωφροσύνης ἀκρίβειαν.*

Ἡττηθέντες οὖν οἱ δυσσεβεῖς τύραννοι Διοκλητιανὸς καὶ Μαξιμιανὸς τῷ πλήθει τῶν ἀναιρουμένων ἐξέθεντο δόγμα, ὥστε τοὺς εὑρισκομένους χριστιανοὺς ἐξορύττεσθαι τὸν δεξιὸν ὀφθαλμόν, οὐ μόνον διὰ τὸ ὀδυνηρόν, ἀλλὰ καὶ διὰ τὸ 15 *ἄτιμόν τε καὶ πρόδηλον καὶ τῆς τῶν Ῥωμαίων πολιτείας ἀλλότριον. οὓς ἡ θεία δίκη ἐνδίκως μετελθοῦσα δικαίως ἐξέκοψεν. καὶ ὁ μὲν ἐσφάγη ὑπὸ τῆς συγκλήτου, ὁ δὲ ἀπήγξατο.*

[*νβ'. Περὶ Κωνσταντίου.*] 20

Μετὰ δὲ Διοκλητιανὸν καὶ Μαξιμιανὸν ἐβασίλευσαν κατὰ 378 M

12—17? Epit. eccles. *cf.* Exc. Bar. (ex Euseb. VIII, 12). — 17—19? Epit. eccles. *cf.* Cram. An. II, 90, 27 *et* 91, 17 Theoph. *p.* 11, 13 (ex Euseb. VIII, 13). — 21—*p.* 482, 5 *cf.* Theoph. *p.* 11, 33.

1 καὶ *ante* ἐκ τοῦ *om.* CDEFR. — 2 ἀποφυγεῖν AB. — 6 γλῶσσαν ABEP γλῶτταν rell. — 10 ἐθαύμαζον CF. — 19 *Hic add.* N (*cf. p.* 477, 18): ἐφ' ὧν καὶ σαββάτιος ὁ τὴν αἵρεσιν τῶν τεσσαρισκαιδεκατητῶν (τέσσαρες καὶ δεκ. M) κρατύνας ἐγνωρίζετο. — 21 ἐβασίλευσεν ABCR.

4 διὰ τοῦ γυναίου φιλημάτων (τοῦ *m. 1 spr. vers.*) P. — 10 τῶν μοναζόντων καὶ μοναζουσῶν τὴν περὶ τῆς σωφροσύνης ἀκρίβειαν (τὴν *m. 1 spr. vers.*) P. — 12 δυσσεβεῖς *om.* P. — 14 ὥστε *om.* P. — 17. 18 δικαίως ἐξέκοψε καὶ *om.* P. — 19 P *add.*: κατ' ἀλλήλων τοίνυν οἱ τάλανες ἐπανιστάμενοι διὰ φιλαρχίαν καὶ φιλαυτίαν τε καὶ δοξομανίαν ὑπ' ἀλλήλων ἐνδίκως εὖ μάλα καὶ καταβληθέντες ἀνῃρέθησαν. *Tum alia sequuntur seorsim edenda.*

τοὺς αὐτοὺς χρόνους Ῥωμαίων Κωνστάντιος καὶ Σευῆρος καὶ Μαξιμῖνος καὶ Μαξέντιος. καὶ ὁ μὲν Κωνστάντιος καὶ Κωνσταντῖνος υἱὸς αὐτοῦ τὴν Γαλλίαν καὶ τὴν Βρεττανίαν ἐκράτησαν, ὁ δὲ Σευῆρος καὶ Μαξέντιος τὴν Ῥώμην, ὁ δὲ
5 Μαξιμῖνος τὴν ἑῴαν. ὃς πολλὰ μιαρά τε καὶ ἄτοπα καθ' ὑπερβολὴν διαπραξάμενος καὶ πρὸς τούτοις διωγμὸν ἀπηνῆ
379 M. καὶ ἀπανθρωπότατον κατὰ πᾶσαν τὴν ἀνατολὴν εἰς τοὺς χριστιανοὺς ἐνδειξάμενος, καθ' ὃν πλεῖστοι τῶν εὐδοκίμων ἐμαρτύρησαν, ἄξια τῆς δυσσεβείας αὐτοῦ καὶ προοίμια τῆς
10 μελλούσης αὐτὸν διαδέχεσθαι κολάσεως εἰκότως πέπονθεν. νόσῳ γὰρ δεινοτάτῃ περιπεσών, ἀλγηδόνες ἰσχυραὶ τὴν σάρκα πᾶσαν διελυμαίνοντο. καὶ τὰ μὲν ἔγκατα διεφθείροντο ὑπὸ τῆς ἐνδομυχούσης σφοδροτάτης φλογώσεως, ἡ δὲ σὰρξ πᾶσα κηροῦ δίκην ἐξετήκετο, καὶ σὺν τούτοις ἐκτυφλοῦται καὶ
15 πηρὸς ὁ δείλαιος ἀποκαθίσταται. λαβροτέρως δὲ φλογιζόμενος καὶ τηγανιζόμενος, καὶ αὐτὰ συνεφρύγησαν τὰ ὀστᾶ, ὥστε ἐξαφανισθῆναι τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης μορφῆς. κἀντεῦθεν ἐλεεινῶς διαφθειρόμενος καὶ δεινῶς κατασηπόμενος τοσαύτην δυσωδίαν ἐξέπεμπεν, ὡς οὐδὲν τῶν ἐν
20 τάφοις διαλυθέντων νεκρῶν διαφέρειν. ὁ δὲ ἐν τούτοις ἐμπνέων βραχὺ στενάξας θάνατον ἐπεκαλεῖτο καὶ πρὸς τῷ τέλει ἐγγίζοντα ἑαυτὸν ὁ ἀλιτήριος γνοὺς τοιάδε ἔφη· οἴμοι

5—*p.* 483, 3 *cf.* Eus. H. eccl. VIII, 16; IX, 10.

1 *σεύηρος* ACELM *σευῖρος* V. — 3 *ὁ υἱὸς* DV. — *τὴν ante Βρεττ. om.* RV. — *βρετανίαν* L *βρητανίαν* P. — 4 *σεύηρος* CLM *σευηρος sine acc.* A *σευῖρος* V. — 5 *μαξιμιανὸς* B. — 12 *ἀπὸ* N. — 14. 15 *ἐκπηροῦται καὶ τυφλὸς* (*τυφλοῦται* M) *ὁ δείλαιος ἀποκαθίσταται* N. — 16 *καὶ τηγανιζόμενος om.* BL. — 21 *πρὸς τὸ* **τέλος** **FNV.**

6 *διωγμόν, ὥς φησιν εὐσέβειος, ἀπηνῆ* P. — 17 *ὥστε ἐξαφανισθῆναι τὸ παλαιὸν τῆς ἀνθρωπίνης μόρφωμα. κἀντεῦθεν* P (*τὸ πᾶν εἶδος τῆς παλαιᾶς μορφῆς* Eus.). — 19 *τῶν ἐν τάφοις καταφθειρομένων διαφέρειν* P. — 21—*p.* 483, 2 *καὶ πρὸς τῷ τέλει κατοδυρόμενος ἔφη λοιπόν· ἀξίαν τῶν εἰς χριστιανούς μοι τετολμημένων ὑπέχω τὴν τιμωρίαν* P.

τῷ ἐλεεινῷ καὶ θρήνων ἀξίῳ, ὁποίαν τῶν εἰς χριστιανούς μοι τετολμημένων ἀσεβειῶν ἀξίαν ὑπέχω τὴν τιμωρίαν. καὶ ταῦτα μετὰ πολλῆς ὀδύνης εἰπὼν ἀπέθανεν.

Ἐφ' οὗ διὰ τὴν ἄπειρον κακουργίαν λιμὸς αὐτοῦ τῇ 380 M. *χώρᾳ δεινὸς ἐπισκήπτει καὶ λοιμὸς καί τινος ἑτέρου νοσή-* 5 *ματος μοῖρα. ἕλκος δὲ ἦν φερωνύμως τοῦ πυρώδους ἄνθρακος λεγόμενον, καθ' ὅλον μὲν ἕρπον τὸ σῶμα, σφαλεροὺς δὲ τοῖς πεπονθόσιν ἐνεποίει κινδύνους. οὐ μὴν δὲ ἀλλὰ καὶ κατὰ τῶν ὀφθαλμῶν ἐξαιρέτως ἐπὶ πλεῖστον γινόμενον μυρίους ὅσους ἄνδρας ἅμα γυναιξὶ καὶ παισὶ πηροὺς ἀπειρ-* 10 *γάσατο. καὶ σὺν τούτοις προσεπανίσταται τῷ τυράννῳ ὁ πρὸς Ἀρμενίους πόλεμος. ἀθρόως ὑφ' ἕνα καὶ τὸν αὐτὸν συρρεύσαντα καιρὸν τῆς τοῦ δυσσεβοῦς θρασύτητος τὴν κατὰ τοῦ θεοῦ μεγαλαυχίαν διήλεγξεν, ὅτι δὴ τῆς περὶ τὰ εἴδωλα σπουδῆς αὐτοῦ καὶ τῆς καθ' ἡμῶν ἕνεκα πολιορκίας μὴ* 15 *λιμὸν μηδὲ λοιμὸν μήτε μὴν πόλεμον ἐπὶ τῶν αὐτοῦ συμβῆναι καιρῶν ἐναβρύνετο. ταῦτα δ' οὖν ἅμα καὶ κατὰ ταὐτὸ ἐπῆλθον καὶ τῆς κατ' αὐτοῦ καταστροφῆς περιειλήφει τὰ προοίμια. καὶ αὐτὸς μὲν οὖν περὶ τὸν πρὸς Ἀρμενίους*

4—*p.* 484, 15 Eus. H. eccl. IX, 8.

4 *κακουργίαν αὐτοῦ λιμὸς τῇ* F *αὐτοῦ κακουργ. λιμὸς τῇ* B *κακουργ. αὐτοῦ λιμὸς αὐτοῦ τῇ* P. — 5 *δεινῶς* LR. — 7 *καθ' ὅλον — τοῦ σώματος* DV *καθόλου — τὸ σῶμα* A. — 9 *γενόμενον* BFL. — 12 *ἃ ἀθρόως coni.* Muralt. *probabiliter* (*ἀθρόως δὴ ταῦτα πάντα* Euseb.). — 13 *καιρὸν συρρεύσαντα* B *συρρεύσαντα om.* L. — *κατὰ τοῦ θεοῦ* ABCP (*κατὰ τοῦ θείου* Eus.) *τοῦ om.* rell. — 17 *ἐνηβρύνετο* B *ἐναμβρύνετο* M *et* recc. plerique *ἐναμβρύνεται* F. — *ἅμα καὶ κατὰ ταὐτὸ* BP (*ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ* Eus.) *ἅμα καὶ κατ' αὐτὸ* AV *ἅμα κατὰ ταὐτὸν* DEFL *ἅμα κατ' αὐτὸν* CMR. — 18 *ἐπῆλθον lit. corr. ex ἐπῆλθεν* A *ἐπῆλθεν* MRV. — *κατ' αὐτὸν* F *αὐτοῦ* (*om. κατ'*) L. — *ἐπιστροφῆς* BM. — 19 *καὶ αὐτὸς μὲν οὖν τῷ πρ. ἀρμ. πολέμῳ — κατεπονεῖτο* FL *καὶ αὐτὸν μὲν οὖν ὁ — πόλεμος — κατέκοπτεν* R. — *οὖν περὶ τὸν* ABNP Eus. *περὶ om.* CEV(FLR).

6 *μοῖρα om.* P. — 6 *ἄνθραξ λεγόμενος* P (*ἄνθραξ προσαγορευόμενον* Eus.).

πόλεμον ἅμα τοῖς αὐτοῦ στρατοπέδοις κατεπονεῖτο, τοὺς δὲ λοιποὺς τῶν τὰς ὑπ' αὐτὸν πόλεις καὶ χώρας οἰκούντων δεινῶς ὁ λιμός τε ἅμα καὶ ὁ λοιμὸς κατέτρυχεν. καὶ μυρίοι μὲν ἐτύγχανον οἱ κατὰ πόλιν θνήσκοντες, πλείους δὲ
5 *οἱ κατὰ ἀγροὺς καὶ κώμας ἁπάντων σχεδὸν τροφῆς ἐνδείᾳ καὶ λοιμώδει νόσῳ διεφθαρμένων. καὶ γὰρ οἱ μὲν χόρτον διαμασώμενοι καὶ τὴν ἕξιν λυμαινόμενοι διώλλυντο, οἱ δὲ ἀπεσκληκότες ὥσπερ εἴδωλα νεκρὰ ὧδε κἀκεῖσε ψυχορραγοῦντες ἐνσειόμενοί τε καὶ περιολισθαίνοντες κατέπιπτον ἐν*
10 *ταῖς πλατείαις, ὅθεν νεκρὰ καὶ γυμνὰ σώματα ἐφ' ἡμέραις*
381 M. *πλείοσιν ἄταφα διερριμμένα θέαν οἰκτράν τε καὶ ἐλεεινὴν παρεῖχε τοῖς ὁρῶσιν. ἤδη γέ τοι καὶ κυνῶν τινες ἐγίνοντο βορά, οὐχ ἥκιστα δὲ καὶ ὁ λοιμὸς πάντας οἴκους ἐπενέμετο. τοιαῦτα τοίνυν τῆς Μαξιμίνου μεγαλαυχίας τὰ ἐπίχειρα καὶ*
15 *τοιοῦτον αὐτοῦ τὸ δύσμορον τέλος. ἐν στήλῃ γὰρ καθ' ἡμῶν ἀνέγραψεν ὡς χριστιανῶν πάντων ἀναιρεθέντων, ὡς ᾤετο, πάσης εὐθηνίας τε καὶ εὐκρασίας ἡ Ῥωμαίων πολιτεία πλησθήσεται. διὸ καὶ λιμὸς καὶ λοιμὸς καὶ αὐχμὸς καὶ πᾶν ὅ τι οὖν ἐστι κακὸν εἰπεῖν τοὺς ἀνθρώπους μετῆλ-*
20 *θεν, ὡς εἴρηται.*

Κωνσταντίου δὲ τοῦ ἐπικληθέντος Χλωροῦ διὰ τὴν ὠχρότητα τοῦ προσώπου τελευτήσαντος, ὁ υἱὸς αὐτοῦ Κωνσταντῖνος τὴν ἀρχὴν διεδέξατο. ὃν ἐκ πορνείας γεγεννῆσθαί τινες τοῦτον εἰπόντες ἐλέγχονται σαφῶς ὑπὸ διαφόρων ἐξηγη-

15—20 Epit. eccl. *cf.* Exc. Bar. (ex Eus. IX, 7; 8). — 22—*p.* 485, 1? Epit. eccl. *cf.* Theoph. *p.* 18, 9.

2 *ὑπ' αὐτῶν* ABCFN. — 3 *κατέτριχεν* M *κατέτρεχεν* BR. — 4 *ὑπῆρχον* N. — 7 *διαμασσώμενοι* CDFP *διαμασσώμενοι* ABEMR *διαμασσόμενοι* LV. — 13 *δὲ καὶ ὁ* AP *τε καὶ ὁ* B *δὲ ὁ* rell. — *λιμὸς* BM. — 18 *λοιμὸς καὶ λιμὸς* CM. — 23 *γεγενῆσθαι* (*-εῖσθαι* EM) CEN. — 23. 24 *γεγεννῆσθαί τινες τοῦτον* PR *γεγ. τοῦτόν τινες* ADEV *τοῦτον γεγ. τινες* CM *γεγ. τοῦτον* (*om. τινες*) B *γεγ. τινες* (*om. τοῦτον*) FL.

14 *τὰ πίχειρα* P (Eus.).

τῶν ὡς ψευδολόγοι καὶ ματαιόφρονες. ὡσαύτως οὖν καὶ Σευήρου τεθνηκότος Λικίνιος ὁ γαμβρὸς Κωνσταντίνου ἀντεισάγεται.

Τὸν δέ γε Κωνσταντῖνον μετὰ τὴν τοῦ πατρὸς τελευτὴν 382 M. συνέβη νοσῆσαι, ὥστε μήτε μάγων προγνώσεις καὶ μυθο- 5 λογίαι, μήτε ἰατρῶν ἐπιστῆμαι καὶ σκευασίαι βοηθημάτων δύνασθαι τὸ πάθος αὐτοῦ θεραπεῦσαι. πρὸς ὃν οἱ τῶν εἰδώλων μιερεῖς ἐλθόντες ὑπέθεντο κολυμβήθραν τινὰ πληςθεῖσαν αἵματος παιδίων ἀφθόρων, καὶ θερμῷ τῷ αἵματι καὶ ἀφρίζοντι βαπτισθέντα αὐτὸν ὑγιᾶναι. συναχθέντων 10 οὖν τῶν παιδίων ἐκ πάσης ἐπαρχίας διὰ βασιλικοῦ προστάγματος, καὶ τοῦ βασιλέως ἔξω παραπορευομένου, προσυπήντησαν αὐτῷ πᾶσαι τῶν πολλῶν ἐκείνων παιδίων μητέρες διαλελυμένων τῶν πλοκάμων καὶ τῶν μαζῶν γεγυμνωμένων μετὰ πολλῶν ὀδυρμῶν καὶ δακρύων. περὶ ὧν ὁ βασιλεὺς 15 διερωτήσας καὶ μαθὼν ὅτι αἱ μητέρες εἰσὶ τῶν μελλόντων ἀναιρεῖσθαι παιδίων δακρύσας εἶπεν· καλόν μοι μᾶλλόν ἐστιν ὑπὲρ τῆς σωτηρίας τῶν ἀναιτίων ἀποθανεῖν παιδίων ἢ ἐκ τῆς ἐκείνων σφαγῆς ὠμοτάτην καὶ ἀπάνθρωπον ζωὴν ἐπιλέξασθαι, καὶ μάλιστα τῆς ἐκ τούτων ὑγείας ἀμφιβαλλο- 20 μένης. καὶ ταῦτα πρὸς τὴν σύγκλητον εἰρηκὼς εἰσῆλθεν εἰς τὸ παλάτιον καὶ οὐ μόνον τοὺς παῖδας ταῖς ἰδίαις μητράσιν ἐκέλευσεν ἀποδοθῆναι, ἀλλὰ καὶ ὀχήματα καὶ ἀναλώματα προσέταξεν αὐταῖς ἐν τῷ ὑποστρέφειν παρασχεθῆναι. καὶ τούτου γενομένου ἐν αὐτῇ τῇ νυκτὶ ὅραμα ἐθεάσατο 25

1—3 Epit. eccl. *cf.* Exc. Bar. Theoph. *p.* 12, 12. — 4—*p.* 487, 20 *cf.* Vitam Silvestri *in* Combefis, Illustrium Christi martyrum triumphi *p.* 272.

2 λικίννιος CELM. — κωνσταντίου B *et* recc. quidam. — 8 ἱερεῖς BP. — 13 πᾶσαι αἱ — μητέρες F πᾶσαι — αἱ μητέρες BDL. — 20 ὑγίας CEFM.

5—7 ὥστε μήτε μάγον μήτε ἰατρόν τινα δύνασθαι τὸ πάθος αὐτ. θεραπ. P.

ὁ βασιλεύς, ἐν ᾗ ὤφθησαν αὐτῷ οἱ τοῦ Χριστοῦ ἀπόστολοι λέγοντες· ἡμεῖς ἐσμὲν Πέτρος καὶ Παῦλος ἀποσταλέντες ὑπὸ
383 M. θεοῦ παρασχεῖν σοι ὑγείαν καὶ σωτηρίαν διὰ τὴν πρὸς τοὺς παῖδας ἐλεημοσύνην τε καὶ συμπάθειαν. πέμψον οὖν καὶ
5 μετακάλεσαι τὸν ἅγιον Σίλβεστρον ἐκ τοῦ Σεραπίου ὄρους, καὶ ὑποδείξει σοι τὴν ὄντως θείαν τε καὶ σωτήριον πηγήν, ἐν ᾗ λουσάμενος οὐ μόνον σωματικὴν ἕξεις ὑγείαν, ἀλλὰ καὶ ψυχικὴν ὅτι μάλιστα. ἡμέρας δὲ γενομένης ἀποστείλας πρὸς τὸν θεῖον Σίλβεστρον μετὰ πολλῆς τιμῆς ἤγαγεν αὐτὸν
10 ἐν τῷ παλατίῳ, καὶ ἀναστὰς ὁ βασιλεὺς προσεκύνησεν αὐτὸν λέγων· καλῶς ἦλθες, Σίλβεστρε. καὶ ὁ ἐπίσκοπος εἶπεν· εἰρήνη σοι ἀπὸ θεοῦ καὶ σωτηρία παρασχεθείη. καί φησιν ὁ βασιλεύς· παρακαλῶ σε εἰπεῖν μοι, εἰ ἔχετε θεούς τινας Πέτρον καὶ Παῦλον καλουμένους. καὶ ὁ ἐπίσκοπος ἔφη·
15 ἡμεῖς ἕνα θεὸν ἔχομεν ποιητὴν οὐρανοῦ καὶ γῆς, οὗ Πέτρος καὶ Παῦλος δοῦλοι γνήσιοι τυγχάνουσιν. ὁ δὲ βασιλεύς φησιν· δύνασαι, ὦ ἐπίσκοπε, φανερῶσαί μοι τὰς ὄψεις αὐτῶν διά τινος ζωγραφίας, ὅπως ἐπιγνῷ σαφέστερον, εἰ αὐτοί εἰσιν οἱ ἀποσταλέντες ἀπὸ θεοῦ πρός με; καὶ παρα-
20 χρῆμα κελεύσας ὁ ἐπίσκοπος τῷ ἰδίῳ διακόνῳ ἐνεγκεῖν τὰ στηθάρια τῶν ὁμοιωμάτων αὐτῶν ἐν σανίσιν, ἠνέχθησαν, καὶ θεασάμενος ὁ βασιλεὺς ἀνέκραξε φωνῇ μεγάλῃ λέγων· οὗτοί εἰσιν ἀληθῶς οἱ κατ' ὄναρ ὀφθέντες μοι καὶ παρα-

---

1 αὐτῷ *om.* RV. — 2 οἱ ἀποσταλέντες AV *om.* B. — 2 ὑπὸ θεοῦ AP ὑπὸ τοῦ θεοῦ CEFLN παρὰ τοῦ θεοῦ RV ἀπὸ χριστοῦ B. — 3 ὑγίαν CFM. — 5 σίλβεστρον (*om.* τὸν ἅγιον) R σίλβεστρόν τινα λεγόμενον V. — σεραπείου A. — 6 τε *om.* RV. — 7 ὑγίαν CF *et* recc. quidam. — 10 αὐτῷ BFN. — 17 φησιν] ἔφη F καὶ V. — 20 ἐπενεγκεῖν CER ἐνέγκαι V. — 21 ἠνέχθησαν δέ. καὶ θεασ. A καὶ ἠνέχθησαν. θεασ. δὲ V ἠνέχθησαν. οὓς καὶ θεασ. L.

8—11 ἡμέρας δὲ γεν. καὶ τὸν θεῖον σίλβεστρον μετὰ πολλῆς τιμῆς ἀγαγόντος ἐν τῷ παλ. πρῶτος αὐτὸς ἀναστὰς προσηγόρευσε λέγων P (ἀναστὰς πρῶτος *etiam* Vita). — 14 καλουμένους *om.* P. — 21 ἠνέχθησαν *om.* P.

κελευσάμενοι μετακαλέσασθαί σε, ὦ Σίλβεστρε. καὶ νῦν δεῖξόν μοι τὴν πηγὴν ἣν ἔφησαν, δι' ἧς ψυχῇ καὶ σώματι σωθήσομαι. καὶ ὁ ἐπίσκοπος αὐτίκα προστάξας κολυμβήθραν ὕδατος γενέσθαι ἐβάπτισε τὸν βασιλέα, καὶ παραυτίκα ἐξῆλθεν ἐκ τῆς κολυμβήθρας ὑγιὴς καταλιπὼν τὰ τοῦ σώ- 5 ματος τραύματα ἐν τῷ ὕδατι καθάπερ λεπίδας ἰχθύων. ὃν ἡ σύγκλητος ἰδοῦσα καὶ πᾶς ὁ δῆμος ἀπολαβόντα τὴν ὑγείαν ἐξεβόησαν λέγοντες· εἷς θεὸς ὁ τῶν χριστιανῶν μέγας καὶ φοβερός, καὶ πάντες ἀπὸ τοῦ νῦν πιστεύομεν εἰς αὐτὸν καὶ βαπτιζόμεθα, ὅτι εἴδομεν σήμερον μεγάλα θαυμάσια. πρὸς 10 384 M. οὓς φησιν ὁ βασιλεύς· τὰ μὲν ἀνθρώπινα ἀναγκαστά, τὰ δὲ θεῖα προαιρετικὰ τυγχάνει. ὁ μέντοι θεὸς ἀγαθῇ προαιρέσει καὶ διαθέσει θρησκεύεται. ὅθεν οὐκ ἐξ ἀνάγκης ἀλλὰ κρίσει ἐλευθερίας βουλόμεθα γίνεσθαι χριστιανοὺς τοὺς θέλοντας καὶ μὴ φόβῳ ἀνθρωπίνῳ προσάγεσθαι τῇ τοῦ 15 θεοῦ λατρείᾳ. καὶ ταῦτα πάντες ἀκούσαντες πρὸς τὴν πίστιν καὶ τὸν αὐτὸν πόθον ἐξήφθησαν μᾶλλον ἀποδεξάμενοι τὴν τοῦ βασιλέως καὶ τοῦ δόγματος ἐπιείκειαν. αὐτίκα δὲ καὶ ἡ μήτηρ Ἑλένη βαπτίζεται καὶ οἱ τούτου συγγενεῖς τε καὶ φίλοι. 20

Μετὰ δὲ ταῦτα ἀκούσας τὰ ὑπὸ Μαξεντίου γινόμενα 387 M. ἐν Ῥώμῃ χαλεπά τε καὶ ἄτοπα, περὶ οὗ καὶ πρεσβείαν ἐκ τῶν Ῥωμαίων δεξάμενος ἐστράτευσε κατ' αὐτοῦ, καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἐν οὐρανῷ φωτοειδῶς θεασάμενος

21—*p.* 488, 5? Epitome eccl. *cf.* Gelasii Cyziceni Hist. concil. Nicaeni *lib.* I *cp.* 4—6 Migne Tom. 85, 1204 *sqq.*

3 σωθήσωμαι AM ἰαθήσομαι L. — 6 λεπίδες AR. — 10 ἴδομεν BF ἴδωμεν ACN. — 17 αὐτὸν] αὐτοῦ LP *om.* R. — 18 δόγματος] θαύματος ER. — 19. 20 φίλοι τούτου καὶ συγγενεῖς F τε *om. etiam* N. — 21 γενόμενα BEV.

4 γενέσθαι καὶ τὸν βασιλέα βαπτίσας ἐξῆλθεν εὐθὺς ὑγιὴς καταλιπὼν P. — 6 ἰχθύος P. — 7 ἀπολαβόντα τὴν ὑγείαν *om.* P. — 10 ὅτι — θαυμάσια *om.* P. — 16 τοῦτο P. — 19 μήτηρ αὐτοῦ ἑλένη P.

ἐπιγράφον τά· ἐν τούτῳ νίκα, παρευθὺ χρυσοκολλήτοις ἐκτυπώσας λίθοις καὶ ἐπὶ δόρατος ἀναρτήσας καθηγεῖσθαι τῇ ἑαυτοῦ στρατείᾳ προσέταξεν. δι' οὗ τροπωσάμενος Μαξέντιον ἐν τῷ ποταμῷ οὕτως εἰσῆλθε καὶ τῆς Ῥώμης ἐκράτησεν, ἀπο- 5 *πνιγέντος Μαξεντίου ἐν τῷ ποταμῷ διωκομένου.*

Περὶ οὗ καὶ ὁ πολυΐστωρ Εὐσέβιος ἔφη· ἐφ' οἷς αὖθις καὶ πεπλήρωται σαφῶς· ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν. ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. πόντος ἐκάλυψεν 10 *αὐτούς. οὕτω γὰρ καὶ Μαξέντιος καὶ οἱ περὶ αὐτὸν ὁπλῖ-* 388 M. *ται καὶ δορυφόροι κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος, ὁπηνίκα νῶτα δοὺς τῇ ἐκ θεοῦ μετὰ Κωνσταντίνου δυνάμει πρὸς τὸν ποταμόν, ὃν αὐτὸς μηχανικῶς ζεύξας καὶ γεφυρώσας μηχανὴν ὀλέθριον καθ' ἑαυτοῦ συνεστήσατο καὶ λάκκον ὃν* 15 *ὤρυξεν εἰσπέπτωκεν, καὶ ἐπέστρεψεν ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβέβηκεν. καὶ οὕτως ὁ μὲν δυσσεβὴς καὶ οἱ μετ' αὐτοῦ ἔδυσαν ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ, ὁ δὲ θεῖος Κωνσταντῖνος θεῷ τοῖς ἔργοις ἀνυμνήσας ἐπὶ Ῥώμην μετ' ἐπι-* 20 *νικίων εἰσελαύνει πάντων ἀθρόως αὐτὸν ἅμα κομιδῇ νηπίοις καὶ γυναιξὶ καὶ σὺν παντὶ δήμῳ Ῥωμαίων φαιδροῖς ὄμμασι*

6—*p.* 489, 7 Euseb. Hist. eccl. IX, 9, 5. — 7 Exod. 15, 4; 5. — 14 Psalm. 7, 16; 17. — 18 Exod. 15, 10.

1 *ἐπιγράφον τά scr. e coni. ἐπιγράφον* LV *et* P *sed lit. corr. ex ἐπιγράφοντα. ἐπιγράφων* B *ἐπιγράφοντα* rell. — 2. 3 *τῇ — στρατείᾳ* AP *τῇ — στρατιᾷ* CELN *τῆς — στρατείας* BFV. — 7 *ἅρματα* ACFNP. — 9 *πόντῳ* ABM Exod. — 14. 15 *λάκκον εἰς ὃν ὤρυξεν εἰσπέπτωκεν* F *λάκκον ὤρυξεν, εἰς ὃν πέπτωκεν* B. — 17 *δυσσεβὴς μαξέντιος* FV. — 18 *μόλυβδος* ELM. — 19 *θεᾷ* AP Eus. *θεοῦ* F *θεὸν* rell. — *ἀναμνήσας* BM *ἀνύσας* F. — 21 *συνπαντὶ* LP *συμπαντὶ* AC *σὺμπαντὶ* E *σύμπαντι* V.

6 *εὐσέβειος ἐφ' οἷς αὖθις ἔφη πεπλήρωται* P. — 15 *εἰσπέπτωκε καὶ εἰς βόθρον ὃν εἰργάσατο* P Eus. — 16 *καταβέβ. εἰκότως καὶ συνελήφθη ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ ὁ ἁμαρτωλός* (Psalm. 9, 17) P.

καὶ ψυχαῖς οἷα λυτρωτὴν καὶ σωτῆρά τε καὶ εὐεργέτην μετ' εὐφημιῶν καὶ ἀπλήστου χαρᾶς ὑποδεχομένων. ὁ δὲ ὥσπερ ἔμφυτον τὴν εἰς θεὸν εὐσέβειαν κεκτημένος μηδ' ὅλως ἐπὶ ταῖς βοαῖς ὑποσαλευόμενος μηδὲ ἐπαιρόμενος τοῖς ἐπαίνοις εὖ μάλα τῆς ἐκ θεοῦ συνησθημένος βοηθείας αὐτίκα τοῦ 5 *σωτηρίου τρόπαιον πάθους ὑπὸ χεῖρα ἰδίας εἰκόνος ἀνατεθῆναι προστάττει. καὶ νῦν οἱ μὲν θεομισεῖς οὐκ εἰσιν, ὅτι μηδὲ ἦσαν. εἰς βραχὺ γὰρ κατάρξαντες καὶ ταραχθέντες, εἶτα ὑποσχόντες τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ ἑαυτοὺς καὶ φίλους καὶ οἴκους ἄρδην ἀναστάτους κατέστησαν. περὶ ὧν* 10 *ὁ θεῖος ἔφη λόγος πάλιν· ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. ἀλλ' ἡ ῥομφαία αὐτῶν εἰσῆλθεν εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συνετρίβη. πρὸς δέ γε τὴν ἐκκλησίαν τῶν εὐσεβῶν αὖθίς φησιν ὁ ἱερὸς* 15 *λόγος· μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς ὅτι ὠνειδίσθης, ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ καὶ τὸ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ. ἐξεγείρου, ἐξεγείρου, ἔνδυσαι τὴν ἰσχὺν καὶ τὴν δόξαν σου, ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι.* 20

[*Βιβλίον Θ'.*] 389 M.

[*α'. Περὶ Κωνσταντίνου τοῦ μεγάλου.*]

Μετὰ δὲ Μαξέντιον ἐβασίλευσε Κωνσταντῖνος ὁ μέγας, ὃς εὐθέως διατάγματα πανταχοῦ ἐξέπεμψε τοὺς ἐν ἐξορίαις

---

11 Psalm. 36 (37), 14; 15. — 16 Jes. 54, 4. — 18 Jes. 52, 1; 2. — 23—*p.* 490, 6 Epitome ecclesiast. e Theodori Lectoris Hist. tripartita. *cf.* Theoph. *p.* 24, 1 Polyd. *p.* 276, 5. *cf. etiam* Gelas. Cyzic. Hist. concil. Nic. I, 7 Migne Tom. 85, 1208.

3 *ἐπὶ*] *ὑπὸ* AB *ἐν* P. — 4 *μηδ' ἐπαιρ.* AB. — 5 *συνησθειμένος* CE *συνηθησμένος* A *συνησθομένης* B (*συναισθόμενος* Eus.). — 8 *ἦσαν* — *p.* 490, 18 *ἔν τινι om.* E *uno folio interciso.* — 11 *λόγος ἔφη* BL. — 12 *τόξον αὐτῶν* LP. — 13 *εἰσέλθοι* V. — 14 *συντριβείη* AV. — 24 *διάταγμα* CNR. — *ἐν ἐξορίᾳ* ALR.

14 *post συνετρίβη et* 18 *post μνησθήσῃ alia add.* P. — 24 *ἔπεμψε* P.

χριστιανοὺς μετὰ τιμῆς ἐπανέρχεσθαι πρὸς τὰ ἴδια, καὶ τοὺς
μὲν ναοὺς τῶν εἰδώλων καταστρέφεσθαι, τὰς δὲ τοῦ Χριστοῦ
ἐκκλησίας οἰκοδομεῖσθαι, καὶ πρὸς τούτοις ἐξέθετο καὶ νό-
μους καθολικοὺς ὥστε ἀποδίδοσθαι τοὺς τῶν εἰδώλων ναοὺς
5 τοῖς τῷ Χριστῷ ἱερωμένοις, καὶ χριστιανοὺς μόνους ἄρχειν
καὶ στρατεύεσθαι, καὶ τετράδα καὶ παρασκευὴν πάντας νη-
στεύειν καὶ τὴν κυριακὴν ἀργεῖν καὶ τιμᾶν, τὰς μὲν διὰ τὸ
390 M. πάθος, τὴν δὲ διὰ τὴν ἀνάστασιν τοῦ κυρίου, καὶ Ἰου-
δαίους οἰκέτας μὴ ὠνᾶσθαι μήτε θυσίας προδήλους ποιεῖ-
10 σθαι, καὶ σταυρῷ μηκέτι καταδικάζεσθαί τινα διὰ τὸ πρὸς
τὸν σταυρὸν τοῦ Χριστοῦ σέβας, τοῖς δὲ νομίσμασιν αὐτοῦ
καὶ εἰκόσι τὸν σταυρὸν συνεκτυποῦσθαι πάντοτε. καὶ γυ-
ναῖκα μὲν εἶχε Μαξιμίναν θυγατέρα Διοκλητιανοῦ, ἐξ ἧς
ἐγέννησεν υἱοὺς τρεῖς, Κωνσταντῖνον καὶ Κώνσταν καὶ Κων-
15 στάντιον, ἀδελφοὺς δὲ Δαλμάτιον καὶ Κωνστάντιον, οἵτινες
ἔσχον υἱούς, Δαλμάτιος μὲν ἄλλον Δαλμάτιον, Κωνστάντιος
δὲ Γάλλον καὶ Ἰουλιανόν.

Ἐν δέ γε τῷ καπετωλίῳ Ῥώμης ἔν τινι καταδύσει βαθ-
μοὺς ἐχούσῃ τξε´ δράκων ἦν παμμεγέθης, ὃς ἐξαίφνης πολ-
391 M. 20 λάκις παρακύπτων τῆς καταδύσεως ἐλυμαίνετο σφόδρα τοὺς

6—12 Epitome ecclesiast. e Theodori Lectoris Hist. tripartita. *cf.* Cram. Anecd. II, 91, 28; 95, 8 Theoph. *p.* 36, 5 Polyd. *p.* 266, 5 *et* 330, 1 Leo Gramm. *p.* 84, 5; 14. — 12—17 *ib. cf.* Exc. Bar. Theoph. *p.* 10, 29 Polyd. *p.* 360 *fin.* (Maximinae nomen insertum ex actis S. Silvestri.) — 18—*p.* 491, 11 Vita S. Silvestri *ed.* Combefis *p.* 269.

1 εἰς τὰ ἴδια BFR. — 2 τοῦ *om.* BFV. — 9 ὠνᾶσθαι (ὀν. L) ACFLPR ὠνεῖσθαι (ὀν. M ὠνῆσθαι D) BNV. — 10. 11 διὰ τὸν (τὸ τὸν C) σταυρὸν τοῦ χριστοῦ (κυρίου C), τοῖς τε CLR τε *etiam* V. — 12 τὸν σταυρὸν *om.* CLV. — τὸν σταυρὸν τοῦ χριστοῦ N. — 13 εἶχε μαξιμιανοῦ θυγατέρα, ἐξ ἧς B *sed cf.* Act. S. Silvestri. — Διοκλητιανοῦ] μαξιμιανοῦ F. — 15 δὲ δύο δαλμ. RV. — δὲ εἶχε δαλμ. F. — 18 δέ γε ABPV γε *om.* rell. — 20 προκύπτων (-κύμπτων V) LV.

15 ἀδελφοὺς — κωνστάντιον *om.* P *ex homoeotel.* — 19 ὃς ἐξ ἀπροόπτου πολλάκις αἰφνίδιον παρακύπτον P.

ἐν τῇ πόλει τῷ φυσήματι καὶ μάλιστα τοὺς παῖδας. περὶ οὗ τινες τῶν ἑλληνιζόντων ἀξιώσαντες τὸν θεῖον Σίλβεστρον εἶπον· κάτελθε, ὦ ἐπίσκοπε, πρὸς τὸν δράκοντα καὶ ποίησον εἰς τὸ ὄνομα τοῦ θεοῦ σου σχολάσαι αὐτὸν ἐπὶ χρόνον ἕνα τῆς φθορᾶς τῶν ἀνθρώπων, καὶ πιστεύομεν πάντες καὶ 5 βαπτιζόμεθα. ὁ δὲ Σίλβεστρος κατελθὼν καὶ οἰκίσκον μικρὸν εὑρὼν ἔχοντα θύραν χαλκῆν, ἔνθα ὁ δράκων ὑπῆρχεν, καὶ ταύτην ἐπὶ τῷ ὀνόματι Χριστοῦ κλείσας καὶ ἀνελθών, οὐκέτι ἐξῆλθεν ὁ δράκων. διελθόντων δὲ χρόνων β′ πάντες οἱ πρώην διὰ θυσιῶν τὸν δράκοντα θεραπεύοντες καὶ ἄλλοι 10 πολλοὶ προσελθόντες τῷ ἁγίῳ Σιλβέστρῳ ἐβαπτίζοντο.

Τοῦ δὲ θείου Κωνσταντίνου συναθροίσαντος Ἰουδαίους ἱερεῖς τε καὶ γραμματεῖς ρκ′ πρὸς τὸ διαλεχθῆναι μετὰ Σιλβέστρου εἰς τελείαν φανέρωσιν τῆς ἀληθείας καὶ εἰς ἀνατροπὴν τῆς Ἰουδαϊκῆς ἀναισχυντίας καὶ φλυαρίας, συνῆλθε 15 πᾶσα σχεδὸν ἡ πόλις ἔμπροσθεν τοῦ βασιλέως ἀκοῦσαι τῆς διαλέξεως ἀμφοτέρων περὶ τῆς Χριστοῦ πίστεως. καὶ οἱ μὲν Ἰουδαῖοι ἀπήρξαντο πρὸς Σίλβεστρον οὕτω λέγειν· ποία γραφὴ περὶ τοῦ υἱοῦ τῆς Μαρίας προεῖπεν, καὶ ποῖος αὐτὸν προφήτης ὡς θεὸν ἐκ Μαρίας γεννησόμενον προανήγγειλεν; 20 ὁ δὲ Σίλβεστρος ἀποκριθεὶς εἶπεν· πάνυ πλανᾶσθε, μὴ εἰδότες ἀληθῶς τὰς γραφὰς μήτε τὴν ἐν αὐταῖς ἐγκειμένην μυστικὴν διδασκαλίαν. περὶ γὰρ τίνος ὁ μέγας Ἡσαΐας εἶπεν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ

12—23 Vita S. Silvestri *ed.* Combefis *p.* 293. — 23—*p.* 492, 11 Athanas. de incarn. *cp.* 33 Migne Tom. 25, 153 A. — 24 Jes. 7, 14.

8 *χριστοῦ* DPV *τοῦ κυρίου* F *τοῦ χριστοῦ* rell. — 14 *εἰς ante ἀνατροπὴν om.* FLRV. — 17 *τοῦ χριστοῦ* ADV *om.* P. — 18 *λέγειν οὕτως* F *οὕτως om.* P. — 20 *ὡς θεὸν om.* AV *ὡς om.* R. — *ἐκ Μαρίας*] *ἐκ θεοῦ* A *om.* R. — *γενησόμενον* BF *et* recc. quidam *γεννηθῆναι* V. — 22 *ἀληθῶς*] *ἀκριβῶς* B *om.* F. — 23 *ὁ μέγας om.* FR. — *ἠσαΐας ὁ προφήτης* F.

10 *τῷ δράκοντι* P. — 15 *ἀνῆλθε* P. — 21 *ὁ δέ γε σίλβεστρος ἔφη· πλανᾶσθαι μηδὲ εἰδότες* P.

καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθ' ἡμῶν
ὁ θεός; καί· πρὶν ἢ ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ
392 M. μητέρα λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας
ἔναντι βασιλέως Ἀσσυρίων; ὁ δὲ θεόπτης Μωϋσῆς· ἀνατε-
5 λεῖ, φησίν, ἄστρον ἐξ Ἰακὼβ καὶ ἄνθρωπος ἐξ Ἰσραὴλ καὶ
θραύσει τοὺς ἀρχηγοὺς Μωάβ. καί· ἐξελεύσεται ἄνθρωπος
ἐκ τοῦ σπέρματος αὐτοῦ καὶ κυριεύσει ἐθνῶν πολλῶν. ὅτι
μὲν οὖν ἄνθρωπος φανήσεται διὰ τούτων προκαταγγέλλεται,
ὅτι δὲ κύριος πάντων προσημαίνουσι πάλιν φάσκοντες· ἰδοὺ
10 κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον
καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου. καί· ἰδοὺ ὁ θεὸς
ἡμῶν ἥξει καὶ σώσει ἡμᾶς, καὶ τότε ἀνοιχθήσονται ὀφθαλ-
μοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀνοιγήσονται, καὶ ἀλεῖται ὡς
ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων. ἡ μὲν
15 οὖν προφητεία θεὸν ἐπιδημεῖν προλέγει, τὰ δὲ σημεῖα καὶ
τὸν χρόνον τῆς παρουσίας γνωρίζει. τότε γὰρ ταῦτα πεπλή-
ρωνται, ἅπερ οὐδέποτε γεγόνασι πρότερον ὑπό τινος ἐν τῷ
Ἰσραήλ. περὶ δὲ τοῦ πάθους αὐτοῦ πάλιν φησίν· ἄνθρω-
πος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν ἠτιμάσθη καὶ
20 οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ
ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ
καὶ ἐν πληγῇ καὶ ἐν κακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ

2 Jes. 8, 4. — 4 Num. 24, 17. — 6 *ib.* 24, 7. — 9 Jes. 19, 1. 11—18 Athanas. de incarn. *cp.* 38 Migne 161 C. — 11 Jes. 35, 4 *sqq.* — 18—*p.* 493, 3 Athan. *ib. cp.* 34 Migne 153 C. — 18 Jes. 53, 3 *sqq.*

1 ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν R Ath. — 3 σκῦλα CEP *et* recc. plerique σκύλα rell. — 4 θεόπτης Μωϋσῆς] βαλαάμ R θεόπτης (*om.* Μωϋσῆς) N. — 5 καὶ ἀναστήσεται ἄνθρωπος FR Num. *invito* Ath. — 6 θραύσει ABFP Num. Ath. συντρίψει rell. — 11 ὁ θεὸς ABP Ath. κύριος ὁ θεὸς rell. — 12 ἀνοιγήσονται P ἀνοιγήονται R. — 13 ἀνηγήσονται R ἀκούσονται F Jes. Ath. — αλεῖται *sine spir.* A ἀλεῖται rell. — 21 εἶναι *om.* N.

2 ἢ *om.* P. — 4 μωσῆς P. — 16 ταῦτα πάντα P. — 19 μαλακίαν ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ ἠτιμάσθη P Ath. Jes.

τὰς ἁμαρτίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτῷ, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. καί· ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; καὶ Μωσῆς· ὄψεσθε, φησίν, τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν 5 ὑμῶν καὶ οὐ μὴ πιστεύσητε. καὶ Δαυὶδ ἐκ προσώπου τοῦ Χριστοῦ λέγει· ὤρυξαν χεῖράς μου καὶ πόδας μου. καί· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ τὰ ἑξῆς. ὅτι δὲ 393 M καὶ τῶν ἐθνῶν ἐλπὶς ἦν ὁ μὲν Ἰακὼβ προεῖπεν· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὔτε ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, 10 ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. ὁ δὲ Ἡσαΐας αὖθις· καὶ ἔσται, φησίν, ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν. ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. ταῦτα μὲν οὖν ὀλίγα πρὸς ἀπόδειξιν τῶν γενομένων. πᾶσα δὲ γραφὴ πέπλησται διελέγχουσα τὴν ὑμετέραν ἀπιστίαν. τίς 15 γὰρ πώποτε τῶν ἐν ταῖς θείαις γραφαῖς ἱστορηθέντων δικαίων καὶ προφητῶν ἁγίων ἐκ παρθένου μόνης ἔσχε τὴν τοῦ σώματος σύστασιν; τίνος δὲ τῆς γεννήσεως προέδραμεν ἀστὴρ ἐν οὐρανοῖς καὶ τὸν γεννηθέντα διεσήμαινε τῇ οἰκουμένῃ; τίς πάλιν βασιλέων πρὶν ἰσχῦσαι καλεῖν πατέρα ἢ 20 μητέρα ἐβασίλευσε καὶ τρόπαια κατὰ τῶν ἐχθρῶν εἴληφεν; τίς οὖν ἄρα γέγονε βασιλεὺς ἐν Ἰσραὴλ ἐφ' ὃν τὰ ἔθνη

3—8 Athanas. de incarn. *cp.* 35 Migne 156 AB. — 3 Jes. 53, 8. — 4 Deut. 28, 66. — 7 Psalm. 21 (22), 17 *sqq.* — 8—11 Athan. *ib.* *cp.* 40 Migne 165 B?. — 9 Gen. 49, 10. — 11—20 Athan. *ib.* *cp.* 35 Migne 156 C. — 12 Jes. 11, 10. — 20—*p.* 494, 12 Athan. *ib.* *cp.* 36 Migne 157 B.

1 καὶ μεμαλάκισται—ἀνομίας ἡμῶν *om.* MR. — 10 οὔτε AD EPV οὐδὲ BCFM καὶ R Gen. — 11 ᾧ] ὃ ABFMR. — 12 αὖθις ABP ἔφη rell., *qui etiam* φησιν *exhibent praeter* F. — 13. 14 ταῦτα μὲν οὖν ABP καὶ ταῦτα μὲν F καὶ ταῦτα μὲν οὖν rell. (ταῦτα μὲν Ath.). — 14 πᾶσα δὲ γραφὴ ABP Ath. πᾶσα γραφὴ C πᾶσα δὲ ἡ γραφὴ rell. — 15 πεπλήρωται A Ath. — 20 τῶν βασιλέων P βασιλεὺς F (τῶν γενομένων βασιλέων Ath.). — 22 ἐν *om.* CR.

17 καὶ *om.* P.

πάντα τὴν ἐλπίδα τέθεινται, καὶ οὐχὶ μᾶλλον αὐτοῖς ἠναντιοῦντο πανταχόθεν; ἕως γὰρ συνίστατο Ἱερουσαλὴμ πόλεμος ἄσπονδος ἦν αὐτοῖς, καὶ διεμάχοντο πρὸς τὸν Ἰσραὴλ Ἀσσύριοι μὲν θλίβοντες, Αἰγύπτιοι δὲ διώκοντες, Βαβυλώνιοι
5 δὲ κατατρύχοντες, Σύροι δὲ ἀντιπολεμοῦντες. ἢ οὐχ ὁ μὲν Δαυὶδ τοὺς Μωαβίτας καὶ τοὺς Σύρους ἐπολέμει καὶ ἐπολεμεῖτο, ὁ δὲ Ἰωσίας τοὺς πλησίον παρεφυλάττετο, καὶ μέντοι καὶ Ἐζεκίας ἐδειλία τὴν ἀλαζονείαν τοῦ Σεναχηρείμ; καὶ τῷ μὲν Ἰησοῦ οἱ Ἀμορραῖοι ἠναντιοῦντο, τῷ δὲ Μωσῇ ὁ
10 Ἀμαλὴκ ἀντεστρατεύετο, καὶ ὅλως ἄσπονδα ἦν τοῖς ἔθνεσι πρὸς τὸν Ἰσραὴλ τὰ τῆς φιλίας, ὡς μέχρι νῦν μαρτυροῦσι τὰ πράγματα.

Καὶ οἱ γραμματεῖς ἀποκριθέντες εἶπον· οὐκ ἀρνούμεθα
394 M. ὡς ταῦτα μὲν πάντα γέγραπται, προσδοκῶμεν δὲ τὸν μη-
15 δέπω παραγενόμενον θεὸν λόγον. ὁ δὲ Σίλβεστρος ἔφη· καὶ πῶς οὐκ ἠκούσατε τοῦ Δανιὴλ προλέγοντος φανερῶς καὶ τὸν καιρὸν καὶ τὴν θείαν τοῦ σωτῆρος ἐπιδημίαν; φησὶ γὰρ ὁ προσδιαλεγόμενος αὐτῷ ἄγγελος· ο΄ ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν
20 τοῦ συντελεσθῆναι ἁμαρτίαν καὶ τοῦ ἐξιλάσασθαι ἀδικίαν καὶ τοῦ σφραγίσαι ἁμαρτίας καὶ ἀπαλεῖψαι τὰς ἀδικίας καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ

13—*p.* 495, 12 Athan. de incarn. *cp.* 39 Migne 164 B. — 18 Dan. 9, 24 *sqq.*

2 ἡ ἱερουσαλὴμ B Ath. — 6 τοὺς σύρους καὶ τοὺς (τοὺς *om.* B) μωαβίτας (-ήτας A) AB. — 8 σεναχηρείμ BRV σεναχειρείμ D σεναχειρίμ EFP σενναχειρίμ ACM. — 9 ἀμωρραῖοι CFP ἀμμορραῖοι E ἀμμοραῖοι B χαναναῖοι R. — ἠναν[τιοῦντο — *p.* 496, 24 καὶ τούτων *om.* F *uno folio interciso.* — μωσῇ AP μωσεῖ BE μωϋσῇ rell .(μωυσεῖ Ath.). — ὁ] τῷ R *om.* D. — 10 ὅλως ἄσπονδα BP Ath. ὅλως ἄσπονδον CENV ὅλος ἄσπονδος A ὁ λαὸς ἄσπονδος R.

2 συνειστήκει P Ath. — 11 ὡς καὶ μέχρι νῦν P. — 14 πάντα μὲν ταῦτα P.

ἐξόδου λόγων τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ζ' καὶ ἑβδομάδες ξβ'. καὶ πρὸς μὲν τοῖς ἄλλοις ἴσως προφασιζόμενοι εἰς μέλλοντα χρόνον ἀναβάλλεσθε τὰ γεγραμμένα. τί δὲ πρὸς ταῦτα λέγειν ἢ ὅλως ἀντωπῆσαι δύνασθε; ὅπου γε καὶ ὁ 5 *χριστὸς δηλοῦται καὶ ὁ χριόμενος οὐκ ἄνθρωπος, ἀλλ' ἅγιος ἁγίων εἶναι καταγγέλλεται. καὶ ἕως τῆς παρουσίας αὐτοῦ Ἱερουσαλὴμ συνίσταται, καὶ λοιπὸν ἅπας προφήτης παύεται καὶ ὅρασις ἐν τῷ Ἰσραήλ. ἐχρίσθη μέντοι πάλαι Δαυὶδ καὶ Σολομὼν καὶ Ἐζεκίας· ἀλλ' Ἱερουσαλὴμ καὶ ὁ τόπος συν-* 10 *εστήκει, καὶ προφῆται προεφήτευον, ἄλλως δὲ καὶ αὐτοὶ οἱ χρισθέντες ἅγιοι ἄνθρωποι καὶ οὐχ ἅγιοι ἁγίων ἐκλήθησαν. πότε δὲ καὶ προφήτης ἐπαύσατο καὶ ὅρασις ἀπὸ τοῦ Ἰσραήλ, εἰ μὴ νῦν, ὅτε ὁ προφητευόμενος καὶ ἅγιος τῶν ἁγίων* 395 M. *Χριστὸς παρεγένετο; σημεῖον οὖν ὄντως μέγα πρόδηλον καὶ* 15 *γνώρισμα τοῦ θεοῦ λόγου καὶ τῆς αὐτοῦ παρουσίας τὸ μηκέτι τὴν Ἱερουσαλὴμ ἑστάναι μήτε προφήτην ἐγερθῆναι μήτε ὅρασιν ἀποκαλύπτεσθαι τούτοις. καὶ εἰκότως· ἐλθόντος γὰρ τοῦ σημαινομένου καὶ προφητευομένου, τίς ἡ χρεία τῶν σημαινόντων καὶ προφητευόντων; διὰ γὰρ τοῦτο προεφήτευον,* 20 *ἕως ἔλθῃ ὁ προφητευόμενος καὶ λυτρούμενος τὰς ἁμαρτίας πάντων. ποῖος τοίνυν ἡγούμενος ἐξῆλθεν ἐκ Βηθλεὲμ καὶ τὸν Ἰσραὴλ ἐποίμανεν, οὗ ἡ ἔξοδος ἀπ' ἀρχῆς ἀφ' ἡμερῶν αἰῶνος καὶ πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα, καὶ ἀνεκδιή-*

13—22 Athan. de incarn. *cp.* 40 Migne 165 A. — 22—*p.* 496, 3 Athan. *ib. cp.* 37 Migne 160 B? — 22 Mich. 5, 2; 4. — 23 Psalm. 71 (72), 17.

1 *λόγον* B *λόγου* R Dan. Ath. — 4 *ἀναβάλλεσθαι* ABNPR (*ἀναβάλλεσθαι δύνανται* Ath). — 5 *ἀντοπῆσαι* NP *ἀντειπεῖσθαι* G *ἀντιπεῖσθαι* R. — 8 *συνίσταται* AP Ath. *συνίστατο* rell. — 15 *μέγα καὶ πρόδηλον* BV. — 19 *τῶν σημαινομένων* CDEV — 23 *ἀφ'*] *ἐξ* AR. — 24 *διαμένει* ABDR *διαμένῃ* CM. — *τὸ ὄνομα αὐτοῦ* N.

16 *γνώρισμα τῆς τοῦ θεοῦ λόγου παρουσίας* P Ath. — 23 *ἡ om.* P.

γητος ἡ γενεά, καθὼς γέγραπται; τῶν γὰρ ἁγίων πάντων ἴσμεν τὴν γενεὰν ἱστορουμένην καὶ τῶν ἀρξάντων τοῦ Ἰσραὴλ παριστῶσαν τὴν γένεσιν καὶ τὸν θάνατον.

Διαλεχθέντες οὖν ἐπὶ πολλὰς ὥρας, καὶ τοῦ Σιλβέστρου 5 *μετὰ πολλῆς ἀκριβείας ἐκ τῶν θείων γραφῶν ἀποδείξαντος τὰ περὶ τοῦ Χριστοῦ, καὶ τῶν Ἰουδαίων μεγάλως ἡττηθέντων, ἔφη τις ἐξ αὐτῶν ὀνόματι Ζαμβρὴ πρὸς τοὺς λοιποὺς Ἰουδαίους· εἰ Σιλβέστρου λόγοις προσέχετε, ἀνάγκη τοὺς πατρῴους νόμους καταλιπεῖν καὶ ἀκολουθεῖν ἀνθρώπῳ μα-* 10 *ταίῳ, ὃν οἱ πατέρες ἡμῶν κατεδίκασαν. ἀλλ' ἀκουσάτω μου ὁ βασιλεύς, καὶ ἐνεχθήτω ταῦρος ἄγριος, ὥστε με δεῖξαι σήμερον ἐνώπιον αὐτοῦ τὴν δύναμιν τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν. οὐ θέλω γὰρ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων* 396 M. *δεῖξαι τὴν ἀλήθειαν. ὁ δὲ Σίλβεστρος παρακαλέσας τὸν* 15 *βασιλέα τοιοῦτον ἐνεχθῆναι ταῦρον ἠρώτησεν ἐν τῷ μεταξὺ τὸν Ζαμβρή, τίνος ἕνεκεν ἐπιζητεῖ τὸν ταῦρον. καί φησιν· ἐπειδὴ τὸ ὄνομα τοῦ ἡμετέρου θεοῦ οὐδεμία κτιστὴ φύσις ἀκούσασα ζήσεται, βούλομαι διὰ τοῦ ταύρου τὴν ἰσχὺν τούτου σαφῶς ἀποδεῖξαι. πρὸς ὃν ὁ Σίλβεστρος ἔφη· καὶ σὺ* 20 *ποίῳ τρόπῳ τὸ ὄνομα τοῦτο μεμάθηκας; ἆρα παρά τινος ἀκούσας ἢ ἀναγνούς; ὁ δὲ εἶπεν· οὔτε χάρτης οὔτε ξύλον οὔτε λίθος ὑποδέξασθαι τὸ ὄνομα τοῦτο δύναται. ἐγὼ δὲ νηστεύσας καὶ εἰς λεκάνην ὕδωρ βαλὼν ἐκεῖ τοῦτο μεμάθηκα. καὶ τούτων λεγομένων ἰδοὺ καὶ ὁ ταῦρος ἦλθεν ὑπὸ* 25 *πολλῶν ἀνθρώπων ἑλκόμενος σχοινίοις πάντοθεν δεδεμένος*

---

1 Jes. 53, 8. — 4—*p.* 499, 7 *cf.* Vitam Silvestri ed. Combefis. *p.* 327.

6 *τοῦ om.* MR. — 7 *ζαμβρὴ* NPR *ζαμβρῆ* CEGV *ζαμβρὶ* A *ζαμβρῖ* L *ζαμβρῆς* B. — 15 *ἐν τῷ om.* RV. — 16 *ζαμβρή* GNR *ζαβρή* P *ζαμβρῆ* BCELV *ζαμβρί* A. — *ἐπιζητεῖς* AR. — 20 *παρὰ τίνος* NPRV. — 25 *ἀνδρῶν* LV *om.* R.

13 *οὐ γὰρ θέλω* P. — 25—*p.* 497, 1 *ἀνθρώπων καὶ σχοινίων ἑλκόμενος ἀγριώτατος* P.

ἀγριώτατος καὶ μέγας πάνυ ὑπάρχων. καὶ ὁ Ζαμβρὴ ἐπιγαυριῶν τῷ Σιλβέστρῳ ἔφη· νῦν τὰ ῥήματα καὶ ἡ ὑπόθεσις τῶν λόγων σου πέρας ἕξουσιν. εἰ μὲν οὖν θαρρεῖς εἰς τὸ ὄνομα τοῦ θεοῦ σου, εἰπὲ τοῦτο κατὰ τὴν ἀκοὴν τοῦ ταύρου καὶ δειχθήσῃ παντοκράτορι θρησκεύων. εἰ δὲ μή γε, 5 λέξω ἐγώ, καὶ πάντες τῇ ἐμῇ πίστει συνδραμοῦσιν. τῶν δὲ Ἰουδαίων καὶ τῶν ἄλλων παρορμησάντων εἰπεῖν τὸν Ζαμβρὴ τὸ ὄνομα ὑπὸ τὴν ἀκοὴν τοῦ ταύρου, καὶ τοῦτο εἰπόντος, εὐθὺς ὁ ταῦρος μυκηθμὸν ἀποτελέσας μέγα, καὶ τῶν ὀφθαλμῶν αὐτοῦ ἐξελθόντων, ἀπέθανεν. ἀνασκιρτώντων οὖν 10 τῶν Ἰουδαίων καὶ μεγαλαυχούντων κατὰ Σιλβέστρου, καὶ τῶν χριστιανῶν λυπουμένων σφόδρα, παρακαλεῖ τὸν βασιλέα Σίλβεστρος κελεῦσαι τῷ λαῷ ἡσυχάσαι. καὶ τούτου γενομένου, καὶ ἐφ' ὑψηλοῦ τόπου Σιλβέστρου ἀνελθόντος, εἶπε 397 M. φωνῇ μεγάλῃ· ἀκούσατέ μου, οἱ μεγιστάνες καὶ πάντες οἱ 15 νῦν θαυμάσαντες χριστιανοὶ τὸν θάνατον τοῦ ταύρου. ἐγὼ τὸν δεσπότην Χριστόν, ὃν ὑμῖν εὐηγγελισάμην, ἔγνων τυφλοὺς ἀναβλέψαι ποιήσαντα, κωφοὺς ἀκοῦσαι, ἀλάλους λαλῆσαι, νεκροὺς ἐγεῖραι ἐπὶ τῷ ὀνόματι αὐτοῦ. κἀντεῦθεν οὖν φανερόν ἐστι πᾶσιν, ὡς διαβόλου ἐστὶν ὄνομα τὸ θανατῶσαν 20 τὸν βοῦν, ὅνπερ ἀναστῆσαι οὐ δύναται. καὶ τοῦτο ἀκούσας Ζαμβρὴ καὶ τὰ ἱμάτια διαρρήξας ἔφη πρὸς τὸν βασιλέα· ἐγώ, δέσποτα, ἐπὶ τῷ ὀνόματι τοῦ παντοκράτορος θεοῦ τὸν

---

1 *μέγας πάνυ* ABP *πάνυ om.* rell. — *ζαμβρὴ* CGNP *et* recc. quidam (*ζαμβρῆς* rell.) *ζαμβρῆ* ELV *ζαμβρὶ* A *ζαμβρῆς* B *ζαμβρὶς* F. — 5 *λατρεύων* A *πιστεύων* R. — *μή γε*] *μή* LR *καὶ μή* V. — 6 *συνδράμουσι* *m. 1* P *προσδραμοῦσι* V *προσδράμωσι* B. — 7 *τὸν ζαμβρὴ om.* C. — *ζαμβρὴ* NP *ζαμβρῆ* ELV *et* recc. plerique *ζαμβρῆν* B *ζαμβρῖ ut vid.* A *ζαμβρὶ* F. — 9 *μέγαν* R *et m. 2* P. — 13 *ὁ σίλβεστρος* RV. — 14 *σίλβεστρος ἀνελθὼν* P *et* F *qui καὶ ante ἐφ' delevit.* — 17 *ἔγνω* MP. — 20 *τὸ θανατῶσαι* AB *τοῦ θανατῶσαι* R. — 21 *ὅπερ* AF. — 22 *ὁ ζ.* codd. *praeter* ABP. — *ζαμβρὴ* NR *ζαβρὴ* P *ζαμβρῆ* CELV *ζαμβρὶ* A *ζαμβρῆς* B *ζαμβρὴς* G *ζαμβρὶς* F.

1 *ὑπάρχων om.* P. — 2 *τῷ σιλβ. νῦν ἔφη τὰ ῥήματα* P. — 6 *πίστει*] *θρησκείᾳ* P. — 19 *κἀντεῦθεν δεῖλον ὡς διαβόλου* P.

ταῦρον ἐθανάτωσα, καὶ οὗτος βλασφημῶν ἐν λόγοις μόνον
κομπάζει. διὸ δὴ πρέπον ἐστὶ μηκέτι δίδοσθαι αὐτῷ χώραν
τοῦ λέγειν. ὁ δὲ Σίλβεστρος εἶπεν· ἄκουσον, ὦ Ἰουδαῖε,
τῶν σῶν γραφῶν καὶ ἐξ αὐτῶν ἐπιστομίζου πάλιν. γέγρα-
5 πται· κύριος θανατοῖ καὶ ζωογονεῖ. καί· ἐγὼ ἀποκτενῶ καὶ
ζῆν ποιήσω. τοίνυν ἐπικάλεσαι πάλιν εἰς τὴν ἀκοὴν τοῦ
βοὸς ἐκεῖνο τὸ ὄνομα, καί, εἰ ζήσεται, γνωσόμεθα πάντες
εἰς τὸ ὄνομα τοῦτο πιστεύειν. εἰ δὲ μή, ἐγὼ τὸν δεσπότην
μου Χριστὸν ἐπικαλέσομαι καὶ ἀναστήσω αὐτόν. καὶ ὁ Ζαμ-
10 βρή φησιν· εἰ τοῦτο ποιήσεις, μὰ τὴν κεφαλὴν τοῦ βασι-
398 M. λέως ἅπαντες οἱ Ἰουδαῖοι καταλείψαντες τὸν νόμον τῇ τῶν
χριστιανῶν θρησκείᾳ προσδραμούμεθα. καὶ τότε δὴ Σίλ-
βεστρος ἐκτείνας εἰς τὸν οὐρανὸν τὰς χεῖρας καὶ μετὰ δα-
κρύων εὐχὴν ποιήσας καὶ πρὸς τὸν ταῦρον ἀπελθὼν εἶπε
15 μετὰ φωνῆς· ἐγὼ τὸ ὄνομά σου ἐπὶ πάντων ἐπικαλοῦμαι,
δέσποτα Χριστέ, μετὰ κραυγῆς, ἵνα μάθῃ πᾶς ὁ λαὸς οὗτος,
ὅτι διαβόλου μὲν ὄνομα ἐφόνευσε τὸν ταῦρον, τῇ δὲ τοῦ
ἁγίου καὶ φανερωτάτου σου ὀνόματος ἐπικλήσει ἐζωοποιήθη.
καὶ πλησιάσας τῷ ταύρῳ λέγει μετὰ κραυγῆς μεγάλης· ἐν
20 ὀνόματι Ἰησοῦ Χριστοῦ, ὃν οἱ παράνομοι Ἰουδαῖοι ἐσταύ-
ρωσαν, ἀνάστα καὶ στῆθι μετὰ σεμνότητος. καὶ παρευθὺς
ὁ ταῦρος ὅλον ἑαυτὸν κινήσας καὶ ἐγερθείς, ἔλυσεν αὐτοῦ

---

5 I. Reg. 2, 6. — Deuter. 32, 39.

1 μόνοις CLM. — 4 γέγραπται γάρ· FPV. — 5 ζωογονοῖ M et A *m. 1 corr. ex* ζωογονεῖ. — 8 τὸν δεσπότην μου ABP τὸν ἐμὸν θεὸν R τὸν δεσπότην (*om.* μου) rell. — 9 ζαμβρή DR ζαβρή P ζαμβρῆ CEGLV ζαβρί A ζαμβρῆς BM ζαβρίς F. — 13 τὸν *om.* AM. — 15 μετὰ φωνῆς μεγάλης RV. — 21 ἀνάστα καὶ στῆθι (στήθη AP) ABP ἀνάστηθι καὶ στῆθι V ἀνάστηθι rell. — 21 παρευθὺς BEFGP εὐθὺς R παρευθὺ rell.

1 καὶ μόνον P. — 2 διδόσθαι χώραν αὐτῷ μηδὲ τοῦ λέγειν P. — 11 οἱ *om* P. — 16 οὗτος *om.* P. — 17 ὅτι διαβ. μὲν ὀνόματος ἀδήλου ἐπικλήσει τέθνηκεν ὁ ταῦρος, τῇ δὲ P. — 18 ἀνέζησεν P. — 22 ὅλον ἑαυτὸν ὁ ταῦρος P.

τὰ δεσμὰ Σίλβεστρος καὶ ἀπέλυσε λέγων· πορεύου ὅθεν ἦλθες, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀδικήσῃς. ὅπερ μέγα θαῦμα Ἰουδαῖοι θεασάμενοι καὶ σφόδρα καταπλαγέντες αὐτίκα προσέπεσαν εἰς τοὺς πόδας τοῦ θείου Σιλβέστρου πάντες αἰτούμενοι τὸ ἅγιον βάπτισμα. καὶ γέγονε χαρὰ μεγάλη 5 *τοῦ βασιλέως καὶ τοῦ λαοῦ παντὸς ἐπὶ ὥρας β′ κραζόντων· μέγας ὄντως ὁ θεὸς τῶν χριστιανῶν καὶ ἡ τούτων πίστις.*

Καὶ μετὰ ταῦτα βουλόμενος ὁ μέγας Κωνσταντῖνος κτίσαι πόλιν εἰς ἴδιον ὄνομα ἐπὶ τὰ ἑσπέρια μέρη, κατ᾽ ὄναρ 399 M. *ὁ θεὸς αὐτῷ ἐπέτρεψεν ἐν τῷ Βυζαντίῳ κτίσαι. καὶ τῷ ιβ′* 10 *ἔτει τῆς βασιλείας αὐτοῦ ἐν Ῥώμῃ ποιήσας Κώνσταν καὶ Κωνσταντῖνον υἱοὺς αὐτοῦ καίσαρας καὶ Δαλμάτιον ἀνεψιὸν αὐτοῦ ἐν Βρεττανίᾳ καταλείψας αὐτοῖς τὰ δυτικὰ μέρη ἦλθεν εἰς τὸ Βυζάντιον σὺν μητρὶ Ἑλένῃ καὶ υἱῷ Κωνσταντίῳ καὶ Λικινίῳ γαμβρῷ ἐπ᾽ ἀδελφῇ αὐτοῦ. καὶ ἀνανεώσας* 15 *τὸ πρώην ὑπὸ Βύζου βασιλέως τῆς Θρᾴκης τεῖχος κτισθὲν καὶ προσθεὶς ἄλλο διάστημα προσηγόρευσεν αὐτὴν Κωνσταντινούπολιν. ὀλίγους δὲ τοὺς οἰκήτορας πρὸς τὸ μέγεθος*

8—10 Theod. Lect. *cf.* Theoph. *p.* 23, 22 Polyd. *p.* 268 Leo Gr. *p.* 89, 8. — 10—15 *cf.* Polyd. *p.* 266 *med.* — 15—18 *cf.* Mal. *p.* 319, 23 Chron. Pasch. *p.* 528, 1 Polyd. *p.* 268. — 18—*p.* 500, 4 Theod. Lect. *cf.* Theoph. *p.* 23, 27; Polyd. *p.* 272 *fin.* Leo *p.* 89, 12.

3 *ἰουδαῖοι* ABDEP *οἱ ἰουδαῖοι* rell. — 4 *προσέπεσον* FLRV. — 6 *τοῦ τε βασιλέως* PV. — 7 *ὄντως om.* GL. — 8 *μετὰ δὲ ταῦτα* FP *et* recc. quidam *μετὰ ταῦτα* (*om. καὶ*) A *et* recc. alii. — 10 *αὐτῶ ὁ θεὸς* LM. — 11 *κώνσταν καὶ κωνστάντιον* BC *κωνσταντῖνον καὶ κώνσταν* R. — 14 *σὺν τῇ μητρὶ* ABFR. — 15 *λικιννίῳ* BCDV. — 16 *ὑπὸ βύζου* (*βίζου* P) *βασιλέως* ABP *et inter scrib. corr. ex βυζαντίουσιλέως* F *ὑπὸ βύζου τινὸς βασιλέως* V *ὑπὸ βύζου τοῦ βασιλέως* L *βυζάντιον βασιλ.* (*om. ὑπὸ*) G *ὑπὸ βυζαντίου βασιλ.* rell. — *κτισθὲν τεῖχος* BFL.

2 *μέγα θαῦμα om.* P. — 5 *ἅγιον om.* P. — 7 *Post πίστις* P *add.*: *ἀμέλει γέ τοι καὶ ὁ πολυμαθέστατος εὐσέβειος περὶ τῆς ἐνσάρκου θείας οἰκονομίας χριστοῦ φησὶν ἐν ἐπιτομῇ τοιάδε καὶ πρῶτον καὶ μόνον.* — 12 *καίσαρας ἐν ῥώμῃ* P (*sed ἐν ῥώμῃ etiam v.* 11). — 13 *αὐτοῦ υἱὸν δαλματίου ἐν* P. — *βριτανίᾳ* P. — *καὶ καταλείψας* P.

τῆς πόλεως ὁρῶν ἀπό τε Ῥώμης τοὺς ἀξιολόγους ἐκλεξάμενος ἀπό τε τόπων ἑτέρων συναθροίσας καὶ οἴκους μεγίστους οἰκοδομήσας αὐτοῖς καὶ χαρισάμενος οἰκεῖν τὴν πόλιν ἐποί-
400 M. ησεν. κτίσας δὲ καὶ τὸ παλάτιον καὶ ἱππικὸν καὶ τοὺς β'
5 μεγάλους ἐμβόλους καὶ τὸν φόρον, ἐν ᾧ κίονα μονόλιθον καὶ ὁλοπόρφυρον στήσας, ὃν ἀπὸ Ῥώμης ἐκόμισεν ἀξιάγαστον σφόδρα σφόδρα, ἵδρυσεν ἐπάνω αὐτοῦ ἀνδριάντα, ὃν ἤνεγκεν ἀπὸ Ἰλίου πόλεως τῆς Φρυγίας ἔχοντα ἐπὶ τὴν κεφαλὴν ἀκτῖνας ζ'. τὸν δὲ κίονα τρισὶν ἔτεσι πλοϊζόμενον ἤγαγε
10 διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους καὶ τοῦ βάρους. ἀπὸ δὲ τῆς θαλάσσης μέχρι τοῦ φόρου δι' ἐνιαυτοῦ ἦλθεν, καίπερ τοῦ βασιλέως συνεχῶς προσφοιτῶντος καὶ χρυσίον ἄπειρον τῷ πλήθει διανέμοντος. εἶτα θέμενος εἰς τὰ θεμέλια τοὺς ιβ' κοφίνους, οὓς ὁ Χριστὸς ηὐλόγησεν, καὶ ξύλα τίμια καὶ
15 ἁγίων λείψανα πρὸς στηριγμὸν καὶ φυλακὴν ἔστησεν αὐτὸν διὰ πολλῆς μηχανῆς καὶ τέχνης δυνάμεώς τε καὶ σοφίας ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ τὸν πανθαύμαστον μονόλιθον κίονα. ἐξηπάτησαν δέ τινας τῶν ἰδιωτῶν καὶ ἀφελεστέρων ἢ μᾶλλον εἰπεῖν ἀλογωτέρων μὴ εἶναι τοῦτον μονόλιθον

4—9 *cf.* Mal. *p.* 320, 6 Chron. Pasch. *p.* 528, 6 Polyd. *p.* 268 *fin.* Leo *p.* 87, 12.

4 *καὶ τὸ ἱππικὸν* PV. — 7 *σφόδρα σφόδρα* AP *σφόδρα alterum om.* rell. — 8 *Ἰλίου πόλεως scr. e* Mal. *ἡλιουπόλεως* (*ἡλίου πόλεως* R) ABPR *ἰλιούπολιν* (*ἡλ.* M) N *ἡλιούπολιν* rell. — 8 *κεφαλὴν αὐτοῦ* FLM. — 9 *πλωϊζόμενον* BEGM. — 13 *τὰ πλήθη* (*-ει* AE) ACELP. — 14 *εὐλόγησεν* FLNR. — 16 *διὰ*] *μετὰ* RV. — *μηχανῆς καὶ τέχνης* AP *μηχανῆς καὶ om.* rell. — 18 *ἐξηπατήθησαν δέ τινες* LR. — *ἀφελεστέρων καὶ ἰδιωτῶν* V *ἰδιωτῶν καὶ om.* R. — 19 *ἢ μᾶλλον εἰπ. ἀλογ. om.* FLR. — *ἀλογωτέρων* ABP *τῶν ἀλογ.* CENV.

7 *ἔφερεν* (*ἔ m. 2 in lit. ex ἤ*) P. — 9 *ἀκτῖνας ἑπτά. ναὶ μὴν ἀπὸ μὲν ῥώμης τρ. ἔτ. πλοϊζόμενος ἦλθε διὰ* P. — 11 *φόρου συρόμενος ἐνιαυτὸν ὁλόκληρον ἤχθη συνεχῶς τοῦ βασ. προσφ.* P. — 13. 14 *τοὺς ιβ' οὓς ὁ χριστὸς ἡγίασε κοφίνους καὶ μέντοι καὶ ξύλα.* P. — 18 *κίονα om.* P.

αἱ πρὸς διακόσμησιν καὶ εὐπρέπειαν αὐτοῦ χαλκαῖ ζῶναι καὶ οἱ πλεῖστοι λῶροι. καὶ πρὸς τούτοις ἔκτισε ναοὺς τῶν τε ἁγίων ἀποστόλων καὶ τῆς ἁγίας Εἰρήνης καὶ τοῦ ἁγίου 401 M *Μωκίου καὶ τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ Ἀνάπλῳ.*

Εἶτα ποιήσας καίσαρας Κωνστάντιον τὸν υἱὸν αὐτοῦ ἐν 5 *Κωνσταντινουπόλει καὶ Λικίνιον γαμβρὸν αὐτοῦ ἐν Νικομηδείᾳ τῆς Βιθυνίας κατὰ Περσῶν ἐστράτευσεν, ὑφ' ὧν παρακληθεὶς ὑποφόρους αὐτοὺς ποιήσας ὑπέστρεψεν. καὶ μαθὼν ἐν Νικομηδείᾳ ὅτι Λικίνιος τιμωρῶν ἐφόνευε τοὺς χριστιανοὺς ὀργίζεται κατ' αὐτοῦ μεγάλως. ὧν μεταξὺ πο-* 10 *λέμου γενομένου συνεσχέθη Λικίνιος ζῶν ἐν Χρυσοπόλει, καὶ τοῦτον ἐν Θεσσαλονίκῃ περιώρισεν. πάλιν δὲ νεωτερίζοντος αὐτοῦ καὶ ὅπλων ἁπτομένου, προστάξαντος Κωνσταντίνου ἀνῃρέθη.*

Ἡ δὲ μακαρία Ἑλένη εἰς Ἱερουσαλὴμ ἀπελθοῦσα πρὸς 15 402 M. *ἀναζήτησιν τοῦ τιμίου σταυροῦ καὶ τοῦτον εὑροῦσα ἔκτισεν ἐκκλησίας θαυμασίας καταλύσασα τὸν ἐπὶ τῷ δεσποτικῷ τάφῳ κτισθέντα ναὸν ὑπὸ τῶν ἀθέων τῇ Ἀφροδίτῃ. καὶ ὑποστρέψασα καὶ πολλὰ τῷ υἱῷ περὶ τῆς εἰς Χριστὸν πίστεως ἐντειλαμένη ἐτελεύτησεν ἐτῶν π', ἣν καὶ ἔθαψεν ὁ υἱὸς* 20 403 M. *αὐτῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν Κωνσταντινουπόλει. πάσης τοίνυν ἀρετῆς ἡ μακαρία κεκοσμημένη εἶχε*

2—4 Theod. Lect. *cf.* Cram. An. II *p.* 92, 33 Theoph. *p.* 23, 30; Polyd. *p.* 274, 2 Leo Gr. *p.* 89, 3. — 8—14 Theod. Lect. *cf.* Cram. *p.* 91, 19 Exc. Bar. Polyd. *p.* 262. — 15—18 ? *ib. cf.* Sozom. Hist. eccl. II, 1, 2. — 18—22 *cf.* Theoph. *p.* 27, 10.

1 *τὰς — χαλκᾶς ζώνας καὶ πλείστους λώρους ὁρῶντες* L. — *διακόσμησιν αὐτοῦ καὶ εὐπρ. χ.* AB. — 6 *λικίννιον* BCDLV *item v.* 9. — 8 *καὶ ὑποφόρους* FPR. — 9 *ὅτι λικ. ἐν νικομηδείᾳ* LR. — 11 *λικίννιος* BCLV. — 20 *ἣν καὶ* ABV *καὶ om.* rell. — 22 *πάσῃ* (*πᾶσι* M) *τοίνυν* (*om.* F) *ἀρετῇ* FLNV Exc. de virt. *πάσαις τ. ἀρεταῖς* B.

1 *αἱ χαλκαῖ* (*sed etiam antea αἱ inest*) P. — 5 *αὐτοῦ om.* P. — 6 *γαμπρὸν* P. — *αὐτοῦ om.* P. — 12 *καὶ πάλιν νεωτερίζειν καὶ ὅπλων ἅπτεσθαι μέλλοντα προσέταξεν ἀναιρεθῆναι* P Cram. — 20 *καὶ τελευτήσασα ἐτῶν π' ἐτάφη ἐν τῷ ναῷ τῶν ἀποστόλων* P Theoph.

καὶ τὴν χριστομίμητον ταπεινοφροσύνην πρὸς πάντας μέν, διαφερόντως δὲ πρὸς τὸ ἱερὸν τῶν μοναζόντων σχῆμα. τὰς γάρ τοι διὰ βίου τὴν παρθενίαν ἀσκούσας συναγείρουσα πολλάκις καὶ ἐπὶ στιβάδων κατακλίνουσα αὐτὴ δι' ἑαυτῆς
5 *καθυπούργει ὄψα παρατιθεῖσα καὶ κύλικας ὀρέγουσα καὶ ὕδωρ ταῖς χερσὶν αὐτῶν ἐπιχέουσα θεραπαίνης ἔργον ἐπλήρου. οὕτω δὲ καὶ τὸν ἀείμνηστον υἱὸν αὐτῆς ἐξεπαίδευεν ἄτυφον ἔχειν φρόνημα, ἀρετῆς καὶ πολιτείας ἀκριβοῦς ἐπιμελεῖσθαι, δουλεύειν τῷ θεῷ κατὰ τὴν γραφὴν μετὰ φόβου*
10 *καὶ τρόμου. ὃς καὶ αὐτὸς φυλάττων ἀκριβῶς τὰς αὐτῆς ἐντολὰς ἐκαρποφόρει ἑκατονταπλασίως. ἐπὶ τούτου γὰρ τοῦ μακαρίου καὶ οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες προσῆλθον τῷ ἁγίῳ βαπτίσματι, καὶ οἱ Ἀρμένιοι τελείως ἐπίστευσαν μετὰ καὶ τοῦ βασιλέως αὐτῶν Τηριδάτου διὰ τοῦ πολυάθλου μάρ-*
15 *τυρος καὶ μεγάλου Γρηγορίου ἀρχιεπισκόπου αὐτῶν.*

Ἐγένετο δὲ καὶ σεισμὸς ἐν Καμπανίᾳ καὶ κατέπεσαν πόλεις ιγ'. καὶ ἔκλειψις ἡλίου γέγονε περὶ ὥραν τρίτην
404 M. *τῆς ἡμέρας, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι. καὶ περὶ τὴν Μελιτινὴν χώραν ὄφεων παντοῖον γένος ἐκτείναν-*

2—11 Theodoret. H. eccl. I, 18. — 11—15 ? Theod. Lect. *cf.* Cram. *p.* 93, 3 Theoph. *p.* 24, 10 *sqq.* Leo Gr. *p.* 89, 17 *sqq.* — 16 *cf.* Theoph. *p.* 37, 33.

6 *θεραπαινίδος* FV Theod. — 7 *ἐξεπαίδευσεν* BCFR. — 13 *μετὰ καὶ τοῦ* AB Exc. *καὶ om.* rell. — 16 *καὶ ante σεισμὸς om.* EF. — *κατέπεσαν* ABP *κατέπεσον* rell. — 17 *περὶ ὥραν τρίτην* P *περὶ τρίτην ὥραν* R *ὥραν τρίτην* BCEG *τρίτην* (*om. ὥραν*) A *ὥρᾳ τρίτῃ* FLNV. — 19 *μελιτηνὴν* AV *et* recc. plerique *μελητινὴν* B *μελετινὴν* GM. — *παντοῖον* ADEPRV *παντοίων* BCFLM.

3 *διαβίου* P. — 4 *δι' ἑαυτῆς θεραπαίνης ἔργον ἐπλήρου διακονοῦσα καὶ ὄψα* P Theod. (*om. v.* 6 *θεραπ. ἔργ. ἐπλ.*). — 7—10 *sic in* P: *οὕτω δὲ καὶ τὸν υἱὸν ἀεὶ περὶ ἀρετῆς καὶ πολιτείας ἀρίστης καὶ εὐλαβείας καὶ φόβου θεοῦ ἐντελλομένη ἐξεπαίδευεν.* — 10 *ὃς καὶ* — 11 *ἑκατονταπλασίως om.* P. — 11. 12 *ἐφ' οὗ καὶ οἱ ἐνδ.* P. — 13 *ἁγίῳ om.* P. — 13—17 *ἐπίστευσαν διὰ τηρίδα τοῦ βασ. αὐτῶν καὶ γρηγορίου ἐπισκόπου αὐτῶν.* (*cf.* Theoph.) *καὶ μεγάλου σεισμοῦ γενομένου ἐν καμπ. κατέπ. π. ιγ'* P. — 18 *ὡς καὶ* P.

τες ἑαυτοὺς ἐπὶ διαστήματα ε΄, καὶ μαχησάμενοι κατέκτειναν ἀλλήλους ὡς καὶ τὴν χώραν ἐκ τῶν σωμάτων αὐτῶν ἐποζέσαι. καὶ Ἰουδαῖοι στασιάσαντες πρὸς τὸ οἰκοδομῆσαι τὸν ἐν Ἱεροσολύμοις ναόν, πολλοὺς ὁ θεῖος βασιλεὺς [Κωνσταντῖνος] τιμωρησάμενος διεσκόρπισεν, ἐν οἷς καὶ τὰ ὦτα αὐτῶν ἀποτεμὼν καὶ τὸ τῆς παρακοῆς καὶ προπετείας ἐνθεὶς αὐτῶν τῷ σώματι σύμβολον περιῆγε πανταχοῦ σωφρονίζων καὶ τοὺς ἄλλους πάντας μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν πράγμασιν. 5

Καὶ ἡ ἐν Νικαίᾳ δὲ σύνοδος τῶν τιη΄ ἁγίων πατέρων ἐγένετο διὰ προφάσεως τοιᾶσδε· ὁρῶν γὰρ ὁ μέγας οὗτος 10 βασιλεὺς Κωνσταντῖνος τὴν ἐκκλησίαν ὑπ' Ἀρείου ταραττομένην σύνοδον οἰκουμενικὴν συνεκρότησεν. καὶ τοὺς μὲν ἐπισκόπους πανταχόθεν δημοσίοις ἵπποις καὶ ἡμιόνοις εἰς τὴν ἔλευσιν τῆς συνόδου χρήσασθαι ἐκέλευσεν, αὐτὸς δὲ εἰς τὴν Νίκαιαν ἀφίκετο ἰδεῖν ἐφιέμενος τὴν πληθὺν τῶν ἀρχι- 15 ερέων καὶ τὴν ὁμόνοιαν αὐτοῖς πρυτανεῦσαι. συνεληλυθό- 405 M. των οὖν πάντων, οἶκον μέγιστον ἐν τοῖς βασιλείοις εὐτρεπισθῆναι κελεύσαντος καὶ θρόνους ἐν αὐτῷ τεθῆναι, οὕτως εἰσελθεῖν αὐτοὺς ἐπέτρεψεν. εἰσελθόντος δὲ καὶ αὐτοῦ ἔσχα-

9—*p.* 504, 8 Theodoret. H. eccl. I, 7 (*quibusdam e* Socr. H. eccl. I, 8, 17 *insert.*).

1 μαχεσάμενοι BFR. — 2 ἀποζέσαι EL. — 3 καὶ οἱ ἰουδ. FLMR. — 4 κωνσταντῖνος *om.* P *m. 1 in mg. adscr.* A. βασιλεὺς *om.* BL. — 6 αὐτῶν ἐνθεὶς A ἐνθ. ἑαυτῶν B ἐνθεὶς αὐτοῖς F. — 8 ἅπαντας AL. — 9 δὲ *om.* FPV *et* recc. quidam. — ἁγίων τιη΄ BF ἁγίων *om.* P. — 11 ὑπ' ἀρείου ABP ὑπὸ ἀρ. rell.

2 ἐπὶ πολὺ χρόνον συνεποζέσε P. — 5 διεσκέδασεν P. — 11 βασιλεὺς *om.* P. — 12 σύνοδον, ὥς φησι θεοδώρητος, οἰκουμενικὴν P. — 14 κελεύσας P. — 17 ἐν τοῖς βασ. εὐτρεπίσας καὶ βάραθρα (*l.* βάθρα) καὶ θρόνους τοῦτω (*l.* ἐν τούτῳ) κελεύσας τεθῆναι P Theod. — 19—*p.* 504, 5 *sic in* P: εἰσελθὼν δὲ καὶ αὐτὸς ἔσχατον σὺν ὀλίγοις ἐν μέσῳ ἔστη (Socr.). τοσαύτη γάρ τις — βασιλέα, ὥστε καθεσθέντων πάντων ἐξ ἐπιτροπῆς αὐτοῦ καὶ παρακλήσεως, εἶτα θρόνου μικροῦ τεθέντος εἰς τὸ μέσον οὐ πρότερον αὐτὸς ἐκάθισεν, ἕως ἂν παρ' αὐτῶν † ἐγκωμίων τὴν κεφαλὴν αὐτοῦ στεφανώσαντες, *quae in fine aperte mutila sunt.*

τον σὺν ὀλίγοις καὶ ἑστῶτος ἐν τῷ μέσῳ, προετρέψατο πάντας καθίσαι, εἶτα θρόνου μικροῦ τεθέντος κελευσθεὶς ὑπ' αὐτῶν ἐκάθισε καὶ αὐτὸς ἔσχατος πάντων· τοσαύτη τις εὐλάβεια καὶ αἰδὼς τῶν ἀνδρῶν κατεῖχε τὸν βασιλέα. καὶ οἱ
5 *μὲν τοῖς ἄνθεσι τῶν ἐγκωμίων τὴν κεφαλὴν αὐτοῦ στεφανώσαντες τὴν περὶ τὰ θεῖα σπουδὴν εὐλογίαις ἠμείψαντο, ὁ δὲ τοὺς περὶ τῆς ὁμονοίας τε καὶ συμφωνίας προσαγαγὼν λόγους πολλοὺς μὲν ἐφιλοφρονήσατο καὶ λόγοις καὶ δώροις, πολλὰς δὲ στιβάδας εὐτρεπισθῆναι προστάξας ἐπὶ τὸ αὐτὸ*
10 *πάντας ἑστίασεν, τοὺς μὲν ἀξιωτέρους ὁμοτραπέζους λαβών, τοὺς δὲ λοιποὺς εἰς τὰς ἄλλας τραπέζας διεῖλεν. θεασάμενος δέ τινας τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐκκεκομμένους καὶ μαθὼν ὡς ὑπὸ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν τοῦτο πεπόνθασιν, τὰ χείλη τοῖς τραύ-*
15 *μασι προσενήνοχε κατασπαζόμενος ἑλκύσειν ἐκεῖθεν εὐλογίαν τῷ φιλήματι πιστεύων. οὕτως ἦν ὁ θαυμάσιος ἀνὴρ ἐκεῖνος εὐλαβείᾳ καὶ πίστει καὶ μετριοφροσύνῃ λελαμπρυσμένος. τῇ δὲ ἐπαύριον οἱ ἐπίσκοποι πάντες καὶ ὁ βασιλεὺς εἰς ἕνα τόπον συνελθόντες καλοῦσι τὸν Ἄρειον σὺν τοῖς ὁμόφροσιν*
20 *αὐτοῦ εἰς τὴν σύνοδον ἐπιτρέποντες αὐτῷ συστῆναι τοῖς οἰκείοις δόγμασιν. ἦν δὲ τὰ δόγματα τοῦ ἀσεβοῦς καὶ τρισκαταράτου ταῦτα· οὐκ ἀεὶ ὁ θεὸς πατὴρ ἦν, ἀλλ' ἦν, ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν. οὐκ ἀεὶ ἦν ὁ τοῦ θεοῦ λόγος, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν· ὁ γὰρ ὢν θεὸς τὸν μὴ ὄντα ἐκ τοῦ*
406 M. 25 *μὴ ὄντος πεποίηκεν. διὸ ἦν ποτε, ὅτε οὐκ ἦν· κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ υἱός. οὔτε δὲ ὅμοιός ἐστιν ὁ υἱὸς κατ' οὐσίαν τῷ πατρί, οὔτε δὲ ἀληθινὸς καὶ φύσει τοῦ πατρὸς*

8—16 Theodoret. H. eccl. I, 11. — 22—*p.* 505, 16 Alexandri ep. Alexandriae epistola *ap.* Socrat. H. eccl. I, 6, 9.

7 *ὁμονοίας τε καὶ* ABP *τε om.* rell. — 13 *μαξιμιανοῦ καὶ διοκλητιανοῦ* L *διοκλητιανοῦ* (*om. καὶ Μαξ.*) Exc. de virt. — 16 *ἐκεῖνος ἀνὴρ* RV. — 22 *τοιαῦτα* RV. — 27 *οὔτε δὲ ἀληθινὸς* ABCR *οὔτε δὴ ἀληθ.* EGN *οὔτε ἀληθ.* FV Socr.

9 *πολλοὺς* P. — 21 *ἦν δὲ* — *p.* 505, 16 *ὑπάρχων om.* P.

λόγος ἐστίν, οὔτε δὲ ἀληθινὴ σοφία αὐτοῦ ἐστιν, ἀλλ' εἷς μὲν τῶν ποιημάτων καὶ γεννητός ἐστιν, καταχρηστικῶς δὲ λέγεται λόγος καὶ σοφία γενόμενος καὶ αὐτὸς τῷ ἰδίῳ τοῦ θεοῦ λόγῳ καὶ ἐν τῷ θεῷ σοφίᾳ, ἐν ᾗ καὶ τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ θεός. διὸ καὶ τρεπτός ἐστι καὶ ἀλλοι- 5 *ωτὸς τὴν φύσιν ὡς καὶ πάντα τὰ λογικά. ξένος τε καὶ ἀλλότριος καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος τῆς τοῦ θεοῦ οὐσίας, καὶ ἀόρατός ἐστιν ὁ πατὴρ τῷ υἱῷ· οὔτε γὰρ τελείως καὶ ἀκριβῶς γινώσκει ὁ λόγος τὸν πατέρα οὔτε τελείως ὁρᾶν αὐτὸν δύναται. καὶ γὰρ ἑαυτοῦ τὴν οὐσίαν οὐκ οἶδεν, ὡς* 10 *υἱός ἐστιν, δι' ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι' ὀργάνου κτίσῃ ὁ θεός, καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ἠθέλησεν ὁ θεὸς ποιῆσαι. ἠρώτησεν οὖν τις αὐτούς, εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τραπῆναι, ὡς ἐτράπη ὁ διάβολος, καὶ οὐκ ἐφοβήθησαν εἰπεῖν ὅτι· ναί, δύναται τραπῆναι,* 15 *τρεπτῆς γάρ ἐστι φύσεως γεννητὸς καὶ κτιστὸς ὑπάρχων.*

Ἀλλὰ τὸ κατὰ τὴν σύνοδον γεγονὸς θαῦμα οὐ δίκαιον σιωπῇ παραπέμψασθαι. πρὸς γὰρ τὸ παράδοξον τοῦ βασιλικοῦ διατάγματος καὶ φιλόσοφοι καὶ ῥήτορες ἐν τῇ συνόδῳ παρῆσαν διαλεκτικῆς ἐμπειρότατοι, ἐν οἷς ὑπῆρχέ τις Ἕλλην 20 *καὶ αὐτὸς παρὰ πάντων θαυμαζόμενος καὶ τοῖς ἐπισκόποις ὑπὲρ Ἀρείου πάμπολλα διαπληκτιζόμενος, ὥστε μεγάλην ἀκρόασιν ἐκ τῆς συμβολῆς γενέσθαι πλήθους ἐπισυντρέχοντος. οὐδὲ γὰρ οἷοί τε ἦσαν οἱ ἐπίσκοποι τὸν φιλόσοφόν τε καὶ ῥήτορα περιτρέψαι τέως διαλεγόμενον, ὅτι πᾶσι τοῖς* 25 *ἐπαγομένοις ῥᾷστα προσεφέρετο ἐπιλύων εὐφυῶς τὰ προτει-*

17—18 *cf.* Rufin. H. eccl. I, 2 *init.* Gelasius Cyciz. Hist. concil. Nicaen. II, 8 *init.* Migne Tom. 85, 1244 A. — 18—*p.* 507, 15 *cf.* Rufin. I, 3 Gelas. Cyciz. II, 13 Migne 1252 *praeter Spyridonis nomen et genus aliunde inserta.*

2 *γενητός* CD. — 6 *τὰ om.* AV — 11 *ἡμᾶς om.* AB. — 14 *ὡς ἐτράπη* — 15 *τραπῆναι om.* FM. — 16 *γενητὸς* DF. — 23 *συμβουλῆς* BL *et* A *in quo* υ *eras.* — *ἐπιτρέχοντος* ABV.

21 *παρὰ πάντας* P.

νόμενα καὶ δίκην ἐγχέλυος ἀκατάσχετος εὑρισκόμενος καὶ μηδενὶ λόγῳ κρατούμενος. ἐν οἷς γὰρ ἐδόκει συνέχεσθαι 407 M. *διολισθαίνων ἐπικρατεστέρως ἀντεφέρετο τῇ τῶν νοημάτων δεινότητι καὶ ῥημάτων εὐγλωττίᾳ τε καὶ στωμυλίᾳ. ἀλλ'* 5 *ἵνα δείξῃ ὁ θεὸς ὅτι οὐκ ἐν λόγῳ ἡ βασιλεία τῶν οὐρανῶν ἐστιν, ἀλλ' ἐν δυνάμει, ἄνθρωπός τις ἐκ τῶν ἁγίων Κύπριος μὲν τῷ γένει καὶ τῆς πόλεως ἐπίσκοπος ὀνόματι Σπυρίδων, ἁπλούστατος δὲ τὴν φύσιν καὶ ἰδιώτης τῷ λόγῳ σφόδρα, αἰτεῖται χώραν αὐτῷ διαλέξεως ἐπιδοθῆναι πρὸς τὸν φιλό-* 10 *σοφον. οἱ δὲ πατέρες τὸ ἁπλοῦν τε καὶ ἰδιωτικὸν τοῦ ἀνδρὸς εἰδότες ἐκώλυον αὐτόν, μήποτε παρὰ τοῖς μοχθηροῖς καταγελασθῶσιν. τοῦ δὲ μὴ ἀνεχομένου, πρόσεισι τῷ ἀνδρὶ καί φησιν· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἄκουσον, ὦ φιλόσοφε, τὰ τῆς ἀληθείας δόγματα. ὁ δὲ πρὸς αὐτὸν ἔφη·* 15 *ἐὰν εἴποις. κἀκεῖνος εἶπεν· γίνωσκε ὅτι ὁ θεὸς εἷς ἐστιν ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας, ὁ καὶ τὸν ἄνθρωπον ἐκ γῆς διαπλάσας καὶ τὰ ὁρατὰ πάντα καὶ ἀόρατα τῷ λόγῳ αὐτοῦ καὶ τῷ πνεύματι συστησάμενος. τοῦτον οὖν τὸν λόγον ἡμεῖς υἱὸν θεοῦ εἰδότες προσκυνοῦμεν πιστεύον-* 20 *τες διὰ τὴν ἡμετέραν σωτηρίαν ἐπ' ἐσχάτων ἐκ τῆς παρθένου τεχθῆναι καὶ διὰ σταυροῦ καὶ θανάτου καὶ ἀναστάσεως αὐτὸν ἐλευθερωκέναι τὸ γένος τῶν ἀνθρώπων, ὃν καὶ ἐλπίζομεν ἐλθόντα πάλιν κρῖναι πάντας ἐν δικαιοσύνῃ. πιστεύεις τούτοις, φιλόσοφε; ὁ δὲ ὡς ἄν τις μηδέποτε πεῖραν λόγων*

---

3 *ἐπικρατέστερος* ER. — *ἐφέρετο* B *ἀνεφαίνετο* E *ἀντεφαίνετο* R. — 6 *ἐστιν om.* R Exc. de virt. — *ἀλλ' ἐν δυνάμει ὁ ἅγιος Σπυρίδων ἰδιώτης ὢν τῷ λόγῳ* (*rell. om.*) Exc. de virt. — 7 *τῆς αὐτῆς πόλεως* L *τῆς πόλεως τριμηθούντων* (*τριμυθοῦντος* R *τριμιθουσίας* F) FRV. — 11 *διεκώλυον* BFV. — 15 *εἴποις* BDELP Exc. Gelas. *εἴπῃς* AFMRV *εἴπεις* C. — *ἀκούω post εἴποις add.* codd. *praeter* ABP *om. etiam* Exc. Gelas. — 16 *ὁ καὶ τὸν οὐρ.* AV. — 17 *καὶ τὰ ἀόρατα* ABDLV Exc. — 23 *πάντας*] *ζῶντας* L *ζῶντας καὶ νεκροὺς* A. — *πιστεύοις* DE. — 24 *τοῦτο* BMR. — *πεῖραν λόγων μηδέποτε* RV.

7 *καὶ τῆς πόλεως ἐπίσκοπος om.* P. — *τοὔνομα* P. — 15 *ὁ om.* P. — 24 *μηδεπώποτε* P Exc. Gelas.

ἔχων εἰς ἀντίθεσιν ἀπηνεώθη καὶ ὡς κωφὸς καὶ ἄλαλος ἀποσιωπήσας τοῦτο μόνον ἐφθέγξατο ὅτι· κἀμοὶ ταῦτα οὕτως ἔχειν δοκεῖ. καὶ ὁ γέρων φησίν· οὐκοῦν ἀναστὰς ἀκολούθει μοι πρὸς τὴν ἐκκλησίαν, καὶ λήψῃ τὸ σημεῖον τῆς πίστεως ταύτης. ὁ δὲ φιλόσοφος ἐπιστραφεὶς λέγει τοῖς μα- 5 *θηταῖς αὐτοῦ· ἀκούσατε, ὦ ἄνδρες. ἕως ὅτε λόγων ἐποιούμην σπουδήν, λόγους λόγοις ἀντετίθουν τὰ προσφερόμενα* 408 M. *καὶ τέχνῃ τοῦ λέγειν ἀνέτρεπον. ὅτε δὲ ἀντὶ λόγων δύναμίς τις ἐξῆλθεν ἐκ τοῦ στόματος τοῦδε τοῦ γέροντος, οὐκ ἴσχυσαν οἱ λόγοι τῇ δυνάμει ἀντιτάξασθαι. οὐδὲ γὰρ οἷός* 10 *τέ ἐστιν ἄνθρωπος ἀντιστῆναι θεῷ. διά τοι τοῦτο, εἴ τις ὑμῶν δύναται συνιέναι, ὡς κἀγὼ νενόηκα, πιστευσει εἰς Χριστὸν καὶ ἀκολουθείτω σὺν ἐμοὶ τῷ γέροντι τούτῳ, ἐν ᾧ ἐλάλησεν ὁ θεός. τούτῳ οὖν τῷ τρόπῳ γενόμενος ὁ φιλόσοφος χριστιανὸς ἔχαιρεν ἡττηθεὶς ὑπὸ τοῦ γέροντος. παρῆν* 15 *δὲ τηνικαῦτα καὶ ὁ θεῖος Παφνούτιος ἀνὴρ Αἰγύπτιος καὶ τερατουργὸς καὶ ὁμολογητής, οὗ τὸν δεξιὸν ὀφθαλμὸν Μαξιμιανὸς ἐξώρυξεν. ὃς καὶ τῆς συνόδου κανονίσαι θελούσης ὥστε κληρικὸν μὴ συνέρχεσθαι γυναικὶ πρὸς γάμον ὡς βαρὺν τὸν λόγον ἀνέτρεψε καὶ μόνοις ἐπισκόποις ἐτύπωσε τοῦτο* 20 *παραφυλάττεσθαι. μετὰ γοῦν πολλὴν τὴν τῆς σκέψεως ἀκρίβειαν ἔδοξε πᾶσιν ὁμοῦ δεῖν ὁρίσασθαι τὸ ὁμοούσιον ἐπὶ τῆς ὀρθοδόξου πίστεως, τοῦτ' ἔστι τῆς αὐτῆς οὐσίας καὶ φύσεως τῷ πατρὶ καὶ τὸν υἱὸν ὁμολογεῖν. ἣν δὴ καὶ κατὰ*

15—18 *cf.* Rufin. I, 4. — 18—21 Theod. Lect. *Cf.* Cram. *p.* 92, 12 Polyd. *p.* 282 *fin.* — 21—*p.* 508, 3 *cf.* Rufin. I, 5.

5 *στραφεὶς* AB. — 6 *ἀκούσατέ μου* RV. — *ὅτου* BV. — 7 *ἀντετίθουν καὶ τὰ προσφερ. τέχνῃ* Muralt. Gelas. — 8 *καὶ τέχνῃ τοῦ λ. ἀνέτρεπον om.* FN. — 12 *εἰς χριστὸν* ABP Exc. Gelas. *εἰς τὸν χρ.* rell. — 16 *καὶ τερατουργὸς om.* N *καὶ om.* F. — 19 *βαρὺ* codd. *praeter* BN.

2 *λέγων ὅτι* P. — 2. 3 *δοκεῖ οὕτως ἔχειν* P. — 6 *ὦ ἄνδρες om.* P. — *λόγων μὲν ἐπ.* P. — 16 *αἰγύπτιος τερατουργός τε καὶ* P.

κράτος καὶ συμφώνως ἐβεβαίωσαν παρεκτὸς Ἀρείου τοῦ ἀσεβοῦς καὶ ἄλλων ἓξ ὁμοφρόνων αὐτοῦ, οὓς καὶ ἀναθεματίσαντες οἱ θεῖοι τιη΄ πατέρες ὁ βασιλεὺς ἐξώρισεν.

Μετὰ δὲ ταῦτα φιλαπεχθήμονές τινες ἄνδρες κατά τινων
5 τῶν ἐπισκόπων ἐγγράφους ἐπέδωκαν τῷ βασιλεῖ κατηγορίας.
409 M. ὁ δὲ ταύτας δεξάμενος καὶ δεσμήσας καὶ τῷ δακτυλίῳ σημηνάμενος ἐκέλευσε φυλάττεσθαι. εἶτα πρὸς εἰρήνην αὐτοὺς καὶ ὁμόνοιαν συμβιβάσας καὶ ταύτας κομίσας ἐνώπιον πάντων κατέκαυσεν ὅρκῳ πληροφορήσας αὐτοὺς μηδὲν ἀναγνῶ-
10 ναι τῶν ἐν αὐταῖς γεγραμμένων. οὐ γὰρ ἔφη χρῆναι τὰ πλημμελήματα τῶν ἱερέων δῆλα γίνεσθαι τοῖς πολλοῖς, ἵνα μὴ σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες ἀδεῶς ἁμαρτάνωσιν. ἐγὼ δὲ εἰ αὐτόπτης ἐγενόμην ἐπισκόπου γάμον ἀλλότριον διορύττοντος, συνεκάλυψα ἂν τῇ πορφυρίδι μου
15 ταύτῃ τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψαιε τοὺς θεωμένους τῶν πραττομένων ἡ ὄψις. οὕτω τοίνυν τοὺς μὲν εὖ λέγοντας ἀνακηρύττων, τοὺς δὲ ἀντιλέγοντας παρακλητικῶς εἰς ὁμόνοιαν ἐλαύνων τοὺς πάντας ὁμογνώμονας καὶ ὁμοδόξους ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασι κατέστησεν.
20 καὶ οὕτω παραινέσας πάντας καὶ πολλῆς τιμῆς τε καὶ δω-

4—*p.* 509, 2 Theodoret. H. eccl. I, 11, 4. *insertis v. v.* 16—19 *ex* I, 13, 2.

2 οὓς καὶ ABP καὶ *om.* rell. — 3 πατέρες τιη΄ N. — 4 τινες ἄνδρες ABPV τινες *om.* rell. ἄνδρες *om.* Exc. de virt. — κατά τινας A κατά τινος B. — 8 καὶ ταύτας ABFPV Exc. καὶ *om.* rell. — 10 ἐν αὐτοῖς ERV. — ἐγγεγραμμένων AB Exc. — οὐ γὰρ FNP Exc. Theod. οὐδὲ γὰρ rell. — 11 γενέσθαι AMR. — 12 ἁμαρτάνουσιν FLN. — 15 βλάψειεν B (*sed* ει *lit. corr. vid.*) *et* Exc. βλάψεεν M. — 16 πραττομένων ABLP Exc. δρωμένων (δρεπομένων M) rell. Theod. — 17 εὐλογοῦντας F Exc. — 18 τοὺς δὲ πάντας CELRV.

2 ἄλλοι ἓξ ὁμόφρονες P. — 5 τῶν *om.* P Exc. — 9 κατέκαυσεν ὁμωμοκὼς (ὡς *add.?*) μηδὲν ἀναγνοὺς τῶν γεγραμμένων. P Theod. — 14 μου *om.* P. — 15 βλάψαι P. — 20 *Post* κατέστησεν P Theod. *add.*: ὡς ὁμόφωνον μὲν κρατῆσαι τὴν πίστιν, τῆς δὲ τοῦ πάσχα ἑορτῆς τὸν αὐτὸν παρὰ τοῖς πᾶσι καιρὸν ὁμολογηθῆναι.

ρεᾶς τοὺς ἱερέας ἀξιώσας ἕκαστον παρηγγύησε καταλαβεῖν τὴν ἰδίαν ποίμνην.

Ἡ δὲ πρώτη σύνοδος γέγονεν ἐν Νικαίᾳ συνελθόντων 413 M. τιη΄ ἁγίων πατέρων ἔτει τῆς Κωνσταντίνου τοῦ μεγάλου 414 M. βασιλείας κ΄. ταύτης ἡγοῦντο Σιλβέστρου τοῦ τῆς πρεσβυ- 5 τέρας Ῥώμης τοποτηρηταὶ Βίτων καὶ Βικεντίων πρεσβύτεροι, Μητροφάνης τοῦ Βυζαντίου, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, Μακάριος Ἱεροσολύμων κατὰ Ἀρείου πρεσβυτέρου γεγονότος Ἀλεξανδρείας, βλασφημοῦντος δὲ τὸν θεὸν λόγον κτίσμα καὶ ἑτεροούσιον τοῦ πατρός, καὶ ὅτι ἦν ποτε 10 ὅτε οὐκ ἦν δοξάζοντος. ὃν καθελοῦσα ἀνεθεμάτισε σὺν τοῖς ὁμόφροσιν αὐτοῦ, τὸν δὲ υἱὸν ὁμοούσιον καὶ συνάναρχον τῷ πατρὶ καὶ θεὸν ἀληθινὸν καὶ κτίστην πάντων ὀρθοδόξως ἐδογμάτισε κατὰ τὸν προφήτην τὸν λέγοντα· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ἐτύπωσε δὲ καὶ τὸ ἅγιον πάσχα 15 ἑορτάζειν ἡμᾶς κατὰ τὴν κρατοῦσαν συνήθειαν. τινὲς γὰρ τῶν πρώην κατὰ τὴν τεσσαρισκαιδεκάτην τῆς σελήνης ἑώρταζον.

Μετὰ δέ τινα χρόνον παρακληθεὶς ὑπὸ τῆς ἀδελφῆς αὐτοῦ Κωνσταντίας ἀνῆκε τὸν Ἄρειον ἐκ τῆς ἐξορίας ὡς 20 δῆθεν μετανοήσαντα. οὗ παραγενομένου καὶ ἐρωτηθέντος ὑπὸ τοῦ βασιλέως, εἰ στοιχεῖ τοῖς ὅροις καὶ τῇ ἐκθέσει τῆς ἐν Νικαίᾳ συνόδου, παρευθὺ κατέθετο πιστεύειν οὕτως. ὁ δὲ θαυμάσας ὅρκον ἐπήνεγκεν, καὶ ὁ Ἄρειος τοῦτον σο-

14 Psalm. 109 (110), 4. — 19—21 Theod. Lect.? *cf.* Socrat. H. eccl. I, 25. — 21—*p.* 510, 5 *cf. ib.* I, 38.

1 παρεγγύησε ACFN. — 3 σύνοδος Α΄. ἀπὸ γοῦν τῆς παρουσίας χριστοῦ ἕως τῆς α΄ συνόδου γίνονται ἔτη τιη΄ ABFR *in textu. Eadem fere rell. codd. in mg.* — σύνοδος *om.* AB. — 4 τῶν τιη΄ AM. — ἁγίων *om.* RV. — 17 τεσσαρεσκαιδεκάτην BF ιδ΄ ERV. — ἑόρταζον BCLR. — 19 παρακληθεὶς κωνσταντῖνος R. — 20 κωνσταντίας κωνσταντῖνος ὁ βασιλεὺς N. — ἐκ] ἀπὸ FNV *om.* P.

3—18 *om.* P. — 21 ὃς παραγενόμενος καὶ ἐρωτηθεὶς P. — 24 καὶ ὅρκον P Socr.

φιζόμενος, ὡς ἐνόμιζεν, καὶ τὸν ὅρκον ἀποκρουόμενος ἔφη· οὕτω φρονῶ ὡς καὶ ἐγγράφως. ἦν γὰρ ὁ ἄθλιος κατα-
415 M. γράψας τὴν ἑαυτοῦ δόξαν ἐν χάρτῃ καὶ ἐν κόλπῳ φέρων ὤμνυεν ἀληθῶς οὕτω φρονεῖν ὡς καὶ ἐγγράφως εἴη δηλαδὴ
5 πεποιηκώς. ὀμόσαντα δὲ μὴ φρονεῖν ἐναντία τῇ συνόδῳ ἀπέλυσεν αὐτὸν ὁ βασιλεὺς εἰρηκώς· εἰ μὲν ὀρθή σού ἐστιν ἡ πίστις, καλῶς ὤμοσας, εἰ δὲ ἀσεβὴς καὶ διεστραμμένη, κρίναι κύριος ὁ θεὸς τὰ κατά σε θᾶττον. ταύτῃ τοι καὶ τὸν μέγαν Ἀθανάσιον Ἀλεξανδρείας εἰς κοινωνίαν αὐτὸν
10 δέξασθαι παρεκελεύσατο ὡς ἅτε μετανοήσαντα. τοῦ δὲ μὴ καταδεξαμένου γινώσκοντος ἀκριβῶς τὴν Ἀρείου δυστροπίαν, ἐξορίζει τοῦ θρόνου τὸν ἅγιον πιστεύσας καὶ τὰς κατ' αὐτοῦ γενομένας ὑπὸ τῶν Ἀρειανῶν λοιδορίας. καὶ οὐ θαῦμα. πολλάκις γὰρ καὶ θεῖοι ἄνδρες κατά τινων εὐσεβῶν διαβο-
15 λὰς ἀκρίτως παραδεξάμενοι παρετράπησαν τῆς ἀληθείας καὶ τοὺς εὐσεβεῖς παρέβλαψάν τε καὶ παρελύπησαν, ὥσπερ οὖν
416 M. καὶ ὁ θεσπέσιος Δαυὶδ ἐξαπατηθεὶς ὑπὸ τοῦ οἰκέτου Σιβᾶ κατὰ τοῦ δεσπότου Μεμφιβοσθὲ ψευδηγοροῦντος, ὡς ὅτι τὰ τοῦ τυράννου Ἀβεσαλὼμ καὶ ἀντάρτου φρονεῖ, τοῦτον παρ-
20 έβλαψε καὶ τῶν ἰδίων ἀποστερήσας τῷ οἰκέτῃ προσαπεκλήρωσεν. ὅθεν χρὴ μετὰ πολλῆς ἀκριβείας τε καὶ σκέψεως ἐρευνᾶν τὰς κατηγορίας καὶ μὴ ὡς ἔτυχε τοῖς κατηγοροῦσι πιστεύειν, κἂν ἄγαν ὦσιν ἀξιόχρεοι. διὸ δὴ καὶ Νικόδημος πρὸς τοὺς παρανόμους Ἰουδαίους καταφορικῶς τε καὶ

5—8 Athan. Ep. ad Serapionem *apud* Theodoret. H. eccl. I, 14. — 8—13 *cf.* Socr. H. eccl. I, 27. — 14—23 *cf.* Theodoret. H. eccl. I 33.

11 καταδεξαμένου ABP καταδεχομένου rell. — 13 γινομένας FMR. — 17 σιβὰ ACDF. — 18 δεσπότου *om.* EFN. — ὡς *om.* MV. — 19 ἀβεσσαλὼμ BCNRV. — 20 προσαπεκλήρωσεν ABPV προσεκλήρωσεν rell.

1 ἀποκρουόμενος οὕτω φρονῶ, φησίν, ὡς P. — 3 ἐν τῷ κόλπῳ P. — 12 τὸν ἅγιον ὁ ἅγιος βασιλεὺς μάλιστά γε πιστεύσας P.

ἐντρεπτικῶς ἔφη· μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρῶτον καὶ γνῷ τί ποιεῖ. ἀμέλει γέ τοι καὶ οἱ τῶν ἔξω σοφοὶ τοῦτο προδήλως ὑπεμφαίνοντες οὕτω φασίν· ἡ μὲν ἀμφισβήτησις κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω, ἡ δὲ βάσανος τὸ 5 δέον ὁριζέτω, ὁ δὲ ὅρος γεγράφθω, τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία οἰχέσθω, καὶ πάλιν φιλία χορευέτω. οὐκοῦν οὐ δεῖ ἀπερισκέπτως καὶ ἀβασανίστως καταψηφίζεσθαι καὶ ῥιψοκινδύνως ἐκφέρειν τὰς ἀποφάσεις κατὰ τῶν κατηγορουμέ- 10 νων, ἀλλὰ μετὰ πλείστης ἐρεύνης τε καὶ ἐκζητήσεως ἀκριβεστάτης.

Ὡς ἐν ταῖς ἀποστολικαῖς διατάξεσί φησιν ὁ θεῖος λόγος· ἔστω δὲ ὁ κριτὴς ἀπροσωπόληπτος μήτε πλούσιον ἐντρεπόμενος ἢ κολακεύων παρὰ τὸ προσῆκον, μήτε πένητος φει- 15 417 M δόμενος. οὐ λήψῃ γάρ, φησίν, πρόσωπον δυνάστου, καί· πένητα οὐκ ἐλεήσεις ἐν κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις. καί· δικαίως τὸ δίκαιον διώξεται. καί· οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον. ὅθεν οὐ δεῖ πιστεύειν ὡς ἔτυχε τοῖς κατηγοροῦσιν ἀκρίτως καὶ ἀβασανίστως. ἐγχωρεῖ γάρ τινας 20 καὶ διὰ ζῆλον ἢ φθόνον κατά τινος ἀδελφοῦ ἐνστήσασθαι ψευδηγορίαν, ὡς οἱ δύο πρεσβύτεροι κατὰ Σωσάννης καὶ ἡ Αἰγυπτία ἐπὶ τοῦ Ἰωσήφ. σὺ οὖν ὡς θεοῦ ἄνθρωπος τὰ τοιαῦτα μὴ προχείρως παραδέχου, ἵνα μὴ ἀνέλῃς τὸν ἀθῷον

---

1 Joh. 7, 51. — 4—8 Isidor. Pelus. Epp. V, 204 Migne Tom. 78, 1456. — 14—17 Const. App. II, 41. — 16 Levit. 19, 15. — 17 Exod. 23, 3. — 18 Deuter. 16, 20. — Prov. 12, 21. — 20—*p.* 512, 1 Const. App. II, 37.

1 κρίνῃ ENP κρινεῖ C. — 2 πρότερον FP Joh. *om.* R. — 9 ἀβασ. λέγειν ἢ καταψηφίζεσθαι RV. — 11 ζητήσεως BER. — 13 ὁ θεολόγος A ὁ λόγος R. — 15 πένητι ACR πένητα P πενήτων R. — 18 δίκαιος CMP δικαίῳ F. — 22 κατηγορίαν AB (ψευδῆ κατηγορίαν Const.). — οἱ κατὰ CENV. — 23. 24 μὴ προχείρως τὰ τοιαῦτα ABV.

22 κατὰ] ἐπὶ τῆς P Const.

καὶ ἀποκτείνῃς τὸν δίκαιον. ἀθῷον γάρ, φησίν, καὶ δίκαιον οὐκ ἀποκτενεῖς οὐδὲ λήψῃ δῶρα ψυχὴν πατάξαι. τὰ γὰρ δῶρα ἐκτυφλοῦσιν ὀφθαλμοὺς σοφῶν καὶ λυμαίνονται ῥήματα δίκαια. εἰ οὖν ἀπροσωπολήπτως κρίνετε, ἐπιγνώ-
5 *σεσθε τὸν κατηγοροῦντα κατὰ τοῦ πλησίον αὐτοῦ μαρτυρίαν ψευδῆ, καὶ ἀποδείξαντες αὐτὸν συκοφάντην καὶ ψευδολόγον ποιήσατε αὐτῷ καθ' ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι τῷ πλησίον, καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν κατὰ τὸν θεῖον νόμον κυρίου· ὅσον γὰρ ἐπ' αὐτῷ ἐφόνευσε τὸν*
10 *ἀδελφὸν προλαβὼν τὰ ὦτα τοῦ κριτοῦ. γέγραπται γάρ· ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ τοῦ αἵματος ἐκείνου ἐκχυθήσεται τὸ αἷμα αὐτοῦ. καί· ἐξαρεῖς τὸ ἀναίτιον ἀπό σου αἷμα. οὐκοῦν ἐρευνᾶτε μετὰ πολλῆς ἀκριβείας περὶ τῶν ἐνεχομένων καὶ πρῶτον περὶ τοῦ κατηγοροῦντος, ὁποία τίς ἐστιν*
15 *ἡ ἀναστροφὴ αὐτοῦ. καὶ ἐὰν εὐσυνείδητος καὶ ἀξιόπιστος εὑρεθῇ, μὴ πιστευέσθω μόνος· παράνομον γὰρ τὸ τοιοῦτον· ἀλλ' ἐχέτω καὶ ἑτέρους μάρτυρας εὐλαβεῖς καὶ ὁμοτρόπους, ἵνα ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων ἀξιοχρέων δη-*
418 M. *λονότι σταθήσεται πᾶν ῥῆμα. διὰ τί δὲ εἴπομεν τὸν τρό-*
20 *πον αὐτῶν ἐπιζητεῖσθαι; διότι πολλάκις ἐγχωρεῖ καὶ τοὺς δύο καὶ τοὺς πλείονας ἐπὶ κακῷ μαρτυρῆσαι καὶ συμφώνως ψευδηγορῆσαι, ὡς τοὺς δύο πρεσβυτέρους κατὰ Σωσάννης ἐν Βαβυλῶνι καὶ τοὺς υἱοὺς τῶν παρανόμων κατὰ Ναβουθὲ ἐν Σαμαρείᾳ καὶ τὸ πλῆθος τῶν Ἰουδαίων κατὰ τοῦ κυρίου*
25 *ἐν Ἱερουσαλὴμ καὶ κατὰ Στεφάνου τοῦ πρωτομάρτυρος*

1—12 Const. App. II, 42. — 1 Exod. 23, 7; 8. — 8 Deuter. 17, 7. — 10 Gen. 9, 6. — 12 Deut. 21, 9. — 13—*p.* 513, 12 Const. Apost. II, 49. — 18 Deut. 19, 15; 2 Cor. 13, 1.

1 *φησίν post καὶ δίκαιον ins.* C *om.* BR. — *καὶ om.* V. — 4 *δίκαια om.* FN. — 8 *τὸ πονηρὸν* BCE *et* recc. quidam *αὐτὸ πονηρὸν* recc. alii. — 15 *αὐτοῦ ἡ ἀναστροφή* AB. — *ἀνατροφὴ* CM. — 18 *ἀξιόχρεων δηλονότι om.* F Const. — 23 *ναβουθαὶ* B Const.

1 *ἀποκτείνῃς*] *ἀποκτενεῖς* P. — 10 *γάρ*] *δέ* P Const.

αὐτοῦ. ἔστωσαν οὖν οἱ μάρτυρες πραεῖς ἀόργητοι ἐπιεικεῖς ἀγαπητικοὶ σώφρονες ἐγκρατεῖς ἀπερίεργοι θεοσεβεῖς. ἡ γὰρ τῶν τοιούτων μαρτυρία βεβαία πάντως ὑπάρχει. τῶν δὲ μὴ τοιούτων μὴ παραδέχεσθε τὰς μαρτυρίας κἂν συμφωνεῖν δοκῶσιν ἐπὶ τῇ καταμαρτυρίᾳ. προστέτακται γὰρ ἐν τοῖς 5 *νόμοις· οὐκ ἔσῃ μετὰ πολλῶν ἐν κακίᾳ, οὐ παραδέξῃ ἀκοὴν ματαίαν, οὐ συγκαταθήσῃ μετὰ πλήθους ἐκκλῖναι τὸ δίκαιον. ἐν μέρει δὲ καὶ τὸν κρινόμενον εἰδέναι ὀφείλετε ὁποῖός ἐστι τῇ τοῦ βίου συνηθείᾳ καὶ ἀναστροφῇ μεμαρτυρημένος τὸν βίον, εἰ ἀνέγκλητος καὶ ἀδιάβλητος, εἰ ὅσιος* 10 *καὶ φιλόξενος καὶ φιλόπτωχος, εἰ σώφρων καὶ ψεύδους καθαρός, εἰ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. μακάριος γὰρ ὁ τοιοῦτος, ἐὰν πειρασθῇ καὶ δόκιμος ἀναφανῇ. ἀνὴρ γάρ, φησίν, ἀπείραστος ἀδόκιμος παρὰ θεῷ. καὶ οὕτω δοκιμασθεὶς ἐπὶ ψεύσματι λέξει καὶ αὐτὸς εἰκό-* 15 *τως· εἶδες, κύριε, μὴ παρασιωπήσῃς, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.*

---

6 Exod. 23, 1; 2. — 16 Psalm. 34 (35), 22. — Psalm. 26 (27), 12.

5 *καταμαρτυρίᾳ* APV Const. *μαρτυρίᾳ* rell. — 7 *συγκαταθήσει* CF *συγκαθεσθήσῃ* V *συγκαθήσῃ* M *συγκαθίσει* E *σηνκαθήσῃ* (*-ίσῃ* alii) R. — 9 *ἀνατροφῇ* AM. — *εἰ μεμαρτυρημένος* R Const. — 14 *παρὰ τῷ θεῷ* B *et* recc. quidam. — 15 *λέξει* ABPV *λέγει* CEFN *ὃ λέγεται* recc. quidam *ὁ λέγων* recc. alii.

6 *ἐπὶ κακίᾳ* P Const. Exod. — *οὐδὲ παραδέξει* P. — 11 *εἰ σώφρων καὶ ἀψευδὴς καὶ ἀμέθυσος καὶ ἀπεχ. ἀπὸ παντὸς ἔργου πονηροῦ* P (*μὴ μέθυσος etiam* Const.). — 17 *Post ἑαυτῇ* P *add.*: *καί· κρῖνόν με, κύριε, κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν καὶ κατευθυνεῖς δίκαιον* (Psalm. 7, 9; 10). *ταύτῃ τοί φησιν ὁ σοφὸς* (Sir. 11, 7) *πρὶν ἐξετάσεις μὴ μέμψῃ. νόησον πρῶτον ἀκριβῶς καὶ τότε ἐπιτίμα. καί·* (Sir. 19, 17) *ἔλεγξον τὸν πλησίον πρὶν ἀπειλῆσαι, καὶ δὸς τόπον νόμῳ ὑψίστου. καί·* (Sir. 19, 15) *ἔλεγξον τὸν φίλον. πολλάκις γὰρ γίνεται διαβολή, καὶ μὴ παντὶ λόγῳ πίστευε.* (Sir. 19, 4) *ὁ γὰρ ταχὺ ἐμπιστεύων κοῦφος καρδίᾳ. καί·* (Prov. 17, 15) *ὃς δίκαιον κρίνῃ τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον βδελυκτὸς παρὰ θεῷ.*

Ἴδετε καὶ τὰ κοσμικὰ δικαστήρια, ὧν τῇ ἐξουσίᾳ ὁρῶμεν ἀγομένους φονεῖς μοιχοὺς φαρμακοὺς τυμβωρύχους λῃστάς, καὶ τὰς ἀνακρίσεις αὐτῶν λαμβάνοντες ὑπὸ τῶν προσαγόντων οἱ ἡγούμενοι λέγουσι τῷ κακούργῳ, εἰ ταῦτα 5 οὕτως ἔχοι. κἀκείνου συγκατατιθεμένου καὶ ὁμολογοῦντος οὐκ εὐθέως ἐπὶ τὴν κόλασιν αὐτὸν ἐκπέμπουσιν, ἀλλὰ πλεί- 419 M. οσιν ἡμέραις τὴν ἐξέτασιν αὐτοῦ ποιοῦνται μετὰ συμβουλίας καὶ σκέψεως πολλῆς καὶ ζητήσεως, καὶ οὕτω τελευταῖον ὅρον καὶ ψῆφον θανάτου ὁ μέλλων ἐκφέρειν κατ' αὐτοῦ 10 πρὸς τὸν ἥλιον ἐπάρας τὰς χεῖρας ἐπὶ πάντων διαμαρτύρεται ἀθῶος ὑπάρχειν τοῦ αἵματος τοῦ ἀνθρώπου, καίτοι ὄντες ἐθνικοὶ καὶ ἄθεοι καὶ μόνην τὴν φύσιν ἔχοντες διδάσκαλον. ὑμεῖς δὲ γινώσκοντες θεὸν τὸν ἐτάζοντα καρδίας καὶ νεφροὺς καὶ συνιόντα εἰς πάντα τὰ ἔργα ἡμῶν πόσῳ 15 μᾶλλον ὀφείλετε μετὰ πολλῆς ἐρεύνης τὴν δικαίαν κρίσιν κρίνειν, ὅτι τοῦ κυρίου ἡ κρίσις τοῦ μέλλοντος ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. διὰ δὴ τοῦτο παραινεῖ καὶ προμαρτύρεται διαρρήδην Σολομὼν λέγων· ἀκούσατε καὶ ἐνωτίσασθε πάντες οἱ κρατοῦντες πλήθους, ὅτι παρὰ κυρίου 20 ἐδόθη ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ ὑψίστου, ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει, ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας οὐκ ἐκρίνατε ὀρθῶς οὐδὲ ἐφυλάξατε νόμον οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε. φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν ἔρευνα, ὅτι

1—13 Const. Apost. II, 52. — 13 Psalm. 7, 10: 32 (33), 15. — 16 Rom. 2, 6. — 18 Sap. 6, 1 *sqq.*

5 *ἔχοι* ACDPV *ἔχει* rell. Const. — *συγκαταθεμένου* CR Const. *συγκατιθεμένου* P.

1 *ἴδετε δὲ καὶ* P (*δὲ etiam* Const.). — 2 *τυμβωρύχους om.* P. *invit.* Const. — 16 *ἀνταποδοῦναι* P. — 17 *Post αὐτοῦ* P *add.: ἐπείπερ σειραῖς τῶν ἑαυτοῦ ἁμαρτημάτων ἕκαστος σφίγγεται* (Prov. 5, 22). *καί· ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ γέγραπται* (Jes. 62, 11). — 18 *σολ. ὁ σοφώτατος λέγων* P. — 19 *κατοικοῦντες* P.

κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται. ὁ γὰρ ἐλάχιστος σύγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. καὶ ὁ κύριός φησιν· ᾧ μὲν γὰρ ὀλίγον δοθήσεται, ὀλίγον καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ, ᾧ δὲ πολὺ δοθήσεται, πολὺ καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ. 5

Καὶ μέντοι καὶ ὁ μέγας Ἰσίδωρος ἔφη· χρὴ τοὺς τῶν πραγμάτων κριτὰς ὀξυτάτους εἶναι καὶ περιεσκεμμένους ἄγαν περὶ τὸ νοεῖν καὶ ἀνακρίνειν καὶ διακρίνειν ἀπαθῶς καὶ ἀπροσωπολήπτως, τοῦ γὰρ κυρίου ἡ κρίσις, ἵνα καὶ τὴν τῶν λεγόντων δεινότητα καὶ τὴν τῶν λεγομένων πιθανότητα 10 *παρέντες εἰς αὐτὸ τὸ βάθος τῶν νοημάτων χωρῆσαι δυνηθεῖεν κἀκεῖθεν μετὰ πολλῆς ἐξετάσεως καὶ περιόδου καὶ μὴ θᾶττον κατὰ συναρπαγήν, ἀλλὰ μετὰ πλείστης μακροθυμίας καὶ ἀνεξικακίας θηρεύσαντες ἀνιμήσασθαι τὴν ἀλήθειαν. οἱ μὲν γὰρ τῶν ἀνθρώπων διὰ βραδυτῆτα νοῦ τοῦ δικαίου* 15 *καλῶς οὐκ ἐφικνοῦνται, οἱ δὲ δι' ὀξύτητα μὲν ἐφικνοῦνται, διὰ δὲ φιλοχρηματίαν καπηλεύουσι χρυσῷ προπίνοντες τὴν ψῆφον καὶ τὸν τῆς δικαιοσύνης ζυγὸν λήμματι παρασαλεύοντες. εἰσὶ δὲ ἕτεροι οἱ καὶ αἰδοῖ καὶ κολακείᾳ καὶ φόβῳ καὶ φιλίᾳ ἢ ἔχθρᾳ διαφθείροντες τοῦτο. διά τοι ταῦτα* 20 *χρὴ τὸν κριτὴν καὶ συνετὸν εἶναι καὶ ἀδέκαστον καὶ χρημάτων καὶ αἰδοῦς καὶ κολακείας καὶ φόβου καὶ φιλίας καὶ*

[420 M.]

---

3 Luc. 12, 48. — 6—14 Isidor. Pelus. Epp. III, 9 Migne Tom. 78, 733. — 15—*p.* 516, 5 Isid. III, 175 Migne 865.

3 *γὰρ om.* MV. — 4 *πολὺν καὶ* CEN. — 8 *περὶ*] *ἐπὶ* N. — 9 *τοῦτο γὰρ ἡ κρίσις* B *τοῦ γὰρ κρίσις* R. — 10 *καὶ τὴν τῶν λεγομένων πιθανότητα om.* B *et* recc. quidam. — *τὴν om.* AP. — *πειθανότητα* ACDF. — 13 *κατὰ* BPR *καὶ κατὰ* rell. — 15 *βραδύτητα* EFMR *βραχυτῆτα* D. — 16 *οἱ δὲ — ἐφικνοῦνται om.* ACR. — 19 *δὲ καὶ ἕτεροι* ABF.

1 *ὑπάρχουσι* P. — 2 *ἐτασθήσονται καὶ τοῖς κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα. καὶ μέντοι γε καὶ ὁ κύριός φησιν* P. — 19 *δὲ ἕτεροι om.* P (*ἕτεροι om. etiam* Is.). — 20. 21 *χρὴ τοιγαροῦν τὸν κριτὴν* P Is.

ἔχθρας κρείττονα. εἰ γὰρ ὁποτέρῳ τῶν τοιούτων παθῶν χειρωθείη, τὰ πάντα διαφθείρει καὶ ἀπόλλυσιν. εἰ τοίνυν τὸ μὲν εὑρεῖν τὸ δίκαιον ἔργον, τὸ δὲ μὴ διαφθείρειν εὑρόντα ἐργωδέστερον, οὐ δεῖ ἐπιρρίπτειν τινὰ ἑαυτὸν τῷ
5 *κρίνειν. τότε γοῦν ὁ ὀρθὸς ὅρος τῆς δικαιοσύνης σώζεται, ὅταν τῇ μὲν αἰτίᾳ ἡ κρίσις, τῇ δὲ κρίσει ὁ ἔλεγχος, τῷ δὲ ἐλέγχῳ ἡ ψῆφος ἡ πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος τὴν τιμωρίαν ὁρίζουσα.*

Ὁ τοίνυν μέγας Ἀθανάσιος οὐ μόνον ὑπὸ τοῦ βασιλέως
10 *Κωνσταντίνου διὰ τὰς τῶν Ἀρειανῶν κακουργίας ἐξωρίσθη,*
421 M. *ἀλλά γε καὶ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίου καὶ διαδόχου. φησὶ γάρ· ὁ δὲ ἅγιος Ἀθανάσιος γνοὺς πάλιν καὶ τὸν βασιλέα Κωνστάντιον τὰ τῶν Ἀρειανῶν κρατύνειν βουλόμενον, καὶ τοὺς Ἀρειανοὺς συσκευαζομένους ἀθέμιτα αὐτοῦ κατηγο-*
15 *ρεῖν ἐπὶ διεφθαρμένου δικαστηρίου, μηδενὶ θαρρήσας αἰφνίδιον ἐν μεσαιτάτῃ νυκτὶ ζητούμενος κατέφυγε πρός τινα παρθένον ἁγίαν, ἥτις ἐπὶ τῷ πράγματι ξενισθεῖσα διηπόρει τὴν ἄφιξιν. ὁ δὲ μακάριος πατριάρχης λέγει πρὸς αὐτήν· ἐπιζητοῦμαι παρὰ τῶν Ἀρειανῶν καὶ ἀθέμιτα λοιδοροῦμαι.*
20 *ἵνα δὲ μὴ κἀγὼ δόξαν ἄλογον ἀπενέγκωμαι καὶ εἰς ἁμαρ-*

5—8 Isid. III, 365 Migne 1017. — 9—*p.* 517, 13 *cf.* Vitam Athanasii quae in editis Metaphrasti adscribitur *cp.* 13 Migne Tom. 25 *p.* CCXL. — 9—*p.* 518, 2 *cf. etiam* Pallad. Hist. Laus. *cp.* 136 Migne Tom. 34, 1235.

4 *τῷ*] *τὸ* CDEPV *εἰς τὸ* F *om.* R. — 5 *ὁ ὅρος ὀρθῶς* AB. — *ὁ om.* CPR. — 6 *ἡ κρίσις ἀκολουθήσῃ* Isid. — 14 *αὐτοῦ* APR *αὐ̃* B *αὐτῷ* rell. — 16 *μεσετάτῃ* F *μεσεστάτῃ* M *μεσιτατάτη* A *μέσῳ τῇ* C *μεσωτάτη* (*μέσω ταύτην* alii) R.

2 *καὶ ἀπόλλυσιν om.* P Isid. — 5 *ὀρθὸς τῆς δικαιοσύνης* (*δίκης* Is.) *ὅρος* P Is. — 9 *βασιλέως*] *θείου* P. — 11 *κωνσταντίου om.* P. — 14 *συσκευαζ. αὐτὸν καὶ σπουδάζοντας ἀθέμ. κατηγ. αὐτοῦ κατὰ συκοφαντίαν ἐπὶ* P Vita. — 16 *πρός τινα παρθένον ὡραιοτάτην πάνυ καὶ φευκτὴν διὰ τὸ ἀμήχανον κάλλος καὶ τὸ νέον τῆς ἡλικίας* P (*cf.* Vitam *et* Pallad. *initio capitis*). — 17—19 *ἥτις ἐπὶ τῷ πράγματι ξενισθεῖσα φησὶν ὁ δίκαιος· ἐπιζητοῦμαι* P.

τίαν ἐμβάλω τοὺς τιμωρήσασθαί με βουλομένους φυγεῖν ἐνεθυμήθην. ἀπεκάλυψεν οὖν μοι ὁ θεὸς τῇ νυκτὶ ταύτῃ λέγων· παρ' οὐδενὶ σωθῆναι μέλλεις, εἰ μὴ παρ' ἐκείνῃ τῇ παρθένῳ. καὶ γὰρ ἀεὶ τὰς κατ' αὐτοῦ προγινώσκων ἐπιβουλὰς ἐκ θείας ἀποκαλύψεως ὁ θεοφόρος οὗτος ἀπεδίδρασκεν, ὅθεν ὡς γόητα καὶ φαρμακὸν αὐτὸν οἱ τῆς ἀληθείας ἐχθροὶ διέβαλλον. ἡ οὖν παρθένος ἀπωσαμένη πάντα λογισμὸν ὡς ἐκ θεοῦ πεμφθέντα κατέκρυψεν αὐτὸν ἔτη ϛ' μέχρι τῆς Κωνσταντίου ζωῆς, ἥτις καὶ μόνη περινίπτουσα τοὺς πόδας αὐτοῦ καὶ τὰ περιττώματα διακονοῦσα καὶ τὰς χρείας αὐτῷ πάσας οἰκονομοῦσα καὶ βιβλία κιχρωμένη καὶ παρέχουσα διετέλεσεν. καὶ οὐδεὶς ἀνθρώπων Ἀλεξανδρείας πάσης ἐν τοῖς ἓξ ἔτεσιν ἔγνω, ποῦ ἐστιν ὁ πατριάρχης. Ἰουλιανοῦ δὲ τὸ κράτος περιθεμένου καὶ σπουδάζοντος τὰ παρὰ Κωνσταντίου διαπραχθέντα πάντα ἀνατρέπειν τοὺς ἐξορισθέντας ἅπαντας ἀνεκαλέσατο. ὅπερ γνοὺς ὁ ἅγιος Ἀθανάσιος ἐξελθὼν ἐκ τοῦ οἴκου τῆς παρθένου πάλιν ἐν τῇ νυκτὶ πρὸς τὴν ἐκκλησίαν παρεγένετο. ὃν οἱ Ἀλεξανδρεῖς θεασάμενοι καὶ τὸν θεὸν δοξάσαντες ὡς ἐκ νεκρῶν ἐδέξαντο ζῶντα. καὶ δὴ τοῖς γνησίοις αὐτοῦ φίλοις ἀπελογεῖτο λέγων· τούτου χάριν πρὸς ὑμᾶς οὐ κατέφυγον, ὅπως εὔορκον ὑμῖν καὶ ἀτάραχον ποιήσω τὴν ὑποχώρησίν μου. διὸ πρὸς ἐκείνην ἀπῆλθον, πρὸς ἣν ὑποψίας ἀφορμὴν οὐδεὶς ἐλάμ-

(5, 10, 15, 20 — 422 M.)

4—7 Theod. Lect. *cf.* Cram. An. II, 95, 29. — 14—*p.* 518, 21 *cf.* Vitam Athanas. *cp.* 15 Migne *p.* CCXLII.

2 *τῇ νυκτὶ ταύτῃ* ABFNP *ταύτῃ τῇ νυκτὶ* CERV Vita Pall. — 5 *οὕτως* AP. — 6 *φαρμάκον* A *φάρμακον* P. — 13 *ἔγνω τὸ γεγονός, ἢ ποῦ* N. — 22 *ὑμῶν* RV. — *ποιήσω καὶ ἀτάραχον* AB.

13 *ὁ πατριάρχης*] *ἀθανάσιος* P. — 14 *ἰουλιανὸς — περιθέμενος — σπουδάζων* P Vita. — 15 *περιορισθέντας* P Vita. — 16 *ὁ ἅγιος om.* P. — 18 *παρεγένετο*] *ἦλθεν* P. — 19 *καὶ τὸν θεὸν δοξάσαντες om.* P Vita Pall. — 23 *πρὸς ἣν ὑποψίαν οὐδεὶς ἔχειν ἠδύνατο διὰ τὸ τῆς ὄψεως εὔοπτον καὶ δυσπρόσιτον* P (*Similia* Vita Pall.).

βανεν, δύο μνηστευσάμενος, τὴν σωτηρίαν ἐκείνης (ὠφέλησα γὰρ αὐτὴν σφόδρα) καὶ τὴν ἐμὴν δόξαν. ὁ δέ γε Ἰουλιανὸς ἐπιτερπόμενος τοῖς εἰδώλοις αὖθις τὴν ἐκκλησίαν ἐτάραττε τὰ τῶν Ἑλλήνων ἀνοίγων ἱερὰ καὶ θυσίας ἐπιτελῶν
5 τῇ Κωνσταντινουπόλεως Τύχῃ δημοσίᾳ ἐν τῇ βασιλικῇ, ἔνθα τῆς αὐτῆς Τύχης τὸ ἄγαλμα καθίδρυται. κἀντεῦθεν οἱ τῇ πλάνῃ τῶν εἰδώλων δεδουλωμένοι βουλὴν εἰσηγήσαντο πρὸς τὸν βασιλέα ὡς οὐκ ἄλλως περιέσεσθαι τῶν χριστιανῶν, εἰ μὴ Ἀθανασίου ἀπαλλαγεῖεν ἅτε δὴ θεμελίου ὄντος τῆς κατ'
10 αὐτῶν ἐκκλησίας. διὰ τοῦτο γοῦν πάλιν δικαστῶν κινήσεις, [πάλιν λαοί], πάλιν στρατιῶται, πάλιν βουλαὶ καὶ δῆμοι ἐκμαινόμενοι καὶ ταρασσόμενοι Ἀθανάσιον ἀπαιτούμενοι. διὸ δὴ πάλιν νύκτωρ ἀποδράντος αὐτοῦ καὶ περὶ τὸν Νεῖλον γενομένου μέλλοντος εἰς πλοῖον εἰσέρχεσθαι, περιστάντες οἱ
15 γνήσιοι φίλοι μετὰ δακρύων πρὸς αὐτὸν ἔλεγον· ποῦ πάλιν ἀναχωρεῖς, ὁ ποιμὴν ὁ καλός, καὶ τίνι καταλιμπάνεις ἡμᾶς ὡς πρόβατα μὴ ἔχοντα ποιμένα; πρὸς οὓς φησιν ὁ καλὸς ποιμήν· μὴ κλαίετε, τέκνα, μὴ κλαίετε· νεφύδριόν ἐστι φθινοπωρινὸν οὗτος ὁ τάραχος, πρὸς ὀλίγον μὲν φαινόμενος,
20 ὀξέως δὲ διαλυόμενος. μὴ ῥαθυμεῖτε, τέκνα· τάχιον ἐλεύσομαι πρὸς ὑμᾶς θεοῦ κελεύοντος. ὅπερ δὴ καὶ γέγονεν.

21—*p.* 519, 8 Similia Cram. *l. l.*

4 Ἑλλήνων] εἰδώλων ERV. — καὶ θυσίας ἐπιτελῶν *om.* FN *sed in* F *v.* 6 *post* καθίδρυται *add.*: θυσίας ἐπετέλει. — 9 κατ' αὐτὸν MV κατ' αὐτοὺς R αὐτῶν (*om.* κατ') B. — 10 δικαστῶν —11 στρατιῶται πάλιν *om.* F. — 11 πάλιν λαοί *om.* BP Vita. — 12 καὶ ἀθανάσιον FV. — 13 τὸ νεῖλον ER τὸν εἶλον C. — 14 γενομένου ABV γενόμενον R λεγόμενον CELN *om.* F. — 18 νεφίδρυον AFV ἐφύδριον B νεφήδιον (-ίδιον R -είδιον G) GMR. — 20 ῥαθυμῆτε BPRV.

6 τὸ *om.* P. — 9 ὄντος αὐτοῦ τῆς P Vita. — 10 δικαστῶν κίνησις πάλιν στρατὸς πάλιν βουλὴ καὶ δῆμος ἐταράττετο ἀθαν. P Vita. — 13 ἀποδρὰς καὶ π. τ. ν. εἰς πλοιάριον ἐμβὰς περιστάντες P. — 18 μὴ κλαίετε ὦ τέκνα μὴ κλαίετε μηδὲ ῥαθυμῆτε, νεφ. γάρ ἐστι P. — 19 πρ. ὀλιγ. φαινόμενος μέν, ὀξ. δὲ ἀφανιζόμενος. καὶ τάχειον P (Similia Vita). — 21 ὅπερ δὴ καὶ γέγ. μετ'

μετὰ γὰρ ὀλίγον χρόνον, τῶν Ἑλλήνων ὁρώντων περιϊπταμένας κορώνας ἐπὶ τὸν ναὸν τοῦ Σεράπιδος ἐν Ἀλεξανδρείᾳ καὶ κραζούσας σφοδρῶς ἔλεγον πρὸς αὐτὸν ἐμπαικτικῶς· εἰπὲ ἡμῖν, κακόγηρε, τί κράζουσιν αἱ κορῶναι; ὁ δὲ ἅγιος 423 M. *πρὸς αὐτούς· αἱ κορῶναι φωνοῦσι κρὰ κρά, τὸ δὲ κρὰ τῇ* 5 *Ἀσσυρίων φωνῇ αὔριόν ἐστιν, ὅθεν αὔριον ὄψεσθε τὴν τοῦ θεοῦ πρόνοιαν καὶ τὴν ἡμετέραν δόξαν. καὶ τῇ ἐπαύριον ἠγγέλθη ὁ θάνατος τοῦ ἀποστάτου Ἰουλιανοῦ. ἐπανῆλθε γὰρ ἐκ Περσίδος νεκρὸς ἐβδελυγμένος μήτε ἐλεούμενος μήτε οἰκτειρόμενος, ὡς δὲ πολλοῖς διαρρήδην ἡ φήμη, μηδὲ τῷ* 10 *τάφῳ προσδεχόμενος, καὶ πολλῆς ταραχῆς καὶ θορύβου ἐπλήρωσε τοὺς Ἕλληνας. ὅμως οὖν τὸν μακάριον καὶ ἅγιον Ἀθανάσιον οὐκ ἔλιπεν ἐξορία καὶ φυγὴ καὶ βάσανος. μι-*

8—11 *cf.* Greg. Naz. Or. 21 *cp.* 33 Migne Tom. 35, 1121 A. — 12—*p.* 520, 7 *cf.* Vitam Athanasii *cp.* 17 Migne Tom. 25 *p.* CCXLV B *sqq.*

2 *σεραπίδος* A *σαράπιδος* DV *παράπιδος* M. — 3 *ἐμπεκτικῶς* AM *ἐπαικτικῶς* C *ἐκπληκτικῶς* B. — 5 *κρᾶ* CFV *κρᾶς* B. — 6 *αὐσονίων* R (*Ῥωμαίων* Cram.). — 12 *τῷ ἁγίῳ καὶ* (*ἁγίῳ καὶ* *om.* F) *μακαρίῳ ἀθανασίῳ* FR. — 13 *ἔλειπε* CN. — *φυγὴ* BR *φήμη* rell.

ὀλίγον ἐπανελθόντος ἐκ βασιλικοῦ προστάγματος, καὶ ἀναιρεθέντος ἐν περσίδι τοῦ διώκτου κατὰ τὴν περὶ αὐτοῦ θείαν τοῦ δικαίου πρόρρησιν. οἱ γὰρ ἕλληνες ὁρῶντες περιϊπτ. κορ. P. — 3 *σφοδρῶς* *om.* P. — *ἐμπαικτικῶς*] *ἐμπαίζοντες καὶ χλευάζοντες* P. — 4 *ὁ δέ φησιν· αἱ μὲν κωρ. κράζουσι* P. — 7 *ὑμετέραν* P. — 8 *τοῦ ἀποστάτου* *om.* P. — 8 *ἐπανῆλθε*—11 *προσδεχόμενος* *om.* P. — 11—*p.* 520, 7 *sic in* P: *καὶ πολλὴ κραυγή τε καὶ ταραχὴ καὶ ἀδοξία κατέσχε τοὺς ἕλληνας. οὐ μὴν δὲ ἀλλὰ καὶ ἐπὶ οὐάλεντος αὖθις τὸν αὐτὸν ὁρῶν διωγμὸν ἀποδρὰς ἐν μνημείῳ πατρίῳ κατέκρυψεν ἑαυτὸν μῆνας δ΄. τοίνυν κατὰ τὸν νοητὸν τοῦτον ἐπὶ οὐάλεντος χειμῶνα ὁ πολύτλας καὶ πολύαθλος ἀθανάσιος μετὰ τοὺς πολλοὺς ἐκείνους τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνάς τε καὶ διωγμούς, ὧν οὐδὲ ἀριθμεῖν ῥᾴδιον, πολλὰ προειρηκὼς πέτρῳ τῷ μετ᾽ αὐτὸν ἐπισκόπῳ, οἷα καὶ ὅσα π. τ. ἀ. ὑποστήσεται, τὸν βίον ὑπεξ. διαρκ. ἐπὶ τῆς ἱερ. ἔτη μς΄ προασκήσας καὶ διαπρέψας ἐν τῇ μοναδικῇ πολιτείᾳ εἴ καί τις ἄλλος.* (*cf.* Vitam Athan. *cp.* 17 *p.* CCXLV B *et* CCXLVI B.)

κρὸν γὰρ ἀναπνεύσας ἐκ τούτου πάλιν ὁ τοῦ Οὐάλεντος ἐπέστη αὐτῷ πόλεμος, ὅθεν καὶ τοῦτον τροπωσάμενος διὰ τῆς καλῆς φυγῆς, ὡς πληρωθῆναι μῆνας δ´ τὴν φυγὴν αὐτοῦ, τὸν βίον ὑπεξέρχεται διαρκέσας ἐπὶ τῆς ἱερωσύνης 5 *ἔτη μς´ πολλὰ πρὸ τοῦ θανάτου εἰρηκώς, μᾶλλον δὲ προγνωστικῶς προφητεύσας Πέτρῳ τῷ μετ᾽ αὐτὸν ἐπισκόπῳ, οἷα καὶ ὅσα παρὰ τῶν Ἀρειανῶν ὑποστήσεται.*

Περὶ δὲ τῶν ἑαυτοῦ ποικίλων καὶ διαφόρων ἀγώνων καὶ διωγμῶν φυγῶν τε καὶ ἀποκρύψεων ἀναριθμήτων ἀπο- 10 *λογούμενος ἄκουσον οἷα φάσκει ὁ μακάριος· εἰ γὰρ λοιδοροῦσι τοὺς κρυπτομένους ἀπὸ τῶν ζητούντων ἀνελεῖν καὶ διαβάλλουσι τοὺς φεύγοντας ἀπὸ τῶν διωκόντων, τί ποιήσουσιν ὁρῶντες τὸν μὲν Ἰακὼβ φεύγοντα τὸν ἀδελφόν, τὸν δὲ Μωϋσῆν ἐν Μαδιὰμ ὑποχωρήσαντα διὰ τὸν Φαραώ; τί* 15 *δὲ τοιαῦτα φλυαροῦντες ἀπολογήσονται τῷ Δαυὶδ ἀποδιδράσκοντι τὸν Σαοὺλ καὶ κρυπτομένῳ μὲν τούτῳ ἐν τῷ σπηλαίῳ, ἀλλοιοῦντι δὲ τὸ πρόσωπον ἑαυτοῦ, ἕως οὗ παρέλθῃ* 424 M. *τὸν Ἀγχοὺς καὶ τὴν ἐπιβουλὴν ἐκκλίνῃ; τί δ᾽ ἂν εἴποιεν οἱ πάντα λέγοντες εὐχερῶς καὶ πάντα λίθον κατὰ τὸ δὴ* 20 *λεγόμενον κινοῦντες Ἡλίαν τὸν μέγαν κρυπτόμενον ἀκούοντες διὰ τὸν Ἀχαὰβ καὶ φεύγοντα διὰ τὰς ἀπειλὰς τῆς Ἰεζάβελ; καὶ μέντοι καὶ οἱ υἱοὶ τῶν προφητῶν ζητούμενοι τότε κατεκρύπτοντο λανθάνοντες ἐν τῷ σπηλαίῳ παρὰ τῷ*

10—*p.* 521, 1 Athanas. Apol. de fuga sua *cp.* 10 Migne Tom. 25, 657 A.

2 *πόλεμος αὐτῷ* BM. — 4 *τοῦ βίον* V *et* recc. plerique. — 5 *τοῦ θανάτου* ABR *τοῦ θανάτου αὐτοῦ* rell. — 12 *ποιήσωσι* EP. — 16 *κρυπτόμενον* RV. — *μὲν om.* ARV. — *τοῦτω* F *τοῦτο* A *τοῦτον* RV. — 17 *αὐτοῦ* ABF. — 18 *ἀγχοῦς* BDERV. — *ἐκκλίνει* ADFPRV. — 19 *πάντες* CR. — 20 *ἡλίαν* BCR.

8—10 *ὃς καὶ περὶ τῶν ποικ. καὶ διαφ. αὐτοῦ ἀποφυγῶν τε καὶ ἀποκρύψεων ἀπολογούμενος τοιάδε φησίν·* P. — 13 *τὸν ἀδελφὸν ἡσαῦ* P Ath. — 22 *οἱ om.* P.

Ἀβδίᾳ. ποίαν οὖν καὶ πρὸς Ἡσαΐαν ἐπινοήσωσιν ἀντίθεσιν παρακελευόμενον ἕκαστον ὑπὲρ εὐσεβείας διωκόμενον κατὰ θεοῦ συγχώρησιν καὶ λέγοντα· ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν ἡ ὀργὴ κυρίου παρέλθῃ; καὶ γὰρ οἱ μὲν εὐσεβῶς ζῶντες ἐν Χριστῷ διωχθήσονται ἀδίκως δηλονότι, 5 οἱ δὲ ἄνομοι δικαίως ἐκ προσώπου κυρίου ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται. οὕτω δὲ καὶ οἱ τῆς χάριτος τρόφιμοι διὰ τὸν φόβον τῶν Ἰουδαίων ὑπανεχώρουν κρυπτόμενοι. καὶ ὁ μὲν Πέτρος ἐκ τῆς φυλακῆς ἀποδρὰς ἐξέφυγε τὰς χεῖρας Ἡρῴδου καὶ τῆς προσδοκίας τῶν Ἰου- 10 δαίων, ὁ δὲ Παῦλος ἐν Δαμασκῷ παρὰ τοῦ ἐθνάρχου ζητούμενος ἀπὸ τοῦ τείχους ἐν σαργάνῃ κεχάλασται καὶ διέφυγε τοῦ ζητοῦντος τὴν μανίαν. τῆς τοίνυν γραφῆς τοιαῦτα λεγούσης περὶ τῶν ἁγίων, ποίαν ἄρα πρόφασιν τῆς ἑαυτῶν προπετείας καὶ περὶ τῆς τῶν γραφῶν ἀγνοίας ἐξευρεῖν οἱ 15 φιλοσκῶπται δυνήσονται; ἐν μὲν γὰρ τῷ νόμῳ πρόσταξις ἦν ἀφορισθῆναι καὶ πόλεις φυγαδευτηρίους ὑπὲρ τοὺς ζητουμένους εἰς θάνατον, ὅπως δήποτε δύνασθαι διασώζεσθαι. ἐπ' ἐσχάτων δὲ παραγενόμενος ὁ πάλαι τῷ Μωσῇ χρηματίσας ἐκεῖνα θεὸς λόγος αὖθις ἐντολὴν δίδωσι λέγων· ὅταν 20 διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν. καί· τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη

---

3 Jes. 26, 20. — 7 Psalm. 36 (37), 28. — 7—*p*. 522, 5 Athan. *ib*. *cp*. 11. 12. — 20 Matth. 10, 23. — 22 Matth. 24, 16 *sqq*.

1 οὖν] δὲ ABF. — ἐπινοήσωσιν ACDEP ἐπινοήσουσιν BFMRV. — 3 λέγοντι ACDEFR φησιν P. — 4 παρέλθοι AMR. — 10 τὰς προσδοκίας V. — 17 καὶ πόλεις ABPV Ath. καὶ *om*. rell. — ὑπὲρ του ζητουμένους A ὑπὲρ τοῖς ζητουμένοις CEN ὑπὲρ τῶν ζητουμένων BFRV (ὑπὲρ τοῦ τοὺς ζητουμένους Ath.). — 18 δύνασθε P δύνωνται B δύνανται F. — 19 μωσεῖ BDV μωϋσῇ R. — χρηματίσας] συλλαλήσας B (λαλήσας Ath.).

3 ὅσον *alterum in* P *expunctum*. — 5 ζῶντες] ζεῖν ἐθέλοντες P. — 5 ἀδίκως — 6 ἐκδιωχθήσονται *om*. P *ex homoeotel*. — 13 τῆς *om*. P. — 17 ἀφανισθῆναι P.

425 M. *καὶ ὁ ἐκ τοῦ δώματος μὴ καταβάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ἆραι τὰ ἱμάτια αὐτοῦ. διὰ τοῦτο καὶ αὐτὸς ὁ θεὸς λόγος ἄνθρωπος γενόμενος κατηξίωσε ζητούμενος ὡς ἡμεῖς κρυβῆναι καὶ πάλιν* 5 *διωκόμενος φυγεῖν καὶ τὴν ἐπιβουλὴν ἐκκλῖναι τῶν ἐναντίων ἡμᾶς διδάσκων μὴ ἐπιρρίπτειν ἑαυτοὺς εἰς κινδύνους. διὰ δὴ τοῦτο καὶ οἱ θεῖοι μάρτυρες ἐν τοῖς διωγμοῖς διωκόμενοι μὲν ἔφευγον, εὑρισκόμενοι δὲ ἐμαρτύρουν.*

Ἀλλ' εἴποι δ' ἄν τις, φησὶν ὁ μέγας καὶ ἀποστολικὸς 10 *Διονύσιος, οὐκ ἔστι δικαιοσύνης ἄνδρας ὁσίους ἐᾶν ἀβοηθήτους ὑπὸ τῶν φαύλων ἐκτρυχομένους. πρὸς ὃν ῥητέον ὡς, εἰ μὲν ἀγαπῶσιν οὓς φὴς ὁσίους τὰ ἐπὶ γῆς ὑπὸ τῶν προσύλων ζηλούμενα, τοῦ θείου πάντως ἐκπεπτώκασιν ἔρωτος, καὶ οὐκ οἶδ' ὅπως ὅσιοι κληθεῖεν ἂν ἀδικοῦντες τὰ* 15 *ὄντως ἐραστὰ καὶ θεῖα τοῖς ἀζηλώτοις καὶ ἀνεράστοις ὑπ' αὐτῶν οὐκ εὐαγῶς παρευδοκιμούμενα. εἰ δὲ τῶν ὄντως ὄντων ἐρῶσιν, εὐφραίνεσθαι χρὴ τοὺς τινῶν ἐφιεμένους, ἡνίκα τῶν ἐφετῶν τυγχάνουσιν. ἢ οὐκ ἐν τούτῳ μᾶλλον πλησιάζουσι ταῖς ἀγγελικαῖς ἀρεταῖς, ὅταν ὡς δυνατὸν ἐφέσει τῶν* 20 *θείων ἀναχωροῦσι τῆς τῶν ὑλικῶν προσπαθείας ἐγγυμναζόμενοι πρὸς τοῦτο λίαν ἀνδρικῶς ἐν ταῖς ὑπὲρ τοῦ καλοῦ περιστάσεσιν; ὥστε οὖν ἀληθὲς εἰπεῖν, ὅτι τοῦτο μᾶλλόν ἐστι τῆς θείας δικαιοσύνης ἴδιον τὸ μὴ θέλγειν καὶ ἀπολλύειν τῶν ἀρίστων τὴν ἀριστότητα ταῖς τῶν ὑλικῶν δόσεσιν,* 25 *μηδέ, εἴ τις ἐπιχειροίη τοῦτο ποιεῖν, ἐᾶν ἀβοηθήτους, ἀλλ'*

9—*p.* 523, 2 Dionys. Areop. de divinis nominibus VIII, 8 Migne Tom. 3, 896.

2 *καὶ ὁ ἐν τῷ ἀγρῷ — ἱμάτια αὐτοῦ om.* FM. — 10 *δικαιοσύνη* BR. — 14 *καὶ οὐκ* ABPV Dion. *καὶ om.* rell. — 16 *ὄντων ὄντως* N *ὄντων om.* F. — 18 *τυγχάνωσιν* DR Dion. — ἢ] *ἡ* P *οἱ* F *ὃν* R. — 19 *ἀγγελικαῖς* ABP Dion. *εὐαγγελικαῖς* rell. — 20 *ἀναχωρῶσι* MV Dion. — 22 *ἀληθῶς* AV. — 23 *ἀπολλύειν* CDEFV Dion. *ἀπολύειν* rell.

3 *θεὸς om.* P Ath. — 22 *τοῦτον* P.

ἐνιδρύειν αὐτοὺς ἐν τῇ καλῇ καὶ ἀμειλίκτῳ στάσει καὶ ἀπονέμειν αὐτοῖς τοιούτοις οὖσι τὰ κατ' ἀξίαν.

Κωνσταντίνου δὲ τοῦ μεγάλου ὑπὸ Ἑλλήνων φιλοσόφων ὀνειδισθέντος εἰς τὸ Βυζάντιον ὡς οὐ πράττει καλῶς παρὰ τὰ ἔθη τῶν παρὰ Ῥωμαίοις βασιλευσάντων διαγινόμενος, ἀλλὰ νεωτερίζων τὴν θρησκείαν μεταθέμενος ἔδοξεν ἕνα τῶν φιλοσόφων διαλεχθῆναι Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ τοῦ Βυζαντίου περὶ τῆς πίστεως. λόγων δὲ ἄπειρος ὢν ὁ Ἀλέξανδρος, τὰ δὲ ἄλλα θεῖος, ἐν τῇ ἡμέρᾳ τῆς διαλέξεως εἶπε τῷ διαλεκτικῷ φιλοσόφῳ· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἐπιτάττω σοι σιωπᾶν καὶ μὴ φθέγγεσθαι. ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη καὶ ἔμεινεν ἄλαλος.

Ἐφ' ὧν χρόνων καὶ ὁ ἅγιος Ἀντώνιος ἐν πολλαῖς ἀρεταῖς καὶ μεγάλαις διαπρέπων ἀκουστὸς ἐγένετο τῷ βασιλεῖ, καὶ γράφει αὐτῷ· παρακλητικὴν ἐπιστολὴν τοῦ σκυλῆναι αὐτὸν ἕως Κωνσταντινουπόλεως, ὅπως τῶν εὐχῶν αὐτοῦ ἀπολαύσῃ. ὁ δὲ μακάριος γενόμενος ἐν πολλῇ φροντίδι

3—12 Theod. Lect. *cf.* Cram. An. II, 92, 2 Theoph. *p.* 23, 7 Leo Gramm. *p.* 88, 12 Theodos. Melit. *p.* 63.

4 πράττει AFNR *et* B *lit. ex* πράττειν (Cram. Theodos. Theophanis codd. optimi) πράττοι CELV (Leo Theoph. codd. alii). — 5 διαγενόμενος CER. — 12 ἐφημώθη codd. *praeter* BERV (P). — ἔμεινεν BCP Cram. διέμεινεν rell. Leo Theod. — 17 ἀπολαύσει ABCF.

3—12 *sic in* P: τοῦ δέ γε μεγάλου κωνστ. ὑφ' ἑλλ. τινῶν φιλοσ. ὀνειδ. περὶ τῆς εἰς χριστὸν πίστεως ἔδοξεν ἕνα τῶν φιλοσ. διαλ. ἀλεξ. ἐπισκόπῳ κωνσταντινουπόλεως. καὶ δὴ ἀρξαμένου τοῦ φιλοσόφου δυσφήμως διαλέγεσθαι. φησὶ γὰρ πρὸς αὐτὸν ὁ θεῖος ἀλέξανδρος· ἐν ὀνομ. ἰησοῦ χρ. σιωπᾶν ἐπιτάττω σοὶ καὶ μὴ φθέγγεσθαι τὸ παράπαν· ὃς καὶ παραυτίκα φιμωθεὶς ἔμεινεν ἄλαλος. — 13 ἅγιος] μέγας P. — 13—17 *sic in* P: ἀρεταῖς διαπρέπων ἀκούσας ὁ φιλόθεος καὶ φιλομόναχος οὗτος βασιλεὺς γράφει παρακλητικὴν ἐπιστολὴν προσκαλούμενος αὐτὸν ἐν κωνσταντινουπόλει εὐλογηθῆναι βουλόμενος ὑπὸ τοῦ δικαίου καὶ μέν γε καὶ τοὺς τῆς ἀνατολῆς ἀρχιερεῖς τε καὶ πατέρας εἰς παράκλησιν αὐτοῦ κινήσας. καὶ γενόμενος ὁ γέρων ἐν πολλῇ ἀθυμίᾳ.

λέγει τῷ μαθητῇ αὐτοῦ Παύλῳ· τί λέγεις, τέκνον; ἀπέρχομαι πρὸς τὸν βασιλέα κατὰ τὴν παράκλησιν αὐτοῦ; ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐὰν ἀπέλθῃς, Ἀντώνιος ὑπάρχεις, ἐὰν δὲ μὴ ἀπέλθῃς, ἀββᾶς Ἀντώνιος. καὶ ὁ ἅγιος ἔφη· οὐκοῦν
5 διὰ τῆς δόξης ταύτης, ἐὰν μὴ λέγομαι ἀββᾶς, ὄντως οὐκ ἀπέρχομαι. καὶ τοῦτο μαθὼν ὁ διακριτικώτατος βασιλεὺς ὠφελήθη μᾶλλον εἰς τὸ μέτριον καὶ ἀφιλόδοξον τοῦ ἁγίου γέροντος.

Περὶ οὗ καὶ ὁ μέγας Ἀθανάσιος ἔφη· ἔφθασε δὲ καὶ
10 μέχρι βασιλέων ἡ ἐνάρετος πολιτεία Ἀντωνίου. καὶ γὰρ μαθόντες Κωνσταντῖνος ὁ μέγας καὶ Κωνστάντιος καὶ Κώνστας οἱ αὔγουστοι ἔγραφον αὐτῷ ὡς πατρὶ καὶ ἠξίουν ἀντίγραφα παρ' αὐτοῦ δέχεσθαι. ἀλλ' οὔτε γράμματα δεχόμενος περὶ πολλοῦ τινος λόγον ἐποιεῖτο, οὔτε μὴν ὡς οἱ πολλοὶ
15 ἐπὶ ταῖς ἐπιστολαῖς ἐγεγήθει. ὅτε γοῦν ἐκομίζετο αὐτῷ γράμματα, ἐκάλει τοὺς μοναχοὺς καὶ ἔλεγεν· μὴ θαυμάζετε, εἰ βασιλεὺς γράφει πρὸς ἡμᾶς, ἄνθρωπος γάρ ἐστι καὶ αὐτός, ἀλλὰ θαυμάζετε, ὅτι ὁ θεὸς τὸν νόμον ἔγραψε καὶ διὰ τοῦ ἰδίου υἱοῦ λελάληκεν ἡμῖν. βουλομένου οὖν αὐτοῦ
20 μὴ παραδέχεσθαι τὰς ἐπιστολάς, ἐκωλύθη παρὰ τῶν μοναχῶν λεγόντων αὐτῷ ὅτι· χριστιανοί εἰσιν οἱ βασιλεῖς, καὶ μὴ ὡς

9—*p.* 525, 10 Athanas. Vita Antonii *cp.* 81 Migne Tom. 26, 956.

5 λέγωμαι BDERV. — 10 καὶ γὰρ ABPV Ath. γὰρ *om.* rell. — 11 κῶνστας FM. — 19 λελάληκεν BP Ath. ἐλάληκεν A ἐλάλησεν rell.

2 αὐτοῦ καὶ τῶν πατέρων. ὁ δέ φησιν· ἐὰν μὲν ἀπέλθεις P. — 4 καὶ ὁ γέρων εἶπεν· οὐκ οὖν ἐὰν διὰ τ. δ. τ. οὐκέτι λέγομαι ἀββᾶς P. — 7 ἁγίου *om.* P. — 9 ἔφη· διάφημος οὖν γενόμενος ἀντώνιος διὰ τὰς θείας αὐτοῦ καὶ διαφόρους ἀρετὰς ἔφθασε καὶ P *invito* Ath. — 10 βασιλέων ἡ φήμη αὐτοῦ. καὶ γὰρ μαθ. P Ath. — 12 αὔγουστοι] καίσαρες καὶ υἱοὶ αὐτοῦ P. — 14 λόγον *om.* P Ath. — ὡς οἱ πολλοὶ *om.* P Ath. — 19 βουλόμενος οὖν μὴ P. — 20 τὰς ἐπιστολὰς εἶτα παρακληθεὶς ὑπὸ τῶν μοναχῶν πάντων λεγόντων ὅτι P (*similiter* Ath.). — 21 καὶ ἵνα μὴ P Ath.

ἀπορηθέντες σκανδαλισθῶσιν. ἐπέτρεπεν οὖν ἀναγινώσκεσθαι τὰς ἐπιστολὰς καὶ ἀντέγραφεν ἀποδεχόμενος αὐτούς, ὅτι τὸν Χριστὸν προσκυνοῦσιν, συνεβούλευε δὲ τὰ πρὸς σωτηρίαν καὶ μὴ μεγάλα τὰ παρόντα ἡγεῖσθαι, ἀλλὰ μνημονεύειν ἀεὶ τοῦ θανάτου καὶ τῆς μελλούσης κρίσεως καὶ 5 *ἀνταποδόσεως καὶ εἰδέναι μόνον τὸν θεὸν ἀληθινὸν βασιλέα καὶ αἰώνιον. φιλανθρώπους τε εἶναι αὐτοὺς ἠξίου καὶ τοῦ δικαίου φροντίζειν καὶ τῶν πτωχῶν ὡς μέλλοντας περὶ τῆς ἀρχῆς αὐτῶν δοῦναι λόγον τῷ θεῷ. ἅπερ οἱ βασιλεῖς* 428 M. *δεχόμενοι λίαν ἔχαιρον ἐπὶ τῇ παραινέσει τοῦ θεοφόρου.* 10

Τοῦ οὖν θείου Κωνσταντίνου βασιλεύσαντος ἐν Ῥώμῃ ἔτη ιβʹ καὶ ἐν Κωνσταντινουπόλει ἔτη κʹ, καὶ ἐν Νικομηδείᾳ τελευτήσαντος ἐτῶν ξεʹ, οἱ τρεῖς υἱοὶ αὐτοῦ ἐκράτησαν τῶν Ῥωμαίων, τῆς μὲν ἀνατολῆς Κωνστάντιος, τῆς δὲ δύ- 429 M. *σεως Κωνσταντῖνος καὶ Κώνστας. ὃς καὶ φονεύσας τὸν* 15 *ἀδελφὸν αὐτοῦ Κωνσταντῖνον καὶ βασιλεύσας μόνος ἔτη ιςʹ ἐσφάγη καὶ αὐτὸς ὑπὸ τοῦ δήμου.*

Ἐματαιώθησαν τοίνυν οἱ καταψευδόμενοι τοῦ μεγάλου Κωνσταντίνου καὶ φάσκοντες, ὅτι ἐν τῇ τελευτῇ ἐβαπτίσθη καὶ μέχρι τότε ἀβάπτιστος ὑπῆρχεν. πῶς γὰρ ἂν ὁ τοιοῦτος 20 *ἀνὴρ θεοσεβὴς καὶ φιλόχριστος καὶ περὶ τὴν πίστιν θερμότατος ἠνέσχετο χρόνους τοσούτους κεχωρίσθαι τῆς θείας μεταλήψεως τῶν μυστηρίων καὶ μάλιστά γε τοιούτοις πατρᾶσιν ἁγίοις*

18—*p.* 526, 11 *cf.* Theoph. *p.* 18.

1 *ἀπορριφθέντες* FN *ἀπορριφέντες* R *παροραθέντες* B. — 6 *μόνον ἀληθινὸν θεὸν* R *μόνον τὸν ἀληθινὸν* (*om. θεὸν*) FM. — 10 *τοῦ θεοφόρου* ABP *τοῦ δικαίου* rell. — 14 *τῶν om.* AB. — 15 *κώνστας καὶ κωνσταντῖνος* BF. — *κῶνστας* FM. — 22 *κεχωρεῖσθαι* AFM *χωρὶς* R. — 23 *ἁγίοις om.* FP.

1 *οὖν om.* P Ath. — 5 *ἀεὶ μᾶλλον τὸν θάνατον καὶ τὴν μέλλουσαν κρίσιν καὶ ἀνταπόδοσιν* P (*μᾶλλον etiam* Ath.). — 9 *τῷ θεῷ om.* P. — 19 *φάσκοντες αὐτὸν ἐν τῇ τελ. βεβαπτίσθαι μέχρι τότε τὸ βάπτισμα ὑπερτιθέμενον* P. — 21 *τὴν εἰς χριστὸν πίστιν* P. — 23 *γε om.* P.

συνδιαιτώμενος καὶ τῆς ἱερᾶς αὐτῶν διδασκαλίας καὶ νουθεσίας ἑπόμενος ἀσπασίως καὶ γνησίως; πῶς δὲ καὶ τοῖς ἀπίστοις ἐφαίνετο χριστιανὸς τέλειος μήπω τελειωθεὶς διὰ τοῦ βαπτίσματος; πῶς δὲ καὶ ὁ κατεπείγων καὶ ἀναγκάζων τοὺς ἄλλους
5 *ἅπαντας ἀπίστους δηλονότι πιστεῦσαι καὶ βαπτισθῆναι καὶ τὴν ἁγίαν τριάδα ὁμολογῆσαι καθαρώτερόν τε καὶ τηλαυγέστερον αὐτὸς ἐν τοιούτῳ σκότῳ ἐτύγχανεν; ἀληθῶς ψεῦδος τοῦτο ὑπάρχει καὶ ἀνάπλασμα τῆς Ἀρειανικῆς καὶ ἀθέου αἱρέσεως καὶ τῆς*
430 M. *αὐτῶν ἀπιστίας καὶ ἀσεβείας κακούργημα βουλομένων τῆς οἰ-*
10 *κείας αἱρέσεως ὑπασπιστὴν ἀποδεῖξαι τὸν μέγαν Κωνσταντῖνον καὶ ὑπὸ Ἀρειανῶν αὐτὸν δῆθεν βαπτισθῆναι ἀναπλαττόντων.*

Τοιγάρτοι καὶ ὁ μέγας Ἰσίδωρος τοιάδε φησίν· δεῖ τοίνυν ἀκολουθεῖν καὶ πειθαρχεῖν τῇ συγκροτηθείσῃ μεγάλῃ καὶ ἁγίᾳ συνόδῳ ἐν Νικαίᾳ κατὰ Ἀρείου τοῦ δυσσεβοῦς
15 *τῶν τιη΄ ἁγίων πατέρων. ἐκείνη γὰρ θεόθεν ἐμπνευσθεῖσα τἀληθὲς ἐδογμάτισεν. ἰστέον τοίνυν ὡς ἐν τῇ παλαιᾷ διαθήκῃ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος μυστικῶς ἡ διδασκαλία ἐγκατέσπαρται, ὡς καὶ Φίλωνα καίτοι γε Ἰουδαῖον ἄνδρα ὑπάρχοντα καὶ ζηλωτὴν δι᾽ ὧν καταλέλοιπε*

12—16 Isidor. Pelus. Epp. IV, 99 Migne Tom. 78, 1165 A. — 16—*p.* 530, 9 *ib.* II, 143 Migne 585 B.

1 *ταῖς ἱεραῖς αὐτ. διδασκαλίαις καὶ νουθεσίαις* BF. — 4 *καὶ ante ὁ om.* AB. — 7 *ψευδὲς τοῦτο* F *τοῦτο ψεῦδος* (*ψευδῶς* R) MR. — 10 *ὑποδεῖξαι* C *ἀναδεῖξαι* A. — 11 *δῆθεν αὐτὸν βαπτ.* V *δῆθεν βαπτ. αὐτὸν* B. — 18 *γε om.* RV. — 18. 19 *ἰουδαῖον ὄντα καὶ ζηλωτὴν* FP Isid. — 19 *καταλέλειπται* R *κατέλιπε* F *ἀπολέλοιπε* P Isid.

1 *τὴν ἱερὰν — διδασκαλίαν m. 2* P. — *καὶ νουθεσίας om.* P. — 2 *ἀσπασίως τε καὶ* P. — 3—11 *sic in* P: *διὰ τοῦ βάπτ. καὶ ὅπερ ἄλλοις κατεπήγει δέχεσθαι καὶ τὴν σωτηρίαν καὶ ἀπολύτρωσιν τῶν ἁμαρτημάτων θᾶττον καρποῦσθαι διὰ τὸ ἄδηλον τοῦ θανάτου καὶ αἰφνίδιον αὐτὸς ἀμέτοχός τε καὶ ἀμύητος διεκαρτέρει. μὴ γένοιτο. γέλως γὰρ τοῦτο καὶ λῆρος καὶ τῆς ἀρειανικῆς μανίας τὸ κακούργημα βουλ. τ. οἰκ. αἱρ. ὑπ. αὐτὸν ἀποφῆναι δῆθεν καὶ ὑπὸ ἀρ. βαπτισθῆναι.* — 12 *τοιγάρτοι περὶ τῆς πρώτης συνόδου καὶ* P. — 14 *τοῦ δυσσεβοῦς om.* P. — 15 *τῶν θείων τιη΄ πατέρων* P. — 17. 18 *ἐγκατέσπαρται μυστικῶς ἡ διδασκαλία* P.

συγγραμμάτων ἀπομάχεσθαι τῇ οἰκείᾳ θρησκείᾳ. βασανίζων γὰρ τὸ εἰρημένον· ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον, ἠναγκάσθη ὑπὸ τῆς ἀληθείας καὶ ἐξεβιάσθη καὶ τὸν τοῦ θεοῦ λόγον θεολογῆσαι. τί γάρ; εἰ καὶ δεύτερον τὸν συναΐδιον τῷ πατρὶ καὶ ἀριθμοῦ καὶ χρόνων ἀνώτερον ὄντα 5 *καλεῖ τῆς ἀληθείας μὴ ἐφικνούμενος, ὅμως ἔννοιαν ἔσχε καὶ ἑτέρου προσώπου. οὐκ ἐνταῦθα δὲ μόνον ἔπαθε τοῦτο, ἀλλὰ καὶ τὸ θεὸς καὶ τὸ κύριος ἑρμηνεῦσαι πειρώμενος τῆς βασιλικωτάτης τριάδος ἔννοιαν ἔσχεν. φάσκων γὰρ ὅτι εἷς ἐστιν ὁ θεὸς οὐ πρὸς τὸν ἀριθμὸν κατέδραμε τῆς μονάδος,* 10 *ἀλλὰ πρὸς τὸ μυστήριον τῆς ἁγίας τριάδος, τὸ τῶν μὲν πάντη διαιρετῶν ἑνικώτερον, τῶν δὲ ὄντως μοναδικῶν ἀφθονώτερον. καὶ οὕτω κατὰ κράτος εἷδεν αὐτοῦ τὴν ψυχήν, ὡς ἀναγκασθῆναι διαρρήδην τοῦτο καὶ φάναι καὶ ἐν γράμμασι καταλεῖψαι. δύο μὲν γὰρ εἶπεν εἶναι τὰς τοῦ ὄντος* 15 431 M *δυνάμεις, ὧν ἡ μὲν ποιητικὴ καὶ εὐεργετική φησι καλεῖται θεός, ἡ δὲ βασιλικὴ καὶ τιμωρητικὴ κύριος, οὐ πόρρω βαίνων τοῦ φήσαντος· Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία, δύναμις οὐκ ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος καὶ παντοδύναμος καὶ ὑποστάσεως δημιουργὸς καὶ ἰσοσθενὴς ἐκείνου, οὗ* 20 *δύναμίς ἐστιν. καὶ πάλιν ὁ Φίλων περὶ τοῦ θεάματος οὗ εἶδε Μωϋσῆς ἐκφράζων ἔφη· θέαμα πληκτικώτατον. εἶτα ὁρᾷ μετ' ὀλίγα κατὰ μέσην τὴν φλόγα μορφήν τινα περικαλλεστάτην ἐμφερῆ οὐδὲν τῶν ὁρατῶν, θεοειδέστατον ἄγαλμα, φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσαν, ἣν ἐάν τις* 25

---

2 Gen. 9, 6. — 18 1. Cor. 1, 24. — 22 Exod. 3, 2 *sqq.*

2 *ἐποίησε* B R Is. — 13 *εἶλεν* B Is. *et* Suid. *v.* *θεός*. — 15 *μὲν* *om.* C Is. — *τοῦ ὄντος* (*ὄντος* F) FP Suid. *τοῦ* (*τούτου* B) *ὄντως* rell. — 16 *ἡ* *om.* CDE *in* D *m. 2 spr. vers.* — 24 *ἐμφερῆ. ἢ* A *ἐμφερὴς* P *et* Is. *sed in enuntiato aliter conformato.* — *οὐδενὶ* BF.

1 *ἀπομάχεσθαι φαίνεται τῇ* P. — 3. 4 *τὸν θεὸν λόγον* P. — 8 *καὶ τὸ ante κύριος om.* P (*τὸ om.* Is.). — 11 *ἁγίας om.* P Is. — 20 *ὑποστάσεων* P Is.

ὑπετόπησεν εἰκόνα τοῦ ὄντος εἶναι καλῶς ὑπείληφεν. εἰ δέ τις περὶ τῆς εἰκόνος ἀκριβῶς μαθεῖν βούλεται, ἀκουέτω Παύλου φράζοντος περὶ τοῦ υἱοῦ· ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου. οὐκοῦν κἀκεῖνος θεολογίας ὀρθοδόξου ἅπτε-
5 ται. μὴ γὰρ τὴν ἀκρίβειαν ζήτει παρὰ τοῦ δυνηθέντος ὅλως διὰ σύνεσιν εἰλικρινῆ κατοπτεῦσαι τὴν ἀλήθειαν καὶ τῇ ἰδίᾳ θρησκείᾳ ἀπομάχεσθαι, ἀλλ' ἐκεῖνο ἐννόει, ὅτι εἰς ἓν πρόσωπον οὐ συνέκλεισε τὴν θεολογίαν, ὡς οἱ ἀπαίδευτοι καὶ κακόσχολοι τῶν Ἰουδαίων καθηγηταὶ προλήψει τινὶ
10 κατεχόμενοι δογματίζουσιν. οὐκ ἐκ τούτων δὲ μόνον πληκτικωτάτων ὄντων εἰς ταύτην προήχθη, ὥς γε ἡγοῦμαι, τὴν ἔννοιαν, ἀλλὰ καὶ ἐκ τοῦ· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἐκ τοῦ· ἔβρεξε κύριος πῦρ
432 M. παρὰ κυρίου, καὶ ἐκ τοῦ· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου,
15 κάθου ἐκ δεξιῶν μου, καὶ ἐκ τοῦ· ὅτι ἐν σοὶ ὁ θεὸς καὶ σὺ εἶ ὁ θεός. τοὺς γὰρ λέγοντας ὅτι μυριάκις ἐστὶν ἅγιος ὁ θεὸς καὶ τό· ἅγιος, ἅγιος, ἅγιος κύριος παρερμηνεῦσαι τολμῶντας λαμπρῶς ἐλέγχει τό· ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ πρόσωπόν σου, κύριε, ζητήσω· μὴ ἀποστρέψῃς τὸ πρόσ-
20 ωπόν σου ἀπ' ἐμοῦ. εἰ μὴ γὰρ τὴν ἁγίαν ἀνεκήρυττε μυστικῶς τριάδα ὁ φράσας, περιττολογίας δίκαιος ἂν εἴη ἀπαιτηθῆναι δίκας. οὐ μόνον δὲ ἐν τούτῳ (χρῆναι γὰρ οἶμαι ἐπὶ σαφέστερον ὁρμῆσαι ῥητόν), ἀλλὰ καὶ ἐν τῷ· θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου καὶ

---

3 Col. 1, 15. — 12 Gen. 1, 26. — 13 Gen. 19, 24. — 14 Psalm. 109 (110), 1. — 15 Jes. 45, 14; 15. — 17 Jes. 6, 3. — 18 Psalm. 26 (27), 8; 9. — 23 Psalm. 49 (50), 14; 15.

1 ὄντος DFP ὄντως rell. — 3 υἱοῦ] ἰησοῦ PR (Χριστοῦ Is.). — 5 ζητεῖ AP ζητείη s. ζητεῖ ἤ R. — 10 μόνων CFG. — 17 ἅγιος *tertium om.* CER. — 19 τὸ πρόσωπόν σου κύριε — ἀποστρέψῃς τὸ πρόσωπόν σου *om.* AF. — 20 σου *om.* E Isid. — ἐκήρυττε BR.

5 τοῦ μὴ δυνηθέντος P.

ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. εἰ μὴ γὰρ ἡ τριὰς ἐνταῦθα σαφῶς ἐκηρύττετο, ἔδει ῥηθῆναι· θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τὰς εὐχάς σου καὶ ἐπικάλεσαι αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελεῖταί σε, καὶ δοξάσεις αὐτόν. ἀλλ' οὕτω μὲν 5 *οὐκ ἐρρήθη, εἴρηται δὲ ὡς εἴρηται. σαφῶς γὰρ καὶ διὰ τούτων καὶ δι' ἄλλων πολλῶν ἡ παλαιὰ κηρύττει ὅτι οὐχ ἑνὸς προσώπου κηρύττει δεσποτείαν, ἀλλὰ τριῶν μὲν ὑποστάσεων, μιᾶς δὲ οὐσίας, ἵνα καὶ Ἰουδαίων στηλιτεύσῃ τὴν ὡς ἐφ' ἑνὸς προσώπου οὐχ ὑγιῆ ἔννοιαν. οἷς καὶ Σαβέλ-* 10 *λιος ἠκολούθησεν, ἴσως ἐκ τῆς ἄγαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἰσότητος εἰς τὸ μίαν ὑπόστασιν δογματίσαι νευρωθεὶς τὴν πολυθεΐαν Ἑλλήνων ἐξωστράκισεν. ὧν Ἄρειος καὶ Εὐνόμιος ἑάλωσαν εἶναι φοιτηταὶ τὴν τῶν ὑποστάσεων διαφορὰν εἰς τὴν οὐσίαν παραλόγως ἑλκύσαντες. εἰ δέ τις* 15 *φαίη· διὰ τί γὰρ μὴ σαφῶς καὶ διαρρήδην ἐξ ἀρχῆς ταῦτα* 433 M. *κεκήρυκται; φαίην ὅτι μάλιστα μὲν τοῖς συνετῶς ἀκούουσι λαμπρά ἐστιν αὕτη καὶ ἀπόδειξις καὶ διδασκαλία, ὡς καὶ τῷ σοφῷ ἔδοξε Φίλωνι. εἰ δὲ καὶ συνεσκιασμένως ἐρρήθη, ἐκεῖνο λογίζεσθαι χρή, ὅτι Ἰουδαίοις τοῖς εἰς πολυθεΐαν ῥέ-* 20 *πουσι νομοθετοῦντες οὐκ ἐδοκίμασαν διαφορὰν προσώπων εἰσαγαγεῖν, ἵνα μὴ διάφορον φύσιν ἐν ταῖς ὑποστάσεσιν εἶναι δογματίσαντες εἰς εἰδωλολατρείαν ἑλκυσθῶσιν, ἀλλὰ τὸ τῆς μοναρχίας ἐξ ἀρχῆς μαθόντες μάθημα κατὰ μικρὸν τὸ*

---

4 *ἀπόδος αὐτῷ τὰς* F Isid. *ἀπόδος τῷ ὑψίστῳ τὰς* RV. — *θλίψεώς σου* FP Is. — 6 *ἐρρέθη* ERV *ἐρέθη* A. — *γὰρ καὶ διὰ* ABP Is. *καὶ om.* rell. — 7 *διὰ πολλῶν* (*om. ἄλλων*) RV. — 8 *κηρύττει* BP Is. *σημαίνει* rell. *et* Suid. *v. ἅγιος*. — 9 *ἵνα*] *εἰ* DF. — 11 *ἴσως ἐκ* ABP Is. *ὃς ἐκ* R *ἴσως δὲ ἐκ* rell. — 13 *τῶν ἑλλήνων* ABV. — 19 *ἐρρίθη* C *ἐρρέθη* AERV.

1 *με* — 4 *ἐπικάλεσαι om.* P *ex homoeotel.* — 13 *καὶ τὴν π. ἑλλ. ἐξοστρακῆσαι* P (Is.). — 21 *νομοθετῶν οὐκ ἐδοκίμασε* P Is. — *προσώπου* P. — 22 *ἵνα μὴ καὶ* P (*ἵνα καὶ μὴ* Is.). — 23 *ἐγκυλισθῶσιν* P (*ἐκκ.* Is.).

τῶν ὑποστάσεων ἀναδιδαχθῶσι δόγμα τὸ πάλιν εἰς ἑνότητα φύσεως ἀνατρέχον, ὡς εἶναι τὰ μὲν ἑνικῶς λεγόμενα τῆς ταυτότητος τῆς φύσεως παραστατικά, τὰ δὲ ὑπερβαίνοντα τὸν ἑνικὸν ἀριθμὸν τῆς τῶν ὑποστάσεων ἰδιότητος τῆς εἰς 5 μίαν οὐσίαν συναγομένης. τὸ μὲν γὰρ διαφόρους φύσεις ὑποτίθεσθαι Ἑλληνικόν, τὸ δὲ ἓν πρόσωπον ἤγουν μίαν ὑπόστασιν Ἰουδαϊκόν, τὸ δὲ πλατύνοντας εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα τὰς ὑποστάσεις εἰς μίαν οὐσίαν συνάγειν ὀρθότατόν ἐστι καὶ ἀληθινὸν τὸ δόγμα.

10 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· οὐκ ἔστι φυσικὰς ἀποδείξεις κατὰ πάντα παραστῆσαι τῶν ὑπὲρ φύσιν πραγμάτων. εἰ γὰρ καὶ σὰρξ ἀληθὴς ὁ λόγος ἐγένετο, ἀλλ' οὐ ψιλὸς ἄνθρωπος ὁ Χριστὸς ἐνανθρωπήσας, μᾶλλον δὲ θεὸς ἐξ ἑκατέρων τῶν φύσεων εἷς ὑπάρχων υἱὸς θεοῦ, θεὸς 15 ὑπερούσιος, εἰ καὶ διαρρήγνυνται οἱ τὸ μεῖζον καὶ ἔλαττον ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ συγκρίνοντες ἑτεροούσιον τὸν 434 M. υἱὸν τοῦ πατρὸς καὶ ἀνόμοιον δογματίζοντες. οὐ γὰρ ἴσασιν, ὡς ἔοικεν, ὅτι τὸ μεῖζον καὶ ἔλαττον ἐπὶ τῶν ὁμοουσίων ζητεῖται καὶ κρίνεται, ὡς ἄνθρωπος ἀνθρώπου μείζων 20 καὶ βοῦς βοὸς καὶ ἵππος ἵππου, καὶ ἀπαξαπλῶς ὁ κανὼν τῆς συγκρίσεως τοῖς ὁμογενέσιν ἁρμόζει. ὁ τοίνυν τὰ τοῦ θεοῦ τολμηρῶς περιεργαζόμενος καὶ μείζονα λέγων τοῦ υἱοῦ τὸν πατέρα τὴν σύγκρισιν ὡς ὁμοούσιον προσίεται, κἂν μὴ βούληται. ἑτεροούσια γὰρ ἀλλήλοις συγκρίνεσθαι οὐ δύνα- 25 ται, οὔτε λέγεται μείζων ἄνθρωπος βοὸς ἢ μείζων ἵππος καμήλου ἢ μείζων ὄνος ἰχθύος. τὰ μέντοι γε τὸν ἑνικὸν

26—p. 531, 11 Isidor. Pelus. Epp. III, 27 Migne 748 D.

2 *ἀνατρέχον* — 3 *φύσεως* *om.* AF. — 10 *ἐπὶ*] *ἐστὶ* RV. — 16 *τὸν υἱὸν* *om.* DE. — 18 *τὸ μεῖζον* ABP *τὸ* *m. 1 ut vid. spr. vers. in* V *om.* rell. — 19 *μεῖζον* ACFP. — 20 *ἅπαξ ἁπλῶς* CD EFR. — 24 *βούλεται* BCDFR. — *ἑτερούσια* ER.

3 *τῆς φύσεως εἰσὶ παραστατικά* P. — 9 *καὶ ἀληθέστατον δόγμα* P Is.

ἀριθμὸν ὑπερβαίνοντα ἐν τῇ θείᾳ γραφῇ τῆς τῶν ὑποστάσεων διαφορᾶς εἰσι παραστατικά, τὰ δέ γ' ἑνικῶς ἐξενηνεγμένα τῆς ταυτότητος τῆς φύσεως. τὰ μὲν γὰρ εἴρηται, ἵνα Σαβέλλιος καὶ Ἰουδαῖοι ἐπιστομισθῶσιν, τὰ δέ, ἵνα Ἄρειος καὶ Εὐνόμιος καὶ Ἕλληνες στηλιτευθῶσιν. οἱ γὰρ πλατύ- 5 νοντες μὲν εἰς τὴν ἁγίαν τριάδα τὸν τῶν ἰδιοτήτων ἀριθμόν, συστέλλοντες δὲ εἰς μίαν οὐσίαν, ὀρθότατα δογματίζουσι καὶ ταῖς τῶν οὐρανίων χρησμῶν ἕπονται διδασκαλίαις μήτε εἰς πολυθεῒαν διὰ τὴν τῆς φύσεως διαφορὰν ἐκπίπτοντες, μήτε εἰς Ἰουδαϊσμὸν διὰ τὴν τοῦ ἑνὸς προσώπου σύστασιν 10 ὀλισθαίνοντες.

Πῶς δὲ οὐκ ἐρυθριῶσι κτίσματι προσκυνοῦντες καὶ ταῖς ἑαυτῶν μαχόμενοι ψήφοις; ἀπαγορεύοντες γὰρ τὸ μὴ τῇ κτίσει προσκυνεῖν ὡς Ἑλληνικὸν αὐτοὶ τοῦτο δρῶντες ἑαυτοὺς λανθάνουσιν. χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὡς οὐ τὰ αὐτὰ 15 ὀνόματα πάντως καὶ τὰ αὐτὰ μηνύει πράγματα, οὔτε ἡ ὁμωνυμία συνωνυμίαν ἐκ παντὸς τρόπου ἐμφαίνει. ἐπὶ μὲν γὰρ τοῦ υἱοῦ κυρίως λέγεται ἡ γέννησις, ἐπὶ δὲ τῶν κτισμάτων καταχρηστικῶς, ἐπ' ἐκείνου μὲν τῆς ἀληθείας ἕνεκεν καὶ τῆς ὁμοουσιότητος, ἐπὶ δὲ τούτων τιμῆς χάριν καὶ 20 υἱοθεσίας· βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας. μὴ τοίνυν ἡ ὁμωνυμία τὴν ὁμοτιμίαν ἐνταῦθα τικτέτω, μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι νομιζέσθω, ἐπεὶ 435 M. καὶ τὸν θυμὸν καὶ τὴν ὀργὴν καὶ τἄλλα πάντα τὰ τῇ θείᾳ μὴ πρέποντα φύσει καταχρηστικῶς λελεγμένα οὐκ ἄν τις εὖ 25

---

21 Ep. Jac. I, 18.

2 τὰ δέ γε ἑνικῶς F τὰ δὲ ἑνικῶς unus ex recc. τὰ δὲ γενικῶς rell. (τὰ δ' ἑνικῶς Isid.). — 4 ἐπιστομιθῶσιν C *et* recc. nonnulli ἐπιστομηθῶσιν AP *et* recc. plerique ἐπιστομωθῶσιν F. — 7 ὀρθότητα DR. — 12 κτίσμασι CD κτίσμα R. — 16 μηνύει P μηκύνει (-η B -ειν A) rell. — 24 τὰ ἄλλα AE. — τὰ *om.* ADF.

8 διδάσκαλοι διδασκαλίαις P *e dittographia. Ante* διδάσκαλοι *m. 2 spr. vers.* ὡς. — 9 ἐμπίπτοντες P. — 10 τοῦ *om.* P. — σύνταοιν P. — 21 γάρ φησιν P.

φρονῶν κυρίως πεφράσθαι φαίη. δῆλον γάρ ἐστιν, ὅτι ἑκάστῳ χωρίῳ καὶ ἑκάστῃ λέξει ἡ προσήκουσα καὶ ἁρμόζουσα διασάφησις προσαγομένη τὴν ἀλήθειαν ὠδίνει. εἰπάτωσαν δέ γε καὶ οἱ εἰς τὸ ἅγιον πνεῦμα βλασφημοῦντες καὶ τῆς
5 *θείας οὐσίας αὐτὸ χωρίζοντες, πῶς ὁ θεὸς καὶ σωτὴρ ἡμῶν ἐνανθρωπήσας παρέδωκε συμπληρωτικὸν εἶναι τῆς ἁγίας τριάδος τὸ πανάγιον πνεῦμα, καὶ ἐν τῇ ἐπικλήσει τοῦ θείου βαπτίσματος σὺν πατρὶ καὶ υἱῷ ὡς ἐλευθεροῦν τῶν ἁμαρτημάτων τοὺς ἀνθρώπους ἀριθμούμενον καὶ ἐπὶ τῆς μυστι-*
10 *κῆς τραπέζης τὸ σῶμα ἰδικὸν τῆς τοῦ υἱοῦ σαρκώσεως ἀποφαῖνον, πῶς ἂν εἴη ποιητὸν ἢ κτιστὸν ἢ τῆς δουλικῆς φύσεως, ἀλλ' οὐ τῆς δεσποτικῆς καὶ δημιουργοῦ καὶ βασιλίδος οὐσίας συγγενὲς καὶ ὁμοούσιον τὸ ἅγιον πνεῦμα; εἰ γὰρ δοῦλον, μὴ συναριθμείσθω μετὰ τοῦ δεσπότου, καὶ εἰ*
15 *κτίσμα, μὴ συναριθμείσθω τῷ κτίστῃ. ἥνωται γὰρ καὶ συνηρίθμηται, ἐπειδὴ τῷ ἀκριβεῖ τῶν τοιούτων δογματιστῇ Χριστῷ πείθεσθαι προσήκει βεβαίως καὶ ἀσφαλῶς τὰ περὶ τῆς οἰκείας οὐσίας διδάσκοντι, εἰ καὶ τοῖς πνευματομάχοις δοκεῖ σοφωτέρους εἶναι καὶ τὰ οὐράνια πλέον εἰδέναι θεοῦ*
20 *κομπάζοντας ἢ μᾶλλον τολμηρῶς τε καὶ δυσσεβῶς ῥητορεύοντας. εἰ οὖν ὁ θεῖος Δανιὴλ ἄγγελον θεασάμενος καὶ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ ὀφθέντος πρηνὴς ἔπεσεν ἐκπλαγεὶς πρὸς τὸ παράδοξον τῆς θέας, ποίαν ἔξου-*

5—20 Isidor. Epp. I, 109 Migne 256 B. — 21—*p.* 533, 3 *ib.* III, 386 Migne 1028 D.

1 *πεφράσθαι* BDP *περιφράσθαι* A *περιπεφράσθαι* CEFV *περί τε φράσθαι* G *περιφράσασθαι* R. — 5 *πῶς*] *εἰ* Isid. — 7 *θείου*] *ἁγίου* C Isid. — 11 *πῶς δὲ ἂν* ABV. — 14 *εἰ κτίσμα* (*om. καὶ*) CDEF *εἰ δὲ κτίσμα* R. — 19 *σοφωτέροις* ERV. — 23 *πρὸς om.* RV.

5 *οὐσίας ἀποχωρίζοντες sprscripto inter vers. αὐτο* P. — 8 *ἁμαρτιῶν* P Isid. — 9 *τοὺς ἀνθρώπους om.* P Isid. — 14 *ἀριθμείσθω* P Isid. — 15 *συγκείσθω* P Isid. — 18 *εἰ om.* P. — 21 *θεῖος καὶ σοφὸς* P. — 22 *τὸ ante μέγεθος om.* P.

σιν ἀπολογίαν οἱ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι μεσιτεύειν τολμῶντες καὶ τὴν ἄρρητον φύσιν λόγοις ζυγοστατεῖν ἐπιχειροῦντες καὶ φυσιολογοῦντες; τὴν τοίνυν ἄχρονον καὶ ἀΐδιον καὶ ἀμεσίτευτον καὶ παντὸς λόγου καὶ νοῦ κρείττονα πρόοδον τοῦ υἱοῦ ἀπὸ τοῦ πατρὸς γέννησιν καλοῦσιν αἱ 5 γραφαί, οὐχ ἵνα πάθος ὑπογράψωσιν, ἀλλ' ἵνα τὸ ὁμοούσιον ὑποδείξωσιν· ὁμοούσια γὰρ τῷ ὄντι τὰ τικτόμενα τοῖς τίκτου- 436 M. σιν. ἵνα δὲ μὴ φαντασίαν πάθους ἐπικομίσῃ, λόγον προσαγορεύουσιν, καὶ ἵνα μὴ νεώτερος ἐπινοηθῇ, ἐν ἀρχῇ ἦν ὁ λόγος φησίν. εἶτα καὶ τὴν πρὸς τὸν πατέρα σχέσιν κηρύτ- 10 τοντες· καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. εἶτα καὶ τὴν ἀξίαν· καὶ θεὸς ἦν ὁ λόγος, ἐκ μὲν τοῦ υἱοῦ τὸ ὁμοούσιον, ἐκ δὲ τοῦ λόγου τὸ ἀπαθές, καὶ ἐκ μὲν τοῦ ἐν ἀρχῇ εἶναι τὸ συναΐδιον, ἐκ δὲ τοῦ πρὸς τὸν πατέρα εἶναι τὴν πρὸς αὐτὸν οἰκειότητα, διὰ δὲ τοῦ θεὸν εἶναι τὴν ἀξίαν αὐτοῦ κατα- 15 μαθόντες καὶ ἐξ ἑκάστου ὀνόματος τὸ μὴ ἐφορμοῦν καὶ ἀπρεπὲς ἀποπεμψάμενοι, οἷον ἀπὸ μὲν τοῦ υἱοῦ τὸ νεώτερον, ἀπὸ δὲ τοῦ λόγου τὸ ἀνυπόστατον, θεὸν ἀΐδιον ὁμοούσιον ἀπαθῶς καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς προελθόντα εἰδείημέν τε καὶ προσκυνήσαιμεν. 20

[β'. Περὶ Κωνσταντίου.]

Μετὰ δὲ Κωνσταντῖνον ἐβασίλευσε Κωνστάντιος υἱὸς αὐτοῦ ἔτη ια', ὃς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν εἰς τὸ

3—20 Isidor. Epp. IV, 142 Migne 1224 A.

9 ἦν *om.* AB. — 17 τὸν νεώτερον CPR. — 18 ἐνυπόστατον BR. — 19 ἀπαθῶς EPR *et m. 2* A ἀγαθῶς (-θὸς C) rell. — 20 ἠδείημεν (ἠδ. C) CDPV ἰδείημεν F ἰδήει μὲν B ἰδοίημεν R. — 22 κωνστ. ὁ υἱὸς αὐτοῦ ABR ὁ υἱὸς αὐτοῦ κ. F. — 23 ἔτη κα' R ἔτη κδ' B. — τὴν τελευτὴν τοῦ πατρὸς (αὐτοῦ *add.* F) CF.

8 φαντασία πάθους ἐπικωμάσῃ P. — 9 νεώτερον ἐπινοηθείη P Isid. — 10 φασὶν P Isid. — 16 ἐφαρμοῦν P. — 18 τὸν ἀνυπόστατον P.

Ἀρειανικὸν φρόνημα παρασυρεὶς κατεβιάζετο τὸν θεῖον Ἀλέξανδρον Κωνσταντινουπόλεως δέξασθαι τὸν Ἄρειον εἰς κοινωνίαν. τοῦ δὲ μὴ ἀνεχομένου παντελῶς, ἀλλὰ φάσκοντος· ἐγώ, βασιλεῦ, τὸν ὑπὸ τῶν τιη' πατέρων κατακριθέντα καὶ
5 ἀναθεματισθέντα δέξασθαι οὐ δύναμαι· ἔφη ὁ βασιλεύς· ὅρα, ὦ ἐπίσκοπε, μὴ ἄκων δέξῃ αὐτόν· ἰδοὺ γὰρ καὶ σύνοδον ἐκέλευσα γενέσθαι πρὸς τὸ γυμνασθῆναι τὰ παρ' ἑκατέ-
437 M. ρων ὑμῶν ἀκριβέστερον. ὁ δὲ ἅγιος ἐπίσκοπος Ἀλέξανδρος ἀνέστη εὐθὺς καὶ ἐξῆλθεν ἀπὸ προσώπου τοῦ βασιλέως λέ-
10 γων· τὸ θέλημα κυρίου γενέσθω. καὶ ἐλθὼν εἰς τὴν ἐκκλησίαν καὶ ἐπιπεσὼν τῷ ἁγίῳ θυσιαστηρίῳ δι' ὅλης τῆς νυκτὸς ἐβόα πρὸς τὸν θεὸν μετὰ δακρύων λέγων· κύριε ὁ θεός, μὴ συγχωρήσῃς τῷ ἀναιδεῖ λύκῳ καὶ ἅρπαγι εἰσελθεῖν εἰς τὴν [ἁγίαν] ἐκκλησίαν σου, ἀλλὰ δίκασον ἐνδίκως τὸν
15 ἄδικον ἐν τάχει. τῇ δὲ ἐπαύριον τῆς συνόδου συγκροτηθείσης ἐν τῇ ἐκκλησίᾳ, ὁ Ἄρειος ἐρχόμενος μετὰ πάντων τῶν ὁμοφρόνων αὐτοῦ εἰσῆλθεν ὡς διὰ χρείαν τῆς γαστρὸς εἰς οἶκόν τινος ὄπισθεν τοῦ φόρου, ἐν ᾧ τόπῳ, κατὰ τὸ δὴ λεγόμενον, πρηνὴς γενόμενος ἐξαίφνης ἐλάκισε μέσος, καὶ
20 ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ πάντα, καὶ ἀμφοτέρων διήμαρτεν ὁ δείλαιος, τῆς τε κοινωνίας καὶ τῆς παρούσης ζωῆς. καὶ

15—*p.* 535, 4 Theodoret. Hist. eccl. I, 13 *ex* Athanas. Ep. ad Serapionem.

4 ὑπὸ τῶν τιη' BCP τῶν *om.* rell. — 10 τοῦ κυρίου BRV τοῦ θεοῦ F. — 12 μετὰ δακρύων *om.* F. — λέγων *ante* πρὸς τὸν θεὸν *ins.* N *ante* μετὰ δακρύων V. — 14 ἁγίαν *om.* DFP. — 18 ὄπισθεν BEFPR ὄπιθεν rell. — 19 ἐλάκ. μέσως ἐξαίφνης N ἐξαίφνης *om.* R. — ἐλάκισε DFV ἐλάκησε ABCEMP ἐλάκκησε L ἐξελάκισε (-ησε G) GR. — μέσως CELN. — 20 ἐξεχύθη τὰ (στὰν P) σπλ. αὐτοῦ πάντα AP ἐξεχύθη πάντα τὰ σπλ. αὐτοῦ rell.

5 φησιν P. — 8 ὁ δὲ ἀλέξανδρος ἀναστὰς εὐθὺς ἐξῆλθε P. — 10 γινέσθω P. — 11. 12 τῷ θυσιαστ. πρὸς τὸν θεὸν ἐβόα μετὰ δακρύω (*sic*) ὅλην τὴν νύκτα λέγων P. — 16 ὁ ἄρειος ἐκδεχομένων αὐτὸν πάντων ἐρχόμενος, ὥς φησι θεοδώρητος, μετὰ τῶν ὁμοφρ. εἰσῆλθεν P. — 18 εἰς οἶκόν τινος *om.* P.

ὁ μὲν Ἄρειος οὕτω κατέστρεψε τὸν βίον, οἱ δὲ ὁμόφρονες αὐτοῦ μεγάλως ᾐσχύνθησαν καὶ διεσκορπίσθησαν. ὁ δὲ ποιμὴν ὁ καλός, ὁ μακαρίτης Ἀλέξανδρος, τῆς ἐκκλησίας χαιρούσης τὴν ἁγίαν σύναξιν ἐπετέλεσεν.

Οἱ δὲ τοῦ μεγάλου Κωνσταντίνου ἀνεψιοί, Γάλλος καὶ 5 Ἰουλιανός, ἀναγνῶσται γεγόνασιν ἐν Ἀντιοχείᾳ. ἐκκλησίαν δὲ τῷ μάρτυρι Μάμαντι κτίσαι προθυμηθέντων, ἐν ᾧ μέρει κτίζειν Ἰουλιανὸς ἔλαχεν ἡ γῆ τοῦτο οὐκ ἐδέχετο. πανημέριον γὰρ οἰκοδομῶν, ἠδαφισμένον τῇ ἐπιούσῃ ηὑρίσκετο, καὶ τὴν διαστροφὴν τῆς γνώμης τοῦ ταλαιπώρου ἡ ἄψυχος ὕλη 10 προεδήλου. ὃς καὶ τὴν κόμην ἀποκειράμενος καὶ μοναδικὴν ἄσκησιν ὑποκρινόμενος εἰς Ἀθήνας κατῆλθε τῆς βασιλείας ἐφιέμενος, καὶ τὴν Ἑλλάδα περιερχόμενος μάντεις ἐπεζήτει καὶ χρησμολόγους, εἰ τεύξεται τοῦ ποθουμένου. καὶ δὴ περιτυγχάνει ἀνθρώπῳ δυσσεβεῖ ταῦτα προλέγειν ὑπ- 15 438 M. ισχνουμένῳ, ὃς τοῦτον εἴς τινα τῶν εἰδωλικῶν καταδύσεων καταγαγὼν τοὺς ἀπατεῶνας ἐκάλεσε δαίμονας. ἐκείνων δὲ μετὰ τῆς συνήθους φαντασίας ἐπιφανέντων, ἠνάγκασε τοῦτον ὁ φόβος ἐπιθεῖναι τῷ μετώπῳ τοῦ σταυροῦ τὸ σημεῖον, ὅπερ ἰδόντες ἀφανεῖς αὐτίκα γεγόνασιν. συνεὶς οὖν ὁ γόης 20

5—12 Theod. Lect. *cf.* Exc. Bar. Theoph. *p.* 35, 33 Leo Gramm. *p.* 92, 12 Polyd. *p.* 362, 4. — 13—*p.* 536, 4 Theodoret. Hist. eccl. III, 3.

3 μακάριος FN. — 4 τὴν σύναξιν τὴν ἁγίαν N. — 6 ἐκκλησίας C Exc. Polyd. — 7 κτίσαι *om.* AM. — προθυμηθέντες FL. — 8 τοῦτο] τοῦτον R τὴν οἰκοδομὴν L τὰς οἰκοδομὰς F. — 9 εὑρίσκετο NR ἐφαίνετο F.

1 οὕτω καταστρέψας τὸν βίον οἱ ὁμόφρ. αὐτοῦ μεγ. κατησχύνθησαν καὶ διελύθησαν, ὁ δὲ μακαρίτης ἀλέξ. P (ὁ ποιμὴν ὁ καλός *om. etiam* Theod. Ath.). — 6 γενόμενοι ἐν ἀντ. ἐκκλ. τῷ μαρτ...... προεθυμήθησαν. ἐν ᾧ δὲ μέρει P (γεγόνασι καὶ προεθυμήθησαν Exc. Theoph. Polyd. γενόμενοι προεθυμήθησαν Leo). — 8 τοῦτο ἡ γῇ P. — πᾶν ἡμέριον P. — 9 ἠδ. ηὑρίσκετο τῇ ἐπαύριον P. — 13 ἐζήτει P. — 14 εἰ τ. τοῦ ποθουμένου μαθεῖν ἱμειρόμενος P Theod.

ἐκεῖνος τῆς φυγῆς τὴν αἰτίαν ἐπεμέμψατο τοῦτον λέγων· οὐ φοβηθέντες, ὡς σὺ νομίζεις, ἀλλὰ βδελυξάμενοι τὸ παρά σου γενόμενον ἀνεχώρησαν. οὕτω βουκολήσας τὸν αἰχμάλωτον ἐμύησέ τε καὶ τοῦ μύσους ἐνέπλησεν. αἵμασι γὰρ μυ-
5 *σαροῖς ἀπολουσάμενος τὸ θεῖον βάπτισμα, ἡ τῆς βασιλείας ἐπιθυμία τῆς εὐσεβείας ἐγύμνωσε τὸν τρισάθλιον. εἶτα Κωνστάντιος τοῦτον μεταστειλάμενος καὶ ἀναγορεύσας καίσαρα σὺν αὐτῷ κατὰ Περσῶν ἐξώρμησεν· ὑποστρέφων δὲ τοῦτον αὐτοκράτορα καταλείψας ἀπέθανεν ἐν Κιλικίᾳ.*
10 *Ἐφ' οὗ Εὐνόμιος καὶ Φωτεινὸς καὶ Μακεδόνιος καὶ Ἀπολινάριος οἱ αἱρεσιάρχαι ἐγνωρίζοντο. καὶ τὰ λείψανα τῶν ἁγίων ἀποστόλων Ἀνδρέου καὶ Λουκᾶ καὶ Τιμοθέου εἰσῆλθον ἐν Κωνσταντινουπόλει. καὶ Φλαβιανὸς Ἀντιοχείας διχῇ τοὺς τῶν ψαλλόντων χοροὺς διελὼν ἐκ διαδοχῆς τὴν*
15 *δαυιτικὴν ἐδίδαξε πρῶτος ᾄδειν μελῳδίαν, ὅπερ ἐν Ἀντιοχείᾳ πρῶτον ἀρξάμενον πάντοσε διέδραμε τῆς οἰκουμένης τὰ τέρματα. καὶ ἡ ἐν Σαρδικῇ καὶ ἡ ἐν Γάγγροις ἐγένοντο σύνοδοι, ἡ μὲν κατὰ Μαρκέλλου καὶ Φωτεινοῦ ψιλὸν ἄνθρωπον τὸν Χριστὸν βλασφημούντων, ἡ δὲ κατὰ τῶν μαθητῶν*
20 *Εὐσταθίου τοῦ Σεβαστείας, οἱ καὶ Μεσσαλιανοὶ λεγόμενοι.*

4—5 Theod. Lect. *cf.* Exc. Bar. Theoph. *p.* 46, 18 Leo *p.* 94, 5. — 6—8 *cf.* Mal. *p.* 325, 11. — 11—13 *cf.* Leo Gramm. *p.* 87, 19 (sub Constantino). — 13—17 Theodoret. Hist. eccl. II, 24.

1 *ἐπεμέμψατο* ENPV *ἐμέμψατο* BFLR *ἀπεπέμψατο* A *ἐπέμψατο* CG — 5 *τῇ* — 6 *ἐπιθυμίᾳ* FV *ἐπιθυμία* (*om.* *ἡ*) R. — 13 *ἐν ἀντιοχείᾳ* N. — 16 *πάντοσε* (*corr. ex* *παντόσε* P) *διέδραμεν* BP *παντόσε διέδραμεν* ADEL *παντὸς ἐδιέδρ.* M *πάντως ἐδιέδρ.* C *παντὸς διέδρ.* R *πανταχόσε διέδρ.* V *ἐκεῖθεν διέδρ.* F. — *σπέρματα* A *πέρατα* BFMR Suid. *v.* *χορός.* — 17 *γάγγροις* AP *γάγγρα* F *γάγραις* L *γάγγραις* rell. — 19 *ὁμολογούντων καὶ βλασφημούντων* F *ἀποκαλούντων* (*ἐπικαλ.* D) *καὶ βλασφ.* N. — 20 *σεβαστίας* ABCDL. — *μεσαλιανοὶ* EL *et* recc. quidam *μεταλιανοὶ* recc. alii *μεσσαλινοὶ* A. — *τῶν καὶ μεσαλιανῶν* (*μασ.* B) *λεγομένων* BF.

1 *τούτων* P. — 6 *ἐγύμνωσε* *m. 2 ex* *ἐγύμνασε* P. — 9 *καὶ τοῦτον* (*lit. corr. ex* *τούτων*) P. — 12 *ἁγίων* *om.* P.

καὶ ὁ μέγας Ἐφραῒμ ἔργῳ καὶ λόγῳ διέπρεπεν, ὃς καὶ πολλὰ 439 M.
συγγράμματα καταλέλοιπεν, ἐν οἷς καὶ τριακοσίας μυριάδας
ἐκδέδωκε στίχων εἰς τὸ ψάλλειν Σύρους καὶ τοὺς ἐκ τῆς
πλάνης τοῦ Βαρδισιάνου προσεπισπάσασθαι διὰ τοῦ μέλους
καὶ τῆς ἡδυτάτης συμφωνίας. ἐκβιασθεὶς δὲ καὶ πρεσβύ- 5
τερος ἐχειροτονήθη ὑπὸ τοῦ μεγάλου Βασιλείου, ὃς καὶ ἐποί-
ησεν αὐτὸν δι' αἰτήσεως λαλῆσαι τὴν Ἑλληνίδα γλῶτταν
ἀκωλύτως. καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἐφάνη ἐν τῷ οὐρανῷ
ἀπὸ τοῦ ἁγίου κρανίου τόπου μέχρι τοῦ ὄρους τῶν ἐλαιῶν
διῆκον, περὶ οὗ καὶ φέρεται πρὸς Κωνστάντιον ὑπὸ Κυρίλ- 10
λου Ἱεροσολύμων ἀναφορά.

Οἱ τοίνυν Μεσσαλιανοί, τοῦτ' ἔστιν Εὐχῖται καὶ Ἐν-
θουσιασταὶ λεγόμενοι ἀπὸ Ἀδελφίου καὶ Δαδώη καὶ Σάβα
καὶ Συμεῶνος τῶν αἱρεσιαρχῶν τὴν πονηρὰν καὶ ψυχόλε-
θρον αἵρεσιν ταύτην μετέλαβον. ἀφ' ὧν ὁ μέγας Φλαβια- 15
νὸς Ἀντιοχείας ἐπίσκοπος ἐπὶ τὸ αὐτὸ μοναχοὺς δῆθεν
συναθροίσας πολλοὺς καὶ τὴν αἵρεσιν ἐξαρνουμένους τόνδε
τὸν τρόπον διήλεγξεν. ἐπίσημον γάρ τινα παρ' αὐτοῖς γέ-
ροντα παραλαβὼν κατ' ἰδίαν ἔφη πρὸς αὐτὸν μετὰ πανουρ-

1—5 Theod. Lect. *cf.* Cram. II, 95, 1 Theoph. *p.* 62, 33 Leo *p.* 92, 6 Polyd. *p.* 352. — 8—11 *ib. cf.* Cram. II, 95, 15 Theoph. *p.* 41, 32 Polyd. *p.* 338 *fin.* — 12—15 *ib. cf.* Exc. Bar. Theoph. *p.* 63, 14. — 15—*p.* 539, 9 Theodoret. Hist. eccl. IV, 11.

2 κατέλιπεν A καταλειπὼν P. — 4 βαρδησιάνου A βαρδησιανοῦ EG βαρδισιανοῦ R. — προσεπισπᾶσθαι BFP (ἀντισπάσασθαι Cram. Polyd.). — 7 αὐτὸν] τοῦτον F *om.* N. — 9 ἀπὸ τοῦ τόπου τοῦ ἁγίου κρανίου FR. — 12 μεσαλιανοί DFL μασσαλιανοί ER μασαλιανοί B. — εὐχίται BFLP εὐχῆται N εὐχηταὶ AC. — 13 ἀδελφιοῦ LNRV ἀδελφειοῦ B. — δαδόῃ BV δαδὼν C δαδῶν G. — σάββα BRV. — 15 ταύτην αἵρεσιν N. — 16 ἐπίσκοπος ἀντιοχείας L ἐπίσκοπος *om.* P. — 17 συναθροίσας δῆθεν V δῆθεν *om.* R. — ἐξαρνούμενος V ἐξαρνούμενοι R. — 18 τὸν *om.* FR.

5—8 *sic in* P: ἐκβιασθεὶς δὲ καὶ διάκονος γενόμενος οὐ κατεδέξατο μεῖζόν τι γενέσθαι διὰ πολλὴν μετριοφροσύνην. (*Eadem fere* Cram. Polyd.). — 15 ἀφ' ὧν ὡς φησὶ πάλιν θεοδώρητος, ὁ θεῖος φλαβιανὸς P.

γίας· ἡμεῖς μέν, ὦ πρεσβῦτα, τὸν πλείω βεβιωκότες βίον ἀκριβέστερον καὶ τὴν ἀνθρωπείαν ἐμάθομεν φύσιν καὶ τὰ τῶν ἀντιπάλων δαιμόνων ἔγνωμεν εὖ μάλα μηχανήματα, πείρᾳ δὲ καὶ τὴν τῆς χάριτος ἐδιδάχθημεν χορηγίαν. οὗτοι
440 M. 5 *δὲ νέοι ὄντες καὶ τούτων οὐδὲν ἀκριβῶς ἐπιστάμενοι πνευματικωτέρων ἀκοῦσαι λόγων οὐ φέρουσιν. οὐκοῦν εἰπέ μοι, πῶς φατε καὶ τὸ ἐναντίον πνεῦμα ὑποχωρεῖν καὶ τοῦ παναγίου πνεύματος τὴν χάριν ἐπιφοιτᾶν διὰ τῆς ὑμετέρας εὐχῆς καὶ ἐπιτηδεύσεως; ὁ δὲ τοῖς λόγοις τούτοις κατα-*
10 *θελχθεὶς ἐξήμεσεν ἅπαντα τὸν κεκρυμμένον ἰὸν καὶ ψυχοφθόρον καί φησιν· οὐδεμίαν μὲν ἐκ τοῦ βαπτίσματος ἴσμεν ὠφέλειαν τοῖς ἀξιουμένοις ἐγγίνεσθαι, μόνην δὲ τὴν σπουδαίαν εὐχὴν τὸν ἔνοικον καὶ συνουσιωμένον δαίμονα ἐξελαύνειν· ἕλκειν γὰρ ἕκαστον τῶν τικτομένων ἐκ τοῦ προ-*
15 *πάτορος ὥσπερ τὴν φύσιν οὕτω δὴ καὶ τὴν τῶν δαιμόνων δουλείαν, ὧν ὑπὸ τῆς σπουδαίας εὐχῆς ἐλαυνομένων ἐπιφοιτᾷ λοιπὸν τὸ πανάγιον πνεῦμα ὁρατῶς καὶ αἰσθητῶς καὶ τὴν οἰκείαν παρουσίαν φανερώτατα σημαῖνον. καὶ τὸ μὲν σῶμα τῆς ἐμπαθοῦς κινήσεως εὐθὺς ἐλευθεροῦται παντελῶς, ἡ δὲ*
20 *ψυχὴ τῆς ἐπὶ τὰ χείρω τροπῆς τέλεον ἀπαλλάττεται, ὡς μηκέτι δεῖσθαι λοιπὸν μήτε νηστείας πιεζούσης τὸ σῶμα μήτε διδασκαλίας χαλινούσης τὴν ψυχὴν καὶ τὸν νοῦν ἀπὸ πάσης ἐνεργείας πονηρᾶς καὶ ἐνθυμήσεως. οὐ μόνον δὲ τῶν τοῦ σώματος καὶ τῆς ψυχῆς ὁ τοιοῦτος ἀπαλλάττεται παθῶν*
25 *αἰσχίστων καὶ σκιρτημάτων, ἀλλὰ καὶ τὰ μέλλοντα σαφῶς προβλέπει καὶ τὴν ἁγίαν τριάδα ὀφθαλμοφανῶς θεωρεῖ καὶ*

---

1 *πλεῖον* R *πλείονα* L. — 5 *οὐδὲν ἀκριβῶς* PV Theod. *ἀκριβῶς οὐδὲν* rell. — *πνευματικώτερον—λόγον* FRV. — 8 *ὑμετέρας* BEFLP *et* D *sed m. 2 ut vid. corr.* *ἡμετέρας* ACNV *et* recc. quidam *ὑμέρας* (*sic*) recc. alii. — 17 *πανάγιον* ABP Theod. *ἅγιον* rell. — 18 *σημαίνων* AGLN.

16 *δουλείαν λέγωμεν* P (Theod. *ἔλεγεν post τικτομένων v.* 14 *ins.*). — 25 *σαφῶς τὰ μέλλοντα* P Theod. — 26 *ἁγίαν*] *θείαν* P Theod.

θεολογίας καὶ θείων μυστηρίων ἀξιοῦται. οὕτως ὁ θεῖος Φλαβιανὸς τὴν δαιμονιώδη καὶ μυσαρωτάτην αἵρεσιν ἀνορύξας καὶ γυμνώσας ἔφη πρὸς τὸν δυσσεβέστατον γέροντα· πεπαλαιωμένε κακῶν ἡμερῶν, ἤλεγξέ σε τὸ σὸν μιαρὸν στόμα, καὶ οὐκ ἐγώ, καὶ τὰ σὰ διεφθαρμένα καὶ ἀκάθαρτα χείλη 5 *καταμαρτυροῦσί σου. φανερωθείσης δὲ τῆς σατανικῆς καὶ βδελυρᾶς ἀπάτης καὶ νόσου ταύτης, τῆς μὲν Συρίας ἐξηλάθησαν, εἰς δὲ τὴν Παμφυλίαν ἐχώρησαν καὶ ταύτην τῆς λώβης ἐπλήρωσαν.*

[*γ'. Περὶ Ἰουλιανοῦ.*] 10

Μετὰ δὲ Κωνστάντιον ἐβασίλευσεν Ἰουλιανὸς ὁ παραβάτης ἔτη δύο ἥμισυ. 443 M. *ὃς κατὰ συγχώρησιν θεοῦ παραλαβὼν τὴν βασιλείαν ἐποίει καὶ τὰ λοιπὰ ὅσα οἱ τοῦτον κινοῦντες ἐθεραπεύοντο δαίμονες. ὅθεν οἱ τῶν εἰδώλων ὑπασπισταὶ ἀναθαρρήσαντες ἀνέῳξαν μὲν τοὺς τῶν εἰδώλων σηκοὺς καὶ* 15 *τὰς μυσαρὰς ἐπετέλουν τελετάς, τοὺς δὲ θείους ναοὺς κατέστρεφον καὶ τοὺς χριστιανοὺς δεινῶς ἐμάστιζον. ἐφ' ὧν χρόνων καὶ Πορφύριος ὁ Τύριος ὑπάρχων πολλὰ κατὰ τῆς πίστεως ἡμῶν ἐκμανεὶς ἐλύσσησεν. χριστιανὸς γὰρ γενόμενος* 444 M. *καὶ τυπτηθεὶς ὑπό τινος χριστιανοῦ ἐν Παλαιστίνῃ θυ-* 20 *μωθεὶς μετῆλθε πάλιν εἰς τὸν ἑλληνισμὸν ὁ ταλαίπωρος καὶ κατὰ τῆς πίστεως ἐδογμάτισεν.*

Ὁποῖα τοίνυν καὶ ὅσα κατ' ἐκεῖνον ἐτόλμησαν τὸν καιρὸν οἱ τοῦ δυσσεβοῦς ὁμόφρονες πάμπολλα μέν ἐστι καὶ

12—14 Theod. Lect. *cf.* Exc. Bar. Theoph. *p.* 46, 17. — 14—17 Theodoret H. eccl. III, 6. — 17—22 Theod. Lect. *cf.* Cram. II, 96, 32 Exc. Bar. Theoph. *p.* 52, 7. — 23—*p.* 540, 8 Theodoret. H. eccl. III, 7.

2 *μυσαρωτάτην καὶ δαιμονιώδη* RV. — *ὀρύξας* D *ἀναρρήξας* P (*διορύξας* Theod.). — 4 *μιαρὸν* ABP *μιαρώτατον* rell. (*om.* Theod.). — 5 *καὶ ἀκάθαρτα om.* BD. — 13 *ὅσοις* B Exc. Theoph. — 20 *τυφθεὶς* B Theoph. (*sed ἐτυπτήθη* Cram. Exc.). — 21 *ἐπανῆλθε* ABV *ἀπῆλθε* R. — 24 *εἰσι* BPR.

4 *πολλῶν κακῶν ἡμερῶν* P. — 7 *ἐξηλάσθησαν* P.

συγγραφῆς ἰδίας ἐπιδεόμενα, ἡμεῖς δὲ ἐκ πολλῶν ὀλίγα διηγησόμεθα. ἐν Ἀσκάλωνι μὲν καὶ Γάζῃ ἀνδρῶν ἱερῶν καὶ γυναικῶν διὰ βίου τὴν παρθενίαν ἐπηγγελμένων ἀναρρήξαντες τὰς γαστέρας καὶ κριθῶν ἐμπλήσαντες προύθηκαν 5 *χοίροις βοράν, ὧν καὶ τῶν ἡπάτων καὶ τῶν αἱμάτων ἀπεγεύσαντο οἱ δυσώνυμοι. ἐν δὲ τῇ Σεβαστῇ πόλει τοῦ προδρόμου τὴν θήκην ἀνοίξαντες πυρί τε παρέδοσαν τὰ λείψανα καὶ τὴν κόνιν διεσκέδασαν. ἐν δὲ Καισαρείᾳ τῆς Φιλίππου τῇ νῦν Πανεάδι ἀνδριὰς ἦν τοῦ κυρίου, ὃν ἡ* 10 *αἱμόρρους εὐχαριστήριον πρὸ τοῦ οἴκου αὐτῆς ἔστησεν. βοτάνη δέ τις ἐφύετο ἐν τῇ βάσει, ἐν ᾗ πρότερον ὁ χαλκοῦς ἀνδριὰς ἵστατο τοῦ Χριστοῦ πᾶσι μὲν ἀνθρώποις ἄγνωστος πέλουσα, παντὸς δὲ πάθους ἀλεξητήριος τυγχάνουσα. ὅνπερ ἀνδριάντα Ἰουλιανὸς ὁ ἀσεβὴς καταγαγεῖν πρὸς ἐμπαιγμὸν* 15 *δῆθεν καὶ συρῆναι προστάξας ἴδιον ἀντ' ἐκείνου ξόανον* 445 M. *ἵδρυσεν. πῦρ δὲ κατελθὸν οὐρανόθεν τοῦτο κατέκαυσεν. τὸν δέ γε τοῦ κυρίου ἀνδριάντα ὑφ' Ἑλλήνων τότε συντριβέντα οἱ χριστιανοὶ συλλέξαντες ἐπιμελῶς εἰς ἐκκλησίαν ἀπέθεντο. ὁ δὲ ἐμβρόντητος Ἰουλιανὸς προφανῶς λοιπὸν καὶ* 20 *ἀναιδῶς κατὰ τῆς εὐσεβείας ὡπλίζετο. καὶ πρῶτον μὲν τὰς*

8—18 Theod. Lect. *cf.* Cram. II, 96, 7 Exc. Bar. Theoph. *p.* 49, 9. — 19—*p.* 541, 9 Theod. Hist. eccl. III, 15.

1 *δεόμενα* B Theod. — 2 *διηγησώμεθα* LMP. — *ἀσκαλῶνι* (*-ώνι* AM) ACEM *σκάλλωνι* P. — 3 *ἐπηγγειλμένων* P *ἐπηγγειλαμένων* B. — 6 *σεβαστηπόλει* D *σεβαστωπόλει* Exc. de virt. *σεβαστείᾳ πόλει* R. — 7 *παρέδωσαν* BCELMP *et* Exc. de virt. *lit. corr.* *παρέδωκαν* F. — *τὰ δὲ λείψανα* RV. — 8 *τῆς*] *τῇ* BF. — 14 *δυσσεβὴς* FRV. — 16 *κατελθὼν* BLNP.

1 *ἡμεῖς δὲ ὀλίγα ἐκ πολλῶν, φησὶ θεοδώρητος αὖθις, διηγησ.* P. — 2 *μὲν γὰρ καὶ* P Theod. — 7 *τὰ θεῖα λείψανα* P. — 10 *βοτάνη*—13 *τυγχάνουσα v.* 16 *post κατέφλεξεν ins., ἀνδριάντα v.* 14 *om.* P Cram. — 12 *τοῦ om.* P. — *ἀδιάγνωστος* P. — 13 *πέλουσα om.* P Cram. — 14 *καταγαγεῖν καὶ πρὸς ἐμπ. δῆθεν συρῆναι προστάξας* P Exc. Bar. — 16 *κατέφλεξεν* P Cram.

ἐν τῇ πόλει καὶ τὰς ἔξωθεν πηγὰς ταῖς μυσαραῖς θυσίαις ἐμόλυνεν, ὅπως ἕκαστος μεταλαμβάνων τοῦ νάματος μεταλαγχάνῃ καὶ τοῦ μύσους. ἔπειτα δὲ καὶ τὰ κατὰ τὴν ἀγορὰν προκείμενα τοῦ μιάσματος ἐνεπίμπλη. περιεραίνοντο γὰρ καὶ ἄρτοι καὶ κρέατα καὶ ὀπῶραι καὶ λάχανα καὶ τἄλλα 5 ὅσα ἐδώδιμα. ταῦτ' οὖν δρῶντες οἱ χριστιανοὶ ἔστενον μὲν καὶ ὠλοφύροντο ἐπὶ τοῖς γινομένοις, μετελάμβανον δ' ὅμως ἀποστολικῷ νόμῳ πειθόμενοι τῷ φάσκοντι· πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. ἔτι μὴν καὶ ἕτερον ἐξευρὼν κατὰ τῆς εὐσεβείας 10 μηχάνημα καὶ τοῖς στρατιωτικοῖς καταλόγοις χρυσίον διανέμων κατὰ τὸ παλαιὸν ἔθος καθῆστο μὲν αὐτὸς ἐπὶ θρόνου βασιλικοῦ, προύθηκε δὲ παρὰ τὸ ἔθος βωμὸν ἀνθράκων πλήρη καὶ λιβανωτὸν ἐπὶ τῆς κατὰ πρόσωπον αὐτοῦ τραπέζης, καὶ προσέταξε περὶ τῶν τὸ χρυσίον κομιζομένων ἕκαστον πρότερον 15 ἐπιβάλλειν τῷ βωμῷ λιβανωτόν, εἶτα προσέρχεσθαι καὶ τὸ χρυσίον παρὰ τῆς χειρὸς αὐτοῦ δέχεσθαι. καὶ πρὸς τούτοις ἐκέλευσε καὶ ταῖς μυσαραῖς εἰκόσιν αὐτοῦ συγγράφεσθαι Δία καὶ Ἄρεα, καὶ οὕτως ὁ ἀνόσιος ἔσπευδε καταμιαίνειν πάντας. ἐξέθετο δὲ καὶ νόμον ὥστε χριστιανοὺς μήτε στρα- 20

---

8 1. Cor. 10, 25. — 10—17 Theod. H. eccl. III, 16. — 17—19 Theod. Lect. *cf.* Exc. Bar. Theoph. *p.* 49, 5 Polyd. *p.* 376, 2. — 20—*p.* 542, 3 Theod. H. eccl. III, 8.

2 μεταλαγχάνει BCFLNPR Exc. de virt. — 3 τὰ *om.* MRV. — 4 ἐνεπίμπλει CLNPV ἐνεπίπλει A ἐνεπίμπλα BF Exc. de virt. ἐνεμπίπλα R ἐμπίπλησι E. — περιερραίνοντο BL. — 7 ὠλολύζοντο (ὀλ. C) CELV ὀλόλυζον R. — 10 ἐξεῦρον B ἐξεύρον Exc. de virt. ἐξεῦρεν F. — 11 μηχ. τοῖς στρατ. γὰρ B μηχ. τοῖς γὰρ στρατ. R. — 12 καθῆστο — 13 ἔθος *om.* LM. — 12 καθίστο (-ω BP) ABCEP ἐκάθητο (-ιτο D) DR. — 17 παρὰ] ἐκ AB Exc. de virt. ἀπὸ F. — 19 καὶ *ante* Ἄρεα *om.* N. — 20 μήτε στρατεύεσθαι ABP Exc. de virt. μὴ στράτ. rell.

7 ὠλοφ. βδελυττόμενοι τὰ γινόμενα P Theod. — 8 νόμῳ πειθ. πᾶν γάρ φησι τὸ P Theod.

τεύεσθαι μήτε ποιητικῶν ἢ ῥητορικῶν ἢ φιλοσόφων μαθη-
446 M *μάτων ἐκπαιδεύεσθαι. ἐκ γὰρ τῶν ἡμετέρων, φησίν, καθο-*
πλιζόμενοι γραμμάτων τὸν καθ' ἡμῶν ἀναδέχονται πόλεμον.
Ὃν Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος εὖ μάλα στηλι-
5 *τεύων φάσκει· σὸν τὸ ἑλληνίζειν, εἰπέ μοι; τί δέ; οὐ Φοι-*
νίκων τὰ γράμματα, ὥς δέ τινες τῶν Αἰγυπτίων ἢ τῶν ἐπὶ
τούτων σοφωτέρων Ἑβραίων, οἳ καὶ πλαξὶ θεοχαράκτοις ἐγγρα-
φῆναι τὸν νόμον παρὰ θεοῦ πιστεύουσιν; σὸν τὸ ἀττικίζειν;
τὸ ἀριθμεῖν δὲ καὶ λογίζεσθαι δακτύλοις μέτρα τε καὶ σταθμὰ
10 *οὐκ Εὐβοιέων; εἴπερ Εὐβοιεὺς ὁ Παλαμήδης ὁ πολλῶν*
εὑρετὴς καὶ διὰ τοῦτο ἐπίφθονος. σὰ τὰ ποιήματα; τί δέ;
οὐ τῆς γραὸς μᾶλλον ἐκείνης, ἣ τὸν ὦμον σεισθεῖσα παρά
τινος συντόνως, ὡς λόγος, εἶτα ἐνυβρίζουσα τῷ σφοδρῷ τῆς
ὁρμῆς ἔπος ἐφθέγξατο, καὶ τοῦτο ἀρέσαν τῷ νεανίᾳ λίαν
15 *καὶ φιλοπονώτερον μετρηθὲν τὴν θαυμασίαν σου ταύτην*
ἐδημιούργησε ποίησιν; αὐτὸ δὲ πόθεν σοι τὸ μυεῖσθαι καὶ
μυεῖν καὶ θρησκεύειν; οὐ παρὰ Θρᾳκῶν; καὶ ἡ κλῆσις πει-
θέτω σε. τὸ θύειν δὲ οὐ παρὰ Χαλδαίων, εἴτ' οὖν Κυ-
πρίων; τὸ δὲ γεωμετρεῖν οὐκ Αἰγυπτίων; τὸ δὲ μαγεύειν
20 *οὐ Περσικόν; τὴν δὲ ὀνείρων μαντικὴν τίνων ἢ Τελμησέων*
ἀκούεις; τὴν οἰωνιστικὴν δὲ ποίων; οὐκ ἄλλων ἢ Φρυγῶν
τῶν πρώτων περιεργασαμένων ὀρνίθων πτῆσίν τε καὶ κινή-

4—*p.* 543, 7 Greg. Naz. Or. IV in Julian. I *cp.* 107—109. Migne Tom. 35, 641 C *ex* Anastasii Sin. Quaest. 65 Migne Tom. 89, 680 C.

1 *ποιητικὸν ἢ ῥητορικὸν* ABC. — *φιλοσοφικῶν μαθ.* F *φιλόσοφον μάθημά τι* B. — 9 *σταθμὰ* F Greg. *στάθμια* CB *et* A *sed corr. ex στάθμα. στάθμα* rell. (*στάθμας* Anast.). — 16 *αὐτὸς* CR. — 17 *μύειν* BFMR. — 20 *ὀνειρομαντικὴν* (*m. 1 ex -ματικὴν* P) PR (*δι' ὀνείρων μαντικὴν* Greg.). — *τελμισέων m. 2 ut vid. ex τελμησαίων* B *τελμισαίων* R *τελμισίων* F *τελμεσαίων* M. — 22 *τῶν πρώτων* CFP *et* recc. quidam (Greg. Anast.) *τῶν πρώτως* V *τὸν τρόπον* B *τῶν πρῶτον* rell. — *ὀρνίθων om.* EFN.

1 *ποιητικῶν καὶ ῥητορικῶν καὶ φιλοσοφουμένων λόγων μανθάνειν* P (*φιλοσόφων μεταλαγχάνειν λόγων* Theod.).

ματα. καὶ ἵνα μὴ μακρολογῶ, πόθεν σοι τὸ καθ' ἕκαστον; οὐχ ἓν ἐξ ἑκάστων; ὧν ἁπάντων εἰς ταὐτὸ συνελθόντων ἓν δεισιδαιμονίας μυστήριον συνέστη. τί οὖν; δεξόμεθα, πάντων ἀποχωρησάντων εἰς τοὺς πρώτους εὑραμένους, μηδὲν ἕτερον ἔχειν πλὴν τῆς κακίας καὶ τῆς περὶ τὸ θεῖον ταύτης 5 447 M. καινοτομίας. ἡ γὰρ τοῦ λόγου δύναμις τοῖς μὲν ἐπιεικέσιν ὅπλον, τοῖς δὲ μοχθηροῖς κέντρον κακίας γίνεται.

Καὶ μέντοι καὶ τοὺς Ἰουδαίους κατὰ τῶν Χριστιανῶν ἐξοπλίζων ἤρετο τούτους· διὰ τί θύειν τοῦ νόμου κελεύοντος οὐ θύετε; τῶν δὲ τὸν ἐν Ἱεροσολύμοις ναὸν καὶ τὴν 10 ἐκεῖσε περιγεγραμμένην αὐτῶν λατρείαν προβαλλομένων, αὐτίκα προσέταξεν ὁ θεομάχος ἀνεγεῖραι τὸν κατ' ὀργὴν καὶ γνώμην θεοῦ ναὸν καταλυθέντα. καὶ τοῦτο μετὰ πολλῆς χαρᾶς ἀκούσαντες ἅπασι τὰ προστεταγμένα τοῖς κατὰ τὴν οἰκουμένην ὁμοφύλοις ἐδήλωσαν. καὶ οἱ μὲν πανταχόθεν συνέτρε- 15 χον καὶ χρήματα καὶ προθυμίαν εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ προεισφέροντες, ὁ δὲ συναπέστειλεν αὐτοῖς καὶ ἄρχοντα καὶ πολλὴν ὑπηρεσίαν καὶ συνδρομήν. σκαπάνας γὰρ καὶ ἄμμας ἀργυρᾶς κατασκευάσας συνέπεμψε τοῖς ἀντιθέοις Ἰουδαίοις. καὶ ἐπεὶ ὀρύττειν ἤρξαντο καὶ τὸν χοῦν ἐκφέρειν 20 πολλαὶ μυριάδες, ἐξαπίνης ἄνεμοι ῥαγδαῖοι βίαιοί τε καὶ στρόβιλοι πνεύσαντες ἀθρόως ἅπαντας διεσκέδασαν. ἐκείνων δὲ μεμηνότων ἔτι καὶ τῇ θείᾳ μακροθυμίᾳ μὴ σωφρονιζομένων, ἀλλὰ τοῦ ἔργου πάλιν ἁπτομένων, πρῶτον μὲν σεισμὸς ἐγένετο μέγιστος καὶ φοβερώτατος, ἔπειτα δὲ πῦρ 25

8—*p.* 544, 8 *cf.* Theodoret. H. eccl. III, 20.

2 εἰς ταὐτὸ BFP εἰς ταὐτὸν A εἰς αὐτὸ rell. — 7 ὅπλον εἰς ἀρετήν N *e coni.* ἀρετῆς ὅπλον Anast. — 13 καταλυθέντα ναόν FL. — 19 ἄμνας C ἄσμας M ἅμας recc. quidam. — ἀντιθέτοις A *om.* L. — ἰουδαίοις *om.* EFGN. — 20 ἐκφορεῖν F Theod.

7 γινώσκεται P. — 12. 13 ὀργὴν θεοῦ καὶ γνώμην P. — 20 ἐπεὶ οὖν (*om.* καὶ) P.

ἐκ τῶν ὀρυττομένων θεμελίων ἀναδραμὸν τοὺς πλείστους κατέκαυσεν. κατὰ δὲ τὴν αὐτὴν νύκτα καὶ τὴν μετ' αὐτὴν ὤφθη ἐν τῷ οὐρανῷ τοῦ σταυροῦ τὸ σχῆμα πᾶσαν φωτοειδῶς καταυγάζον τὴν γῆν ἐκείνην. ἅπερ οἱ ματαιόφρονες 5 *θεασάμενοι καὶ τὴν κατ' αὐτῶν θεομηνίαν ἐναργέστερον ἐπ-* 448 M. *αισθόμενοι πρὸς τὰ ἴδια μετ' αἰσχύνης ἀπέδρασαν. ὁ δὲ βαρυκάρδιος Ἰουλιανὸς ταῦτα μεμαθηκὼς παραπλησίως καὶ αὐτὸς τῷ Φαραῷ τὴν καρδίαν ἐσκλήρυνεν.*

Μετὰ δὲ ταῦτα Πέρσαι κατὰ τῆς Ῥωμαίων ἐξελθόντες 10 *γῆς, ἔδοξεν αὐτῷ τούτοις ἀντιπαρατάξασθαι, καὶ τοὺς μάντεις ἐπερωτήσας, ἐκέλευον καὶ ὑπισχνοῦντο τὴν νίκην αὐτῷ ὡς παρὰ τῶν δαιμόνων εἰληφότων. ὅθεν καὶ χρησμὸν τῷ δυσσεβεῖ ἐπανεγίνωσκον ἔχοντα οὕτως· νῦν δὲ πάντες ὡρμήθημεν θεοὶ νίκης τρόπαια κομίσασθαι παρὰ θηρὶ ποταμῷ.* 15 *τῶν δ' ἐγὼ ἡγεμονεύσω θοῦρος πολεμόκλονος Ἄρης. τούτοις πεισθεὶς ὁ πεφενακισμένος καὶ πολλὰ καὶ μεγάλα καὶ δυσδιήγητα κατὰ χριστιανῶν ποιήσας καὶ ἄλλα πλείονα ποιεῖν μετὰ τὸν πόλεμον καὶ τὴν νίκην ἐπαγγειλάμενος κατὰ Περσῶν ἐκίνησε καὶ διαβὰς τὸν ὁρίζοντα ποταμὸν ἀπὸ τῆς* 20 *Περσῶν τῇ Ῥωμαίων χώρᾳ καὶ ὑπό τινος ἀπατηθεὶς Περσικοῦ νεανίσκου λέγοντος ὡς ἐν τρισὶν ἡμέραις παραδώσειν*

9—15 *cf.* Theodoret. H. eccl. III, 21. — 16—18 Theod. Lect. *cf.* Exc. Bar. Theoph. *p.* 52, 30. — 18—19 *cf.* Theodoret. III, 25, 1. — 20—*p.* 545, 8 *cf.* Sozom. H. eccl. VI, 1, 10?

1 *ἀναδραμὼν* ABFMPV *et* recc. quidam. *Lit. corr. in* P. — 1. 2 *κατέκαυσε τοὺς* (*τοὺς om.* R) *πλείστους* RV. — 4 *καταυγάζων* ABLMR. — 9 *κατὰ τῆς ῥωμαίων — γῆς* BFNV *κατὰ τὴν ῥωμ. — γῆν* ACELR *κατὰ ῥωμαίων* P. — 11 *αὐτῷ post ἐκέλευον ins.* FR *om.* P Theod. — 12 *εἰληφότα* B *εἰληφῶτες* F. — 13 *οὕτως*] *ταῦτα* AB. — 14 *θῆρι* BCDFL *θήρι* M. — 15 *θοῦρρος* ALP *θούρρος* C *κουθοῦρος s. κοθοῦρος* R. — 20 *τὴν — χώραν* R.

2 *ἐνέπρησεν* P Theod. — 3 *φωτωειδῶς πᾶσαν* P. — 12. 13 *εἰληφότων χρησμὸν οὕτως ἔχοντα* (*rell. om.*) P. — 16. 17 *καὶ δυσδιήγητα om.* P Theoph. Exc. — 20 *χώρᾳ*] *ἡγεμονίᾳ* P Theod.

αὐτῷ τὴν Βαβυλῶνα, καὶ μὴ χρῄζειν πολλῶν ἀναλωμάτων, εὐθὺς τὰς μὲν τὴν τροφὴν τοῦ λαοῦ κομιζούσας ναῦς ἐνεπύρισεν, αὐτὸς δὲ διὰ γῆς ἀπῄει δυσβάτου ποδηγούμενος ὑπὸ τοῦ ἀπατεῶνος Πέρσου· ὃς ἐξαίφνης ἀποδράσας κατέλιπε τὸν εὐρίπιστον καὶ κουφότατον πλανώμενον μετὰ τοῦ 5 λαοῦ καὶ τρυχόμενον ὑπό τε τῆς ἐρημίας καὶ τῆς τῶν τροφῶν ἀπορίας. τοσαύτη γὰρ ἔνδεια περιέσχεν αὐτούς, ὡς καὶ ἵππων καὶ ἡμιόνων ἀπογεύσασθαι. πλανώμενος οὖν ὁ λαὸς καὶ σφόδρα διαφθειρόμενος εὗρον ἐξάπινα κείμενον τὸν θεήλατον. ἐξ ἀφανοῦς γὰρ ἀκόντιον φέρεται κατ' αὐτοῦ 10 καὶ διὰ τοῦ βραχίονος εἰς τὴν πλευρὰν διαδραμὸν εἰσέδυ· ἐξ ἧς πληγῆς τὸν βίον κατέστρεψεν, ἀδήλου τοῦ ἀνελόντος αὐτὸν γενομένου. καὶ τὸν μὲν τὴν δικαίαν ἐκείνην ἐπενεγκόντα πληγὴν οὐδεὶς ἔγνω μέχρι καὶ τήμερον. ὅμως δέ, 419 M. εἴτε ἄνθρωπος εἴτε ἄγγελος τοῦτο δέδρακεν, τοῦ θείου νεύ- 15 ματος ὑπηρέτης γέγονεν. ἐκεῖνον δέ φασι δεξάμενον τὴν πληγὴν εὐθὺς πλῆσαι τὴν χεῖρα τοῦ αἵματος καὶ ῥίψαι εἰς τὸν ἀέρα καὶ φάναι· ἐνίκησας, Γαλιλαῖε, ἐνίκησας. καὶ ἀνακομισθὲν τὸ μιαρὸν αὐτοῦ σῶμα ἐν Ταρσῷ καὶ ταφὲν ἀνεβράσθη ἀπὸ τῆς γῆς καὶ ἀπερρίφη, καθὼς ἔφη πάλιν Γρη- 20 γόριος ὁ τῆς θεολογίας ἐπώνυμος· μικρὸν γὰρ τὸ ἐν μέσῳ καὶ Πέρσαις μὲν ἡ δίκη δοῦσα τὸν ἀλιτήριον ἐκεῖ δικάζει καὶ νεκρὸν ἐπανάγει μηδὲ ἐλεούμενον, ὡς δ' ἐγώ τινος

8—10 *cf.* Theodoret. III, 25, 5. — 10—13 *cf.* Socrat. H. eccl. III, 21, 12. — 13—18 *cf.* Theodoret. III, 25, 6. — 18—19 *cf.* Socrat. III, 26, 1. — 20—*p.* 546, 3 Greg. Naz. Or. XXI *cp.* 33 Migne Tom. 35, 1121 A.

11 διαδραμὼν (-μῶν CFM) ACFNPRV. — 14 οὐδεὶς — 17 πληγὴν *om.* M. — 15 εἴτε ἄγγελος εἴτε ἄνθρωπος DF εἴτε ἄνθρωπος εἴτε ἄγγελος εἴτε ἄνθρωπος G. — 19 τὸ σῶμα αὐτοῦ τὸ μιαρὸν BL. — 20 καὶ ἔφη πάλιν CENR καὶ πάλιν ἔφη L. — 22 ἀλητήριον ACFNP. — 23 ὡς—*p.* 546, 1 προσλαμβανόμενον *om.* FR. — δὲ ἐγώ CENV.

20. 21 Γρηγόριος. φησὶ γάρ· μικρὸν τὸ ἐν μ. P.

ἤκουσα μηδὲ τῷ τάφῳ προσλαμβανόμενον, ἀλλ' ὑπὸ τῆς σεισθείσης δι' αὐτὸν γῆς ἀποσειόμενος καὶ ἀναβρασσόμενος, προοίμιον οἶμαι τῆς ἐκεῖθεν κολάσεως.

Μετὰ δὲ ταῦτα ἐφωράθησαν αἱ τῆς ἐκείνου γοητείας 5 *μαγγανεῖαι. ἐν μὲν γὰρ τῇ Περσίδι τυγχάνων πέμψας δαίμονα πρὸς τὴν δύσιν πρὸς τὸ ἐνεγκεῖν αὐτῷ ἐκεῖθεν ἀπόκρισιν διὰ τάχους, ἐκωλύθη τῆς πρόσω πορείας ὑπό τινος μονάζοντος ἐπὶ ἡμέρας δέκα, καὶ μὴ δυνάμενος ὁ δαίμων προβῆναι πάλιν πρὸς τὸν Ἰουλιανὸν ὑπέστρεψεν. ὁ δὲ τὴν* 10 *αἰτίαν τῆς βραδυτῆτος ἐρωτήσας, ἀπεκρίθη αὐτῷ ὁ δαίμων· καὶ ἐβράδυνα καὶ ἄπρακτος ἐπανῆλθον. ἐκδεχόμενος γὰρ Πούπλιον μονάζοντα, εἴ πως παύσηται τῆς προσευχῆς, καὶ μὴ παυσαμένου αὐτοῦ ἡμέρας ι', διεκώλυσέ με ποιῆσαι τὸ* 450 M. *θέλημά σου. καὶ τοῦτο ἀκούσας Ἰουλιανὸς καὶ ἀγανακτή-* 15 *σας σφόδρα προσηπείλησε μετὰ τὴν ὑποστροφὴν ἐξολοθρεῦσαι τῶν μοναχῶν τὸ γένος. ὅπερ μαθών τις τῶν μεγιστάνων αὐτοῦ καὶ θαυμάσας ἐπανελθὼν διένειμε τὰ ὑπάρχοντα αὐτοῦ πάντα πένησι καὶ ἀπῆλθε πρὸς τὸν γέροντα καὶ γενόμενος μοναχὸς δόκιμος πᾶσιν ἔλεγε τὴν ἰσχὺν τῶν μονα-* 20 *ζόντων ἣν ἔλαβον κατὰ τῶν σκοτεινομόρφων δαιμόνων.*

Ἐν δὲ Κάραις τῇ παρὰ τοῦ Κάρου βασιλέως κτισθείσῃ πόλει τὴν πρὸς Πέρσας ποιούμενος πορείαν εἰσελθὼν καὶ

4—5 *cf.* Theodoret. H. eccl. III, 26, 1. — 21—*p.* 547, 9 *cf.* Theodoret. H. eccl. III, 26; 27.

2 *ἀποσειόμενον καὶ ἀναβρασσόμενον* V Greg. — 6. 7 *ἀπόκρισιν διὰ τάχους ἐκεῖθεν* N. — 8 *ἐπὶ om.* BM. — 10 *αὐτῷ om.* FR. — 12 *παύσεται* BV. — 16 *τὸ τῶν μοναχῶν γένος* B *τὸ γένος τῶν μοναχῶν* L. — 18 *αὐτῷ* BL. — *πάντα om.* ABLN. — 19 *μοναχὸς δόκιμος* ABP *δόκιμος μοναχὸς* rell. — 21 *κάρες* CNP. — *τοῦ ante Κάρου om.* ABL *post Κάρου ins.* B.

6 *δύσιν ἐκεῖθεν ἀπόκρισιν ἐνεγκεῖν αὐτῷ διὰ* P. — 10. 11 *ἐρωτήσας ἔφη· καὶ ἐβράδυνα* P. — 12. 13 *καὶ μὴ παυσάμενος ἡμ. ι'* P. — 19 *ἔλεγε πᾶσι τὴν κατὰ τῶν δαιμόνων ἰσχὺν τῶν μοναζόντων* (*om. ἣν — δαιμόνων*) P.

ἔν τινι καταδύσει θυσίας ἀκαθάρτους ἐπιτελέσας κλεῖθρα
καὶ σήμαντρα ταῖς θύραις ἐπέθηκε καὶ φύλακας ἐπέστησεν.
ἥνπερ ἀνοίξαντες μετὰ τὴν ἐκείνου πτῶσιν εὗρον γύναιον
ἐκ τῶν τριχῶν κρεμάμενον καὶ ἐκτεταμένον ἔχον τὰς χεῖρας,
ἧς ἀνασχίσας ὁ ἄσπλαγχνος τὴν γαστέρα τὴν κατὰ Περσῶν 5
δήπουθεν ἔγνω διὰ τοῦ ἥπατος νίκην. ἐν δὲ Ἀντιοχείᾳ
πολλὰς μὲν κιβωτοὺς ἐν τοῖς βασιλείοις κεφαλῶν ἀνθρώπων
πεπληρωμένας, πολλὰ δὲ φρέατα νεκρῶν σωμάτων εὗρον
πεπλησμένα. καὶ γὰρ μυρίας μὲν γυναῖκας ἐν γαστρὶ ἐχού-
σας ἀνατεμὼν καὶ ἐν τοῖς ἐμβρύοις ἡπατοσκοπούμενος καὶ 10
πολλὰ παιδία κατασφάξας ὑπὸ τὰ εἴδωλα κατώρυξεν ὁ φιλ-
είδωλος Εἰδωλιανός. πολλὴν δὲ καὶ ἄλλην λογικὴν ἀγέλην
ἐκ ποικίλων ἡλικιῶν διαφόροις ὑπέβαλε θανάτοις ἐπ' ὀνό-
ματι Ποσειδῶνος καὶ τῶν λοιπῶν δαιμόνων ὁ δαιμονιώδης
καὶ θεομίσητος, οὐ μὴν δὲ ἀλλὰ καὶ ἵππους λευκούς τε καὶ 15
πυροὺς ἔθυεν, τοὺς μὲν τῷ ἡλίῳ, τοὺς δὲ τῷ πυρὶ καὶ τοῖς
ἀνέμοις, καὶ πρὸς τούτοις κύνας καὶ πιθήκους καὶ κόρακας
καὶ πᾶν σχεδὸν ἑρπετῶν εἶδος καὶ τετραπόδων θηρίων τε
καὶ τῶν ἄλλων πτηνῶν καὶ νηκτῶν οὐ διέλειπε κατασφάτ-
των καὶ τελετὰς παντοίας ἐπινοῶν, πλείους καὶ χείρους τῶν 20
παρ' Ἕλλησι νενομισμένων πρὸς τὸ πάντας τοὺς πρὸ αὐτοῦ 451 M.
ἑλληνίσαντας ὑπερακοντίσαι, διὰ τῶν τοιούτων οἰόμενος ὁ
ἄθεος ἀποθεωθῆναι καὶ θεὸς νομισθῆναι. τοιαῦτα τῶν
δυσωνύμων θεῶν καὶ δαιμόνων ἀκαθάρτων τὰ ἐπιτάγματα
καὶ μαντεύματα καὶ τοιαῦτα τοῦ ματαιόφρονος καὶ θεηλά- 25

---

4 κρεμμάμενον BFLV κρεμώμενον P. — καὶ *om.* NP. — ἐκτεταμμένον LV ἐκτεταμένας (-αμμένας B) BFM. — 11 φιλειδόνος L φιλήδονος BR. — 16 πυρροὺς AELMV. — 18 εἶδος] γένος MV. — 19 διέλιπε BFLRV διελίμπανε P. — 20 παντοίους AL. — 21 τὸ *om.* AB. — 25 ματαιόφρονος καὶ θεηλάτου ABP ματαιόφρ. καὶ ἀποστάτου F ματαιόφρ. καὶ ἀποστάτου καὶ θεηλάτου CEGLNV ματαιόφρ. καὶ θεηλ. καὶ ἀποστάτου R.

3 ηὗρον P. — 15 καὶ θεομίσητος *om.* P. — 24 καὶ δαιμόνων ἀκαθάρτων *om.* P.

του τὰ ἀποτελέσματα. καὶ τούτων μὲν ἡ ψευδομαντεία τε καὶ ἀπάτη πεφώραται, ἐκεῖνος δὲ τῇ τούτων πλάνῃ δεδουλωμένος τέθνηκε ψυχῇ καὶ σώματι ἐτῶν ὑπάρχων λ', καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτοῦ καὶ τὰ ἔτη αὐτοῦ
5 μετὰ σπουδῆς, καὶ ἀπώλετο διὰ τὴν ἀνομίαν αὐτοῦ. πολλὴν γὰρ ἀδικίαν καὶ ἀνομίαν εἰς τὸ ὕψος ὄντως ἐλάλησεν, καὶ ἔθετο εἰς οὐρανὸν τὸ στόμα αὐτοῦ, καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς, ὡς γέγραπται. καὶ πάνδεινα καὶ δυσεξήγητα πράξας καὶ πάνυ μεγαλαυχήσας τὴν ἑαυτοῦ προ-
10 τέραν πίστιν καὶ τάξιν μὴ τηρήσας πέπτωκε πτῶμα ἐξαίσιον καὶ δυσδιήγητον, ὥσπερ καὶ ὁ τοῦτον ἀπατήσας καὶ ἀπολέσας παγκάκιστος διάβολος.

[δ'. Περὶ Ἰωβιανοῦ.]

Μετὰ δὲ Ἰουλιανὸν ἐβασίλευσεν Ἰωβιανὸς μῆνας η'. μετὰ
15 τὴν Ἰουλιανοῦ σφαγὴν μόλις ποτὲ πρᾷον ἡμῖν βασίλειον τὸ Ἰωβιανοῦ ἀνενεώθη. οὗτος γὰρ ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ βασιλεὺς καὶ ὁμολογητὴς καὶ τῆς κακῶς ἐπενεχθείσης πλάνης ὠθητὴς ἀπεφάνθη. ἐπειδὴ γὰρ ἐν τοῖς ὅπλοις ὁ στρατὸς ἐτύγχανεν, καὶ ὁ βάρβαρος ἐπέκειτο, οἱ ἡμέτεροι στρα-

---

3 Psalm. 77 (78), 33. — 5 Psalm. 72 (73), 19. — Psalm. 72 (73), 8. — 14—*p*. 549, 18 Rufin. Hist. eccl. II, 1.

4 ἐξέλειπον ACN. — 6 ἀδικίαν καὶ ἀνομίαν ABP ἀνομίαν καὶ ἀδικίαν rell. — ὄντως] οὗτος A *om*. BFR. — 9 δυσδιήγητα P δυσδιεξήγητα B. — 10 τάξιν καὶ πίστιν ABV. — 11 καὶ ἀπολέσας παγκάκιστος *om*. FP. — 14 ἰουβιανὸς F ἰοβιανὸς ER *et sic deinceps*. — μετὰ γὰρ τὴν BF μετὰ δὲ τὴν M. — 18 ὁλοθρευτὴς B διορθωτῆς F. — ἀπεφάνη AB.

1 τε *om*. P. — 3 καὶ οὕτω λοιπὸν ἐξέλιπον P. — 10 πτῶμα ἐξαίσιον καὶ δυσδιήγητον *om*. P. — 12 Alia sequuntur in P tertio volumini servanda, cui inseretur etiam codicis P de Joviano Valentiniano Valente Theodosio Magno narratio tam diversa diversisque ex fontibus maximam partem hausta, ut nihil fere utilitatis ad textum vulgatum emendandum inde percipere possimus.

τηγοὶ περὶ τῶν ἄκρων βουλευόμενοι πραγμάτων Ἰωβιανῷ τὴν ψῆφον δεδώκασιν. ἐκεῖνος δὲ κατασχεθεὶς εἰς τὸ ὑποδέξασθαι τὰ τῆς βασιλείας σύμβολα πρὸς τὸ στρατόπεδον τὸ μολυνθὲν ταῖς Ἰουλιανοῦ ἱεροσυλίαις λέγεται εἰρηκέναι μὴ δύνασθαι αὐτὸν βασιλεύειν τούτων, ἐπειδὴ χριστιανὸς αὐτὸς 5 ἦν. τότε πάντες ὁμοίᾳ καὶ τῇ αὐτῇ φωνῇ ἀποκρίνασθαι 452 M. λέγονται ὅτι· καὶ ἡμεῖς χριστιανοί ἐσμεν. πρὶν δὲ ἀκοῦσαι ταύτην τὴν φωνὴν οὐκ ἠνέσχετο ἐφησυχάσαι τῷ δέξασθαι τὴν βασιλείαν. τοιγαροῦν εὐθὺς αὐτῷ θεῖά τις φιλανθρωπία παρεγένετο, καὶ παρ' ἐλπίδα πᾶσαν, συγκειμένων τῶν 10 ἡμετέρων πανταχόθεν παρὰ τῶν πολεμίων, καὶ μηδεμιᾶς εὐχερείας αὐτοῖς οὔσης τοῦ διαφυγεῖν, ἄφνω πρεσβευταὶ πεμφθέντες παρὰ τῶν βαρβάρων παραγίνονται καὶ ἐξαιτοῦσιν εἰρήνην, καὶ τῷ στρατοπέδῳ ἤδη ὑπὸ τοῦ λιμοῦ καταναλωθέντι τροφὰς καὶ τὰ ἀναγκαῖα καὶ τὰ λοιπὰ συναλλάττειν 15 ἐπαγγέλλονται καὶ πάσῃ φιλανθρωπίᾳ τὴν ἡμετέραν διορθοῦσθαι προπέτειαν. κθ' δὲ συνθέμενος ἔτεσιν εἰρήνην εἰς τὴν Ῥωμαίων ἐπανῆλθε γῆν σὺν τοῖς στρατεύμασιν. ἠναγκάσθη δὲ καὶ τὴν Νίσιβιν πόλιν μεγίστην οὖσαν Πέρσαις παραχωρῆσαι. οὗτος πολλὴν τῶν ἐκκλησιῶν φροντίδα καὶ 20 ἐπιμέλειαν ποιούμενος τοὺς ἐν ἐξορίαις ἐπισκόπους ἀνεκαλέσατο. τῷ δὲ ἱερῷ Ἀθανασίῳ ἐπέστειλε τῆς ἀμωμήτου πί-

---

18—20 Theod. L. *cf.* Theoph. *p.* 53, 31 Polyd. *p.* 384, 8. — 22—*p.* 550, 3 Th. L. *cf.* Theoph. *p.* 54, 2 Polyd. *p.* 384, 14.

5 αὐτὸς χριστιανὸς ἦν L ἦν αὐτὸς χριστιανός F. — 6 ἀπεκρίθησαν λέγοντες C ἀποκριθῆναι λέγοντες (-ται G) R. — 7 καὶ *om.* FLN. — 8 ἐφησυχάσαι τῷ *om.* C. — τῷ] τὸ AENV τοῦ B *et* recc. quidam *om.* F *et* recc. alii. — 9 εὐθὺς *om.* RV. — 10 συγκλειομένων? cum clausi tenerentur Ruf. — 12 εὐχερείας B εὐχαιρίας A εὐεργεσίας CFNRV ἐνεργείας E ἐλπίδος L (facultas Ruf.). — οὔσης αὐτοῖς FLN αὐτοῖς *om.* V. — 17 κθ' — εἰρήνην *om.* C. — συνθεμένοις (συνθέμενοις) ἔτεσιν EN ἔτ. συνθέμενος B ἔτ. συνθεμένοις FL. — 19 νισιβην (*acc. evan.*) A νίσιβην FM νησίβην *et* νησσίβην R ἴσιβιν B. — 20. 21 ποιούμενος καὶ ἐπιμέλειαν M καὶ ἐπιμέλειαν *om.* A. — ἐπισκόπους A Polyd. Theoph. ἐπισκόπους πάντας rell. Exc. de virt. — 22 ἀπέστειλε AM *et* recc. nonnulli.

στεως ἐγγράφως αὐτῷ σημᾶναι τὴν ἀκρίβειαν. ὅπερ καὶ πέπραχεν Ἀθανάσιος καὶ γέγραφεν Ἰωβιανῷ ἐπιστολὴν πλήρη ὀρθοδοξίας. ἀλλ' ὁ οὕτως εὐσεβὴς καὶ θαυμάσιος μετὰ η' μῆνας τῆς αὐτοῦ βασιλείας ἐν Κιλικίᾳ τετελεύτηκε μέγα 5 *πένθος καταλείψας τῇ ἐκκλησίᾳ καὶ λαοῖς ἅπασιν.*

[ε'. *Περὶ Οὐαλεντινιανοῦ.*]

453 M. *Μετὰ δὲ Ἰωβιανὸν ἐβασίλευσεν Οὐαλεντινιανὸς, ἔτη ιβ' ἀναγορευθεὶς ἐν Νικαίᾳ τῆς Βιθυνίας. ὅστις ὑπὲρ τῆς ἡμετέρας πίστεως παρὰ Ἰουλιανοῦ ἐτύγχανε τῆς στρατείας* 10 *ἐκβληθείς. ἀλλ' ἐπλήρωσεν ἐν αὐτῷ ὁ θεὸς ὅπερ ὑπέσχετο ὑπὲρ τὰ ἑκατονταπλασίονα ἐν τῷ παρόντι αἰῶνι ἀποδεδωκὼς αὐτῷ. ἐπειδὴ γὰρ ὑπὲρ τῆς πίστεως τὴν στρατείαν καταλελοίπει, τὴν βασιλείαν ἐδέξατο. οὗτος εἰς τὴν βασιλείαν κοινωνὸν προσελάβετο μετὰ λ' ἡμέρας τῆς ἑαυτοῦ ἀναγορεύ-* 15 *σεως τὸν ἑαυτοῦ ἀδελφὸν Οὐάλεντα. εἰσελθὼν γὰρ ἐν Κωνσταντινουπόλει μεταπεμψάμενος αὐτὸν ἐκ Πανονίας πόλεως Κιβαλῆς (ἐκεῖθεν γὰρ ὥρμηντο) κοινωνὸν αὐτὸν τῆς βασιλείας προσελάβετο, καὶ ἑαυτῷ μὲν τὰ τῆς δύσεως ἐπελέξατο μέρη, ἐκείνῳ δὲ τὰ τῆς ἀνατολῆς κατέλιπεν. Οὐάλης δὲ*

3—4 Rufin. II, 1. — 8 Th. L. *cf.* Polyd. *p.* 386, 3. — 8—13 Rufin. II, 2. — 13—19 Th. L. *cf.* Polyd. *l. l.* — 19—*p.* 551, 10 Rufin. II, 2.

1 *ἐγγράφως αὐτῷ* CEFLNRV Pol. Theoph. *αὐτῷ ἐγγράφως* AB. — 2 *καὶ γέγραφεν* — 3 *θαυμάσιος om.* F. — *πλήρη* LMV *πλήρης* BCDER *πλήρις* A. — 3 *ὁ οὕτος* A *οὗτος* (*om.* ὁ) CG *ὁ τοιοῦτος* B *οὗτος ὁ* R. — 7 *οὐαλεντινιανὸς ὁ μέγας* FV *οὐαλεντιανὸς* AD *et* recc. quidam. — 9 *στρατίας* CDG *στρατιᾶς* E. — 10 *ἐν αὐτῷ* CDEFNRV Ruf. *ἐν om.* ABLM. — 11 *τὰ*] *τῶν* C *om.* A. — 12 *στρατίαν* CD *στρατιὰν* E. — *καταλελείποι* A *καταλέλοιπεν* V *κατέλιπε et κατέλειπε* recc. multi. — 14 *προσέλαβε* B *προσεβάλετο* E *προεβάλετο* recc. quidam. — *τῆς αὐτοῦ ἀναγ.* FL. — 15 *τὸν ἀδελφὸν αὐτοῦ* ABF (*τὸν ἴδιον ἀδ.* Pol.). — 16 *πανοννίας* F *παιονίας* (*-ωνίας* EL) CELR *σπανίας* M. — 17 *ὥρμητο* ABRV *invito* Pol. — 19 *κατέλειπεν* ACFN *καταλέλοιπεν* L.

συγκροτῶν τοὺς αἱρετικοὺς εἰς τὴν ὁδὸν τῶν ἰδίων πατέρων ἐπορεύετο. καὶ γὰρ ἐπισκόπους εἰς ἐξορίαν ἔπεμψε καὶ πρεσβυτέρους καὶ διακόνους καὶ μοναχούς, Τατιανοῦ τότε ἄρχοντος τῆς Ἀλεξανδρείας, ἐπὶ τοσοῦτον ὥστε καί τινας εἰς βασάνους ἀγαγεῖν καὶ τῷ πυρὶ παραδοῦναι καὶ πλεῖστα 5 ἀθέμιτα καὶ ὠμότατα κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας μηχανήσασθαι. ταῦτα πάντα μετὰ τὴν τελευτὴν Ἀθανασίου διεπράττετο. ὥσπερ γὰρ θείᾳ τινὶ κωλυθεὶς ἀρετῇ καίτοι κατὰ 454 M. τῶν ἄλλων βακχεύων οὐδὲν κατ' ἐκείνου λυπηρὸν ἐτόλμησεν ἁμαρτῆσαι. 10

Οἱ ἐν Κωνσταντινουπόλει ὀρθόδοξοι ἐλεεῖσθαι νομίσαντες ὑπὸ Οὐάλεντος πρεσβείαν ἔστειλαν πρὸς αὐτὸν ἐν Νικομηδείᾳ τυγχάνοντα πέμψαντες ὀγδοήκοντα ἱερατικοὺς ἄνδρας, ὧν ἡγοῦντο Θεόδωρος καὶ Οὐρβανὸς καὶ Μενέδημος. οὓς ἅπαντας σὺν αὐτῷ τῷ πλοίῳ ὑπαφθῆναι προσέταξεν, καὶ 15 πάντες σὺν τῇ νηῒ κατεφλέχθησαν, μέχρι Δακιδίζων τοῦ πλοίου διαρκέσαντος κἀκεῖσε διαλυθέντος. Οὐάλης πᾶσαν ἐκκλησίαν πορθήσας ἧκε καὶ εἰς Καισάρειαν ἀπὸ ἀνατολῆς κατὰ Βασιλείου κινούμενος, ὅτε καὶ τὰ κατὰ τὸν υἱὸν αὐτοῦ ἐγένετο, καθώς φησιν ὁ Θεολόγος Γρηγόριος. Δημοσθένους 20 ἑνὸς τῶν ὀψοποιούντων τῷ Οὐάλεντι ἐν τῇ πρὸς Οὐάλεντα συντυχίᾳ καταδραμόντος Βασιλείου καὶ βαρβαρίσαντος, μικρὸν μειδιάσας ἔφη ὁ διδάσκαλος· ἰδοὺ ἐθεασάμεθα καὶ Δημο-

11—17 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 58, 28 Polyd. *p.* 398 *fin.* — 17—20 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 63, 20 Polyd. *p.* 414, 11. — 20—*p.* 552, 1 Th. L. *cf.* Cram. Anecd. *p.* 97, 4 *et* Exc. Bar. Theoph. *p.* 63, 24 Polyd. *p.* 414 *fin.*

1 *τοῖς αἱρετικοῖς* BV. — 11 *οἱ ἐν κ.* CEN *οἱ ἐν κ. δὲ* BL *οἱ δὲ ἐν κ.* A *καὶ λοιπὸν οἱ ἐν κ.* V *οἱ οὖν ἐν* Exc. de virt. — 14 *οὔρβασος* AB *οὐρβασὸς* Exc. *cf.* Not. ad Theoph. *p.* 58, 30. — *μενέδιμος* ACV Exc. *βενέδημος* (*-διμος* R) FMR. — 16 *δακιδίζων* (*δακηδ.* M *δακεδ.* recc. plerique) ACELNR Exc. *δακιβίζων* BV Suid. *v. Οὐάλης. δακίζων* F. — 17 *οὐάλης δὲ* BFR *ὁ δὲ οὐάλης* V. — 18 *καὶ om.* N. — 19 *τὰ om.* BCM. — 21 *τῶν ὀψοποιῶν τοῦ οὐάλεντος* RV. — 22 *μικρὸν om.* FN.

σθένην ἀγράμματον. οἱ Γότθοι κακῶς ἐχρῶντο τῷ Οὐάλεντι, ὁ δὲ αἰτεῖ τὸν θειότατον Οὐαλεντινιανὸν τὸν ἀδελφὸν αὐτοῦ πέμψαι αὐτῷ στρατὸν εἰς βοήθειαν. αὐτὸς δὲ οὐκ ἔδωκεν, ἀλλὰ καὶ ἐπωνείδισεν ὡς αἱρετικὸν καὶ κακόφρονα, εἰπὼν ὅτι 5 οὐ χρὴ ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι θεόν.

Ἐν ἐκείνῳ δὲ τῷ χρόνῳ μετὰ μϛʹ ἐνιαυτοὺς τῆς ἱερωσύνης αὐτοῦ μετὰ πολλοὺς ἀγῶνας καὶ πολλοὺς τῆς ἐγκρατείας στεφάνους Ἀθανάσιος ἡσύχασεν, Πέτρον διαδέξασθαι αὐτὸν προειπὼν τὸν κοινωνήσαντα αὐτῷ τῶν θλίψεων, Λού-10 κιος δὲ ἐπίσκοπος ὢν τῆς τῶν Ἀρειανῶν αἱρέσεως παρα-455 M. χρῆμα ὡς λύκος ἐπὶ πρόβατα ὥρμησεν. καὶ ὁ μὲν Πέτρος εὐθέως εἰς τὴν Ῥώμην ἀπέφυγεν, Λούκιος δὲ οὕτως εἰς τὸ αἷμα τῶν ἀνθρώπων ἐπορεύετο, ὡς μηδὲ σχῆμα τῆς θρησκείας δοκεῖν φυλάττειν, ἐν τῇ ἀρχῇ δὲ τῆς ἐπιβάσεως αὐτοῦ 15 τοσαῦτα καὶ οὕτως αἰσχρὰ κατὰ τῶν παρθένων τῆς ἐκκλησίας καὶ τῶν ἐγκρατευομένων ἐγένετο, οἷα οὐδὲ ἐν τοῖς διωγμοῖς τῶν Ἑλλήνων γεγενῆσθαι μνημονεύεται. οὐ μόνον δὲ ἀλλὰ καὶ τὴν ἔρημον ἐπόρθει καὶ πόλεμον τοῖς ἡσυχάζουσιν ἐπήγαγεν. τρεῖς γὰρ χιλιάδας ὁμοῦ κατὰ τὴν ἔρημον ἀπέστειλε 20 τοὺς μοναχοὺς πολεμεῖν, οἱ δὲ ἐρχόμενοι καινὸν εἶδος πολέμου ἑώρων· οἱ γὰρ ἀντίπαλοι καθὼς ἐπέμποντο τοὺς ἑαυτῶν αὐχένας τοῖς ξίφεσιν ὑπέβαλλον, καὶ οὐδὲν ἄλλο ἤκουον, εἰ μὴ τοῦτο· ὦ φίλε, δι' ὃ παρεγένου;

Κατὰ τὸν αὐτὸν καιρὸν οἱ τῶν μοναχῶν πατέρες τῷ βίῳ 25 καὶ τῇ ἀξίᾳ τῆς ἀρχαιότητος Μακάριος καὶ Ἰσίδωρος καὶ Μακάριος ἕτερος καὶ Ἡρακλείδης καὶ Παμβώ, Ἀντωνίου

1—5 Th. L. *cf.* Cramer An. *p.* 97, 11 Exc. Bar. Theoph. *p.* 61, 21 Polyd. *p.* 420, 10. — 6—23 Rufin. II, 3. — 24—*p.* 554, 27 Rufin. II, 4.

3 στρατείαν RV. — 4 αἱρετικὸν καὶ *om.* N. — 5 θεῷ R τῷ θεῷ B. — 8 ἡσύχασεν AB ἐφησύχασεν rell. — 11 πρόβατον C Exc. de virt. ad ovem Ruf. — 12 οὕτως F *et* recc. plerique Ruf. οὗτος rell. Exc. — 15 οὕτως ERV Exc. Ruf. οὗτος rell. — 19 γὰρ *om.* C *et* recc. nonnulli. — 21 καθ' ὧν? — 22 εἰ μὴ] ἢ BF. — 25 ἰσήδωρος ADLRV. — 26 παμβῶ ACLV παμμῶ E.

μαθηταί, κατὰ τὴν Αἴγυπτον καὶ μάλιστα ἐν τοῖς ἐρήμοις
τόποις τῆς Νιτρίας ὑπῆρχον ἄνδρες, οἵ τινες τὴν κοινωνίαν
ἔχειν τῆς ζωῆς καὶ τῶν πράξεων οὐ μετὰ τῶν ἄλλων ἀν-
θρώπων, ἀλλὰ μετὰ τῶν ἐπουρανίων ἀγγέλων ἐπιστεύοντο.
ἅπερ παρὼν ἑώρακα ἤδη ἐγὼ καὶ τούτων τὰς πράξεις ἀνα- 5
φέρω, ὧν τοῖς πάθεσι κοινωνὸς εἶναι κατηξιώθην. οὗτοι
ἐν τοῖς ἰδίοις οἰκήμασι κείμενοι καὶ εὐχόμενοι ἐξεδέχοντο
τοὺς ἑαυτῶν φονευτάς. ἀπηνέχθη δὲ αὐτοῖς ἄνθρωπος ἐκ
πολλοῦ τὰ μέλη πάντα τοῦ σώματος καὶ μάλιστα τοὺς πόδας
ξηρός. ἐλαίῳ δὲ χρίσαντες αὐτὸν εἶπον· ἐν ὀνόματι Ἰησοῦ 10
Χριστοῦ, ὃν διώκει Λούκιος, ἀνάστα καὶ περιπάτει τοῖς σοῖς 456 M
ποσίν· ὃς παραχρῆμα ἀναστὰς καὶ ἀναπηδήσας εὐχαριστῶν
τῷ θεῷ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. πρὸ ὀλίγου δὲ χρόνου
τυφλὸς ἠξίωσεν ἀπενεχθῆναι εἰς τὸ οἰκίδιον Μακαρίου, ὅπερ
ἦν ἐν τῇ ἐρήμῳ ἀπὸ διαστήματος ἡμερῶν τριῶν. ἐλθὼν 15
δὲ ἐκεῖσε ὁ τυφλὸς πολλῷ καμάτῳ τῶν ἀγόντων αὐτὸν καὶ
Μακάριον οὐχ εὑρὼν ἐν τῇ οἰκίᾳ πάνυ ἀθυμήσας ἐλυπεῖτο.
τῇ δὲ ὑπερβολῇ τῆς πίστεως ἐκθερμανθεὶς παρακαλῶ, ἔφη
τοῖς ἄγουσιν αὐτόν, προσπελάσατέ με ἐκείνῳ τῷ μέρει τοῦ
τοίχου, ἐν ᾧ ὁ γέρων εἰώθει καθεύδειν. ὅτε δὲ προσηνέχθη, 20
μικρὸν ἐκ τοῦ ξηροῦ πηλοῦ λαβών, ὅθεν ὁ τοῖχος κεχρι-
σμένος ἐφαίνετο, ταῖς οἰκείαις ἐπιτέθεικε χερσὶ καὶ παρεκά-
λεσεν, ὥστε καὶ ὕδωρ ἀντληθῆναι αὐτῷ ἐκ τοῦ φρέατος,
ἀφ' οὗπερ ἔπινεν ὁ πρεσβύτης. ἐκείνῳ δὲ τῷ ὕδατι τὸν
πηλὸν ἀναλύων καὶ τούτῳ περιχρίων τοὺς ὀφθαλμοὺς καὶ 25
ἀποπλύνων ἐκ τοῦ ἀντληθέντος ὕδατος ἐξαίφνης τὴν θέαν
ἀπέλαβεν οὕτως ὥστε μηδενὸς χρῄζων ὑπηρέτου εἰς τὰ ἴδια

---

2 *νιτρίας* E *et* recc. quidam *νητρείας* F *νητρίας* rell. — 9 *πάντα τὰ μέλη* L *πάντα om.* B. — 10 *ξηρούς* RV. — 12 *καὶ ἀναπηδήσας om.* BC *et* L *qui pro ἀναστὰς exhibet ἀνασκιρτήσας.* — 14 *τοῦ μακαρίου* AB. — 17 *τὸν μακάριον* BV. — 22 *ἐφέ-νετο* A *ἐφέρετο* C. — *οἰκείαις* AB *ἰδίαις* rell. — *ἐπέθηκεν* LR. — 25 *τοῦτο* ALR. — 27 *οὗτος* CR *om.* B. — *χρίζων — ἐπανῆλθε* F *cum* Ruf. *χρήζειν — ἐπανῆλθε* ACDEL *χρήζειν — καὶ εἰς — ἐπ-ανῆλθε* BR *χρήζειν — καὶ εἰς — ἐπανελθεῖν* V.

ἐπανῆλθεν. ὃς μετὰ ταῦτα σὺν πάσῃ τῇ οἰκίᾳ αὐτοῦ ἐπανελθὼν πρὸς τὸν γέροντα καὶ τῷ θεῷ χάριν ὡμολόγει καὶ τὸ πρᾶγμα ὡς ἐγένετο ἀπεμνημόνευσεν. ὁ αὐτὸς δὲ οὗτος Μακάριος σπήλαιον εἶχεν ὑαίνης γειτνιάζον τῷ οἰκήματι 5 αὐτοῦ. ἔν τινι δὲ ἡμέρᾳ τοὺς σκύλακας αὐτῆς τυφλοὺς τυγχάνοντας ἀπήνεγκεν αὐτῷ τὸ θηρίον καὶ πρὸ τῶν ποδῶν αὐτοῦ ἔθηκεν. νοήσας δὲ ἐκεῖνος ὅτι περὶ τῆς τυφλότητος τῶν σκυλάκων τὸ θηρίον παρεκάλει, ἠξίωσε τὸν δεσπότην θεόν, ἵνα τὴν θέαν αὐτοῖς ἀποδῷ. ἀποδοθείσης δὲ αὐτοῖς, 10 ἐπανῆλθον ἀκολουθοῦντες ἐπὶ τὸ σπήλαιον τῇ μητρί, καὶ μετ' ὀλίγον αὕτη μετὰ τῶν ἰδίων σκυλάκων ὑποστρέψασα δορὰς προβάτων ἔτι τὸ ἔριον ἐχούσας ὡσανεὶ δῶρον ὑπὲρ τῆς εἰς αὐτοὺς χάριτος ἀπήγαγε τῷ γέροντι τοῖς ὀδοῦσι τὰς δορὰς βαστάζουσα, καὶ ταύτας πρὸ τῶν θυρῶν ἀποθεμένη 15 ἀνεχώρησεν. τούτους τοὺς θείους πατέρας Λούκιος εἰς νῆσον τῶν τῆς Αἰγύπτου λιμνῶν ἐξορίζει, ἔνθα οὐδεὶς χριστιανῶν κατοικεῖ. τοῦ δὲ πλοίου τῇ νήσῳ μετὰ τῶν μοναχῶν προσεγγίσαντος, ἡ θυγάτηρ τοῦ ἱερέως τῶν εἰδώ- 457 M. λων τῆς χώρας ἐκείνης ὑπὸ δαίμονος ἐλαυνομένη δι' ἀνέ- 20 μων ἁρπαζομένη ἔρχεται ἕως τοῦ πλοίου τῶν ἁγίων γερόντων κράζουσα βοαῖς ἀτάκτοις οἷα δαιμονῶσα. ἐπιτιμήσαντες δὲ τῷ πνεύματι τῷ ἀκαθάρτῳ τὴν μὲν παῖδα ὑγιῆ τοῖς γονεῦσιν ἀπέδωκαν, τοὺς δὲ τὸν τόπον οἰκοῦντας χριστιανοὺς πάντας θερμοὺς καὶ διαπύρους ἐποίησαν. τοῦτο μα- 25 θὼν Λούκιος καὶ φοβηθεὶς μὴ πάντας ὀρθοδόξους ποιήσωσιν, λάθρα αὐτοὺς ἐπανελθεῖν πρὸς τὰς ἰδίας σκηνὰς ἐν τῇ ἐρήμῳ ἐποίησεν.

---

1 σὺμ πάσῃ B συμπάσῃ L. — ἐπανελθὼν πρ. τ. γέροντα καὶ *om.* CL. — 3 ἀπεμνημόνευσεν ABR (indicavit Ruf.) ἀπεμνημόνευεν rell. — 4 leaenae Ruf. — γειτνιάζων ACEL γειτνίων R. — 5 τυγχάνοντας AB ὄντας F ὑπάρχοντας rell. — 6 αὐτῷ *om.* LR. — 7 τυφλώσεως FRV. — 17 κατώκει FLV. — 22 τῷ πνεύματι τῷ ἀκαθάρτῳ *om.* A τῷ ἀκαθάρτῳ *om.* B (erroris spiritus Ruf.).

Μαυΐα ἡ τῶν Σαρακηνῶν βασιλὶς χριστιανὴ ἦν ἐκ γένους Ῥωμαίων καὶ ληφθεῖσα αἰχμάλωτος ἤρεσε διὰ κάλλος τῷ βασιλεῖ τῶν Σαρακηνῶν καὶ τῷ χρόνῳ εἰς βασιλίδα προέκοψεν. πολλὰ οὖν κακὰ τοῖς Ῥωμαίοις ἔδρασεν, ὥστε καὶ τὸν στρατὸν ἐκτρῖψαι σφοδροτάτῳ πολέμῳ καὶ πόλεις πολλὰς 5 *ἐν Παλαιστίνῃ καὶ Ἀραβίᾳ πορθῆσαι. παρακληθεῖσα δὲ εἰρήνην ποιήσασθαι οὐκ ἄλλως ἔφη τοῦτο γενήσεσθαι, εἰ μὴ Μωϋσῆς τις ὀνόματι μοναχὸς τῷ ἔθνει αὐτῆς χειροτονηθείη ἐπίσκοπος, ὃς ἐν τῇ ἐρήμῳ τῇ γειτνιαζούσῃ τοῖς μέρεσιν αὐτῆς διάγων ταῖς ἀρεταῖς καὶ τοῖς θαύμασιν ἐξήστραπτεν.* 10 *ταύτης ἡ αἴτησις ἐμηνύθη τῷ βασιλεῖ τῶν Ῥωμαίων, ὃς κελεύει τοῖς στρατηγοῖς μετὰ πολλοῦ τοῦ τάχους τοῦτο ποιῆσαι. ἀγαγόντων δὲ αὐτὸν ἐν Ἀλεξανδρείᾳ χειροτονηθῆναι ὑπὸ Λουκίου αὐτὸς οὐ κατεδέξατο εἰπὼν ὅτι· Λούκιος τὰς χεῖρας αὐτοῦ οὐκ ἐπιβαλεῖ μοι· πεφυρμέναι γάρ εἰσι τοῖς* 15 *τῶν ἁγίων αἵμασιν. καταισχυνθέντος οὖν τοῦ ἀσεβοῦς Λουκίου, τῆς δημοσίας χρείας ἐπικειμένης, ἠναγκάσθη ἡσυχάσαι, ἵνα παρὰ τῶν ἐπισκόπων τῶν ὑπ' αὐτοῦ ἐξορισθέντων Μωϋσῆς τὴν χειροτονίαν δέξηται· ὅπερ καὶ γέγονεν. καὶ οὕτω χειροτονηθεὶς ἐδόθη Μαυΐα καὶ πολλοὺς τοῦ φύλου χριστια-* 20 *νοὺς πεποίηκεν. ἱστορεῖ δὲ πολλὰ περὶ τοῦ ἔθνους ὅθεν τε* 458 M. *ἤρξατο καὶ ὅθεν ἐπονομάζεται καὶ ὅτι ιγ' ἐτῶν περιτέμνονται.*

Ἐν Ἐδέσσῃ τῆς Μεσοποταμίας, ἔνθα Θωμᾶς ὁ ἀπό-

1—4 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 64, 12 Polyd. *p.* 408, 5. — 4—19 Rufin. II, 6. — 19—22 Th. L. *cf. l. l.* — 23—*p.* 557, 6 Rufin. II, 5.

1 *μανία τις* V *μαβία δὲ* F *καὶ μαβία* B. — *βασιλεῖς* CL *βασίλεισσα* F. — 2 *διὰ κάλλους* RV *διὰ τὸ κάλλος* F. — 7 *γενήσεσθαι* A Ruf. *γενήσεται* rell. Exc. de virt. — 8 *μωϋσῆς* AB Ruf. *μούσῆς* Exc. *μωσῆς* rell. — 9 *ἐρήμῳ*] *ῥώμῃ* CELR. — *τῇ γειτνιάζουσι* C *τοῖς γειτνιάζουσι* R. — 10 *ἐξίστραπται* L *ἐξήστραψεν* ER *ἐξέλαμπεν* V. — 12 *τοῦ om.* AD. — 13 *χειροτονηθῆναι* BLV *χειροτονῆσαι* rell. — 15 *ἐπιβαλεῖ* BDEF (iniciet Ruf.) *ἐπιβάλει* CL *ἐπιβάλλει* RV *ἐπιβάλλῃ* A. — 22 *sqq.* *περιτέμνονται ἐν ἐδ. τῆς μ., ἔνθα — ἐδίδαξεν. ἐλθὼν δὲ* (*δὲ om.* B) ὁ codd. *Restitui e* Ruf. — 23 *ἐν ἐδ. — ἐδίδαξεν om.* L. — *ἐν ἐδέσῃ* (-ει F) FRV *ἐναιδέσῃ* B.

στολος ἐδίδαξεν, ἐλθὼν ὁ βασιλεὺς Οὐάλης καὶ ἰδὼν τοὺς ὄχλους τῶν ὀρθοδόξων τῆς ἐκκλησίας ἐκβληθέντας καὶ ἐν τῷ πεδίῳ ποιουμένους τὴν σύναξιν εἰς τοσαύτην ὀργὴν ἀνήφθη, ὥστε οἰκείαις χερσὶ τυπτῆσαι τὸν ὕπαρχον κατὰ τοῦ
5 *προσώπου, ἐπειδήπερ οὐκ ἐδιώχθησαν κἀκεῖθεν οἱ ὄχλοι καθάπερ αὐτὸς προσέταξεν. ἐκεῖνος δὲ καίπερ Ἕλλην ὢν καὶ παρὰ τοῦ βασιλέως ὑβρισθεὶς ὅμως σκοπῷ φιλανθρωπίας τῇ ἑξῆς μέλλων ἐπὶ πόρθησιν τῶν ὄχλων ἐξιέναι τοῦτο αὐτὸ δῆλον τοῖς πολίταις πεποίηκε διὰ λαθραίων μηνυμάτων,*
10 *ὥστε φυλάξασθαι καὶ μὴ ἀπελθεῖν εἰς τὴν σύναξιν. πάλιν ἕωθεν προιὼν μεγίστῳ φόβῳ ὑπὲρ τὸ ἔθος διὰ τῆς αὐτοῦ τάξεως ἐπτόει καὶ πάντα ἐποίει ὥστε μηδένα κινδυνεῦσαι τοῦ λαοῦ. ἑώρα δὲ ὅμως ὄχλον πλείονα τῆς συνηθείας ἐπὶ τὸν τόπον ἐκεῖνον πορεύεσθαι καὶ συντρέχειν καὶ πολλοὺς*
15 *ἐπιταχύνειν ὡσανεὶ φοβουμένους μή τις ἐκ τοῦ θανάτου ἀπολειφθῇ. ἐν δὲ τῷ μεταξὺ καί τι γύναιον ὁρᾷ οὕτως ἐπιταχύνον καὶ σπεῦδον ὡς μηδὲ ἐξιὸν ἀπὸ τῆς οἰκίας προσκλεῖσαι τὰς θύρας μήτε περιμεῖναι εὐπρεπῶς τὸ σχῆμα τῶν γυναικῶν περιβαλέσθαι καθάπερ ἐχρῆν ἐπιμελῶς. ἔφερε δὲ*
20 *μεθ' ἑαυτῆς ἡ γυνὴ καὶ παιδίον νήπιον καὶ σφοδροτάτῳ δρόμῳ τὴν τάξιν τοῦ ὑπάρχου διαρρήξασα ἔσπευδεν. ἐκεῖνος δὲ λοιπὸν οὐ φέρων, κατάσχετε, ἔφη, τὴν γυναῖκα καὶ ἐνταῦθα ἀγάγετε. ὅτε δὲ ἐκείνη κατασχεθεῖσα ἠνέχθη, ποῦ, ἔφη, ὦ δυστυχὴς γύναι, ἐπιταχύνασα σπεύδεις; ἡ δέ, εἰς*
25 *τὸ πεδίον, ἔφη, ἔνθα ὁ τῶν καθολικῶν ὄχλος συνάγεται. καὶ οὐκ ἀκούεις, ἔφη, ὅτι ὁ ὕπαρχος ἐκεῖσε πορεύεται, ἵνα πάντας ἀνέλῃ, οὓς ἂν εὕρῃ; ἡ δὲ ἀπεκρίνατο· ἀκήκοα καὶ διὰ τοῦτο σπεύδω, ἵνα ἐκεῖ εὑρεθῶ. τουτὶ δὲ τὸ παιδίον ποῦ ἕλκεις; ἐκεῖνος ἔφη. ἡ δὲ ἀπεκρίνατο· ἵνα καὶ αὐτὸς*

---

2 *καὶ del. vid. cf.* Rufin. — 4 *ἔπαρχον* CRV. — 10 *καὶ μὴ* ABV *καὶ om.* rell. — 11 *ἔθνος* BC. — 16 *καί τι*] *καί τοι* A *τι* (*om. καί*) C. — 21 *ἐπάρχου* LRV. — 26 *ἔπαρχος* RV. — 27 *ἀνέλει* C *ἀνελεῖ* AE. — *ἂν om.* FL. — 29 *ἐκεῖνος*] *ὁ ὕπαρχος* BL. — *ἔφη πρὸς αὐτήν* AB *invito* Ruf. — *αὐτὸς* ACDEV *αὐτὸ* BFLR.

μαρτυρίου ἀξιωθῇ. ταῦτα δὲ ὅτε ἤκουσεν, ἐπανελθεῖν ἐκέλευσε τὴν τάξιν καὶ τὸ ὄχημα εἰς τὸ παλάτιον προσέταξεν ὑποστρέψαι. εἰσελθὼν δὲ πρὸς τὸν βασιλέα εἶπεν· ὦ βα- 459 M. σιλεῦ, ἀποθανεῖν με εἰ προστάττεις, ἕτοιμός εἰμι, τὸ δὲ ἔργον ὅπερ ἐκέλευσας πληρῶσαι οὐ δύναμαι. διδάξας δὲ πάντα 5 τὰ περὶ τῆς γυναικὸς κατέσχε τὴν τοῦ βασιλέως ὁρμήν.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν οἱ πόλεμοι τοῦ ἀσεβοῦς βασιλέως Οὐάλεντος, οὓς κατὰ τῶν ἐκκλησιῶν τοῦ θεοῦ ἐπήγαγεν, κατὰ τῶν πολεμίων ἐστράφησαν. τῶν γὰρ Γότθων ἐκ τῶν ἰδίων τόπων ἐξελθόντων, διὰ πάσης ὁμοῦ τῆς Θρᾴ- 10 κης ἐξέχεαν ἑαυτοὺς καὶ τοῖς ὅπλοις τὰς πόλεις καὶ τοὺς ἀγροὺς πορθεῖν ἀγρίως ἤρξαντο. τότε κατὰ Οὐάλεντος ὕβρεσι χαλεπαῖς οἱ πολῖται ἐχρῶντο μὴ ἐξιόντι εἰς πόλεμον, ἐξερχομένου δὲ αὐτοῦ Ἰσάκιος ὁ ἱερὸς μοναχὸς κρατήσας τοῦ χαλινοῦ τοῦ ἵππου αὐτοῦ ἔφησε πρὸς αὐτόν· ποῦ βαδίζεις, ὦ 15 βασιλεῦ, κατὰ θεοῦ στρατευόμενος καὶ θεὸν ἔχων ἀντίπαλον; πρὸς ὃν ὀργισθεὶς Οὐάλης φρουρεῖσθαι προσέταξεν ἀπειλήσας αὐτῷ θάνατον, εἰ ἐπανέλθοι, καθάπερ Ἀχαὰβ τῷ Μιχαίᾳ. ὁ δὲ τῆς αὐτῆς προφητικῆς χάριτος πλησθεὶς ὁμοίως αὐτῷ τὴν ἀντίφασιν ἐπὶ παντὸς τοῦ λαοῦ δέδωκεν. 20 εἶτα συμβολῆς γενομένης ἐν Ἀδριανουπόλει, καὶ ἡττηθεὶς κατὰ κράτος φεύγει σὺν ὀλίγοις εἰς οἴκημα, ὅπερ αἰσθόμενοι οἱ πολέμιοι κατέκαυσαν αὐτὸν σὺν τοῖς συνοῦσιν αὐτῷ καὶ αὐτῷ τῷ οἰκήματι βασιλεύσαντα ἀνοσίως ἔτη ιδ'.

Οὐαλεντινιανὸς ὁ μέγας τῇ πίστει τῆς εὐσεβείας τέ- 25

7—12 Rufin. II, 13. — 12—19 *et* 21—24 Th. L. *cf.* Cramer An. *p.* 97, 11 *et* Exc. Bar. Theoph. *p.* 65, 8. — 24 Rufin. II, 13. — 25—*p.* 558, 2 Rufin. II, 9 *fin.*

2 προσέταξεν] ἐκέλευσεν LV. — 6 τὰ *om.* RV. — 13 ἐξιῶντι A ἀξιόντι C ἐξιόντος B. — 14 ἰσάκιος (εἰσ. B ἱσ. M) AB CENP ἰσαάκιος (ἰσ. F) FLRV Cram. Exc. — ὁ *om.* FN. — κρατήσας αὐτὸν τοῦ N. — 15 ποῖ *ut vid.* D ποία M. — 18 τὸν μιχαίαν RV. — 20 ἀπόφασιν AV ἀντίφρασιν R. — τοῦ *om.* BFRV. — 21 καὶ *om.* N. — 25 οὐαλεντινιανὸς δὲ ὁ BFR.

λειος καὶ ἀκέραιος τῇ παλαιᾷ τῆς τῶν Ῥωμαίων βασιλείας αὐθεντίᾳ τὴν πολιτείαν ἐκυβέρνα καλῶς. σύνοδον γὰρ
460 M. ἐν τῷ Ἰλλυρικῷ ἐκέλευσε γενέσθαι, ἥτις τὴν ἐν Νικαίᾳ πίστιν ἐβεβαίωσεν. ἴδικτον δὲ γράψας τοῖς ἐν Ἀσίᾳ
5 καὶ Φρυγίᾳ καὶ Καρίᾳ ἐπισκόποις ἐμμένειν τοῖς δόξασι παρεγγύησεν, κοινωνὸν ἐν τῷ ἰδίκτῳ προσλαβόμενος τὸν ἀδελφὸν αὐτοῦ Οὐάλεντα καὶ Γρατιανὸν τὸν υἱὸν αὐτοῦ. ἔγραψαν δὲ τὰ ὅμοια καὶ οἱ ἐν τῷ Ἰλλυρικῷ συνελθόντες ἐπίσκοποι.

10 Ἀποθανόντος ἐν Μεδιολάνῳ Αὐξεντίου τοῦ τῶν αἱρετικῶν ἐπισκόπου οἱ ἑκατέρου μέρους ὄχλοι ὑπὸ διαφόρου σπουδῆς ἐφέροντο, καὶ ἦν τις αὐτοῖς μεγίστη διχόνοια καὶ ἐπικίνδυνος στάσις, καὶ ἑκάτερον μέρος ὄλεθρον τῇ ἰδίᾳ παρεσκεύαζε πόλει, εἰ μή γε ἡ αὐτοῦ κρατήσειε γνώμη, καὶ
15 εἰς ἔργον ἀγάγοι τὸ βούλημα, καίτοι ἐναντίων τῶν προθέσεων αὐτοῖς οὐσῶν. τότε δὲ τῆς ἐπαρχίας ἐκείνης Ἀμβρόσιός τις τὴν ἀρχὴν διήνυεν, ὃς παραχρῆμα εἰς τὴν ἐκκλησίαν εἰσῆλθεν ὡς κωλύσων τὴν στάσιν. ὁ δὲ δῆμος τῆς πρὸς ἀλλήλους ἀφέμενος ἔριδος μιᾷ φωνῇ τὸν Ἀμβρόσιον
20 ἐπίσκοπον ἐπεζήτησαν κατηχούμενον ὄντα, μεγάλως λέγοντες ἑνωθήσεσθαι καὶ μίαν ἀμφοτέροις τοῖς μέρεσι τὴν πίστιν ἔσεσθαι, εἰ Ἀμβρόσιος ἐπίσκοπος αὐτοῖς δοθείη. ὅπερ γνοὺς ὁ θεοσεβὴς Οὐαλεντινιανὸς ἐκέλευσε μυηθῆναι καὶ χειροτονηθῆναι Ἀμβρόσιον πολλὰ περὶ ἀρετὴν μαρτυρήσας αὐτῷ.

2—9 Th. L. *cf.* Polyd. *p.* 412, 7. — 10—22 Rufin. II, 11. — 22—*p.* 559, 6 Th. L. *cf.* Exc. Bar. Polyd. *p.* 410 *fin.*

1 ῥωμαίων αὐθεντείας B ῥωμαίων αὐθεντεία Exc. de virt. (*om.* βασιλείας *uterque*). — 4 ἴνδικτον BR. — 6 παρεγγύησεν ACENR παρηγγύησεν BFV. — ἰνδίκτῳ BR. — 8 οἱ ABFN Pol. *om.* CEV (καὶ ἐν τῷ ἰλλυρικῷ. συνελθόντες οὖν ἐπίσκοποι ἀποθανόντος R). — 10 ἀποθανόντος γὰρ ἐν B ἀποθ. δὲ ἐν F. — 11 οἱ τοῦ ἑκατ. μ. AB τοῦ *om.* rell. — 14 κρατήσοιε CDEV. — 20 ἐπεζήτησαν ἐπίσκοπον V ἐπίσκοπον *om.* AR. — 21 τοῖς *om.* A τοῖς μέρεσι *om.* F. — 23 καὶ χειροτονηθῆναι *om.* BM. — 24 ἀρετὴν ACNR Exc. ἀρετῆς BEFV Pol.

χειροτονηθέντος δὲ αὐτοῦ, τοῦτον τὸν ὕμνον ὁ βασιλεὺς τῷ θεῷ ἀνέπεμψεν· χάρις σοι, δέσποτα παντοκράτορ καὶ σῶτερ ἡμέτερε, ὅτι τῷδε τῷ ἀνδρὶ ἐγὼ μὲν σώματα, σὺ δὲ ψυχὰς 461 M. ἐνεχείρισας καὶ τὰς ἐμὰς ψήφους δικαίας ἀπέφηνας. φασὶ δὲ ὅτι τοὺς ἄρχοντας ἀδικοῦντας γενναίως Ἀμβρόσιος ἐπὶ 5 τοῦ βασιλέως διήλεγχεν.

[ζʹ. Περὶ Γρατιανοῦ.]

Ἐν δὲ τῷ μεταξὺ ἐπὶ τὸν πόλεμον τῶν Σαυρομάτων Οὐαλεντινιανὸς ὁ μέγας ἐκ τῶν μερῶν τῆς Γαλλίας εἰς τὸ Ἰλλυρικὸν ἐλθών, καὶ τοῦ πολέμου μόλις ἀρχὴν λαβόντος, 10 ἀρρωστίᾳ αἰφνίδιον συσχεθεὶς ἐτελεύτησεν. πρέσβεις γὰρ Σαυρομάται ἀπέστειλαν ἐξαιτοῦντες εἰρήνην. οὓς Οὐαλεντινιανὸς θεασάμενος ἤρετο, εἰ πάντες Σαυρομάται τοιοῦτοι τυγχάνουσιν ὄντες τὰ σώματα. τῶν δὲ εἰπόντων ὅτι τοὺς παρ' αὐτοῖς ἀρίστους ἀπέστειλαν, ἀνακράξας μέγα δεινὰ τὴν 15 Ῥωμαίων βασιλείαν εἶπεν ὑπομένειν εἰς αὐτὸν ἐλθοῦσαν, εἰ Σαυροματαίων οἱ ἄριστοι τοιοῦτοι Ῥωμαίοις τολμῶσι πολεμεῖν. ἐκ δὲ τῆς διαστάσεως φλεβὸς ῥαγείσης, καὶ πλείστου

8—11 Rufin. II, 12. — 11—*p.* 560, 1 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 61, 25 Polyd. *p.* 420 *fin.*

2 παντοκράτωρ ACM. — σωτὴρ codd. *praeter* EV. — 3 δὲ καὶ ψυχὰς AB. — 6 διήλεγξεν C Exc. — *Post* διήλεγχεν V *sic pergit:* μετὰ δὲ οὐάλεντα ἐβασίλευσε γρατιανὸς υἱὸς οὐαλεντινιανοῦ ἔτη γʹ *et in mg. numerum* μη̅ *adscribit.* EL *Titulum hic inserunt:* γρατιανὸς καὶ οὐαλεντινιανὸς (οὐαλεντῖνος L) ὁ ἀδελφὸς αὐτοῦ ἔτη γʹ. *Similia alii codices plerique variis locis vel in textu vel in mg. exhibent.* — 8 ἐπὶ τῶν πολέμων codd. *Correxi e* Ruf. — σαυρωμάτων FLMR. — 11 αἰφνιδίῳ V *et* B *m. 2 ut vid.* — 12 σαυρωμάται AFMR. — 13 σαυρωμάται AFLMR. — 16 εἶπεν ὑπομένειν βασιλείαν N. — εἰ] οἱ CE. — 17 σαυροματαίων (σαυρωμ. AMF) ACEFLMV σαυρομάτων (σαυρωμ. R -ατῶν B) BDR σαυρομάται ὧν Exc. *recte, sed* σαυροματαίων *etiam* Pol. — 18 διαστάσεως AB διστάσεως *vel* στάσεως R διατάσεως rell. *recte, sed* διαστάσεως *etiam* Exc. Pol.

αἵματος ἀναδοθέντος, ἔν τινι φρουρίῳ Γαλλίας ἐτελειώθη κληρονόμους καταλιπὼν τῆς βασιλείας αὐτοῦ Γρατιανὸν τὸν υἱὸν αὐτοῦ Αὔγουστον ὄντα καὶ Οὐαλεντινιανὸν νέον κομιδῆ τυγχάνοντα καὶ μήπω τῶν βασιλικῶν συμβόλων κατ- 5 *αξιωθέντα. ὃν ἡ ἀνάγκη τῶν ἐπιχειρούντων τὸν τόπον τῆς βασιλείας ὑφαρπάζειν ὡς σχολάζοντα παρεσκεύασε καὶ ἀπόντος τοῦ ἀδελφοῦ τὴν πορφύραν ἐνδύσασθαι, Πρόβου τὸ τηνικαῦτα πιστῶς τὸ πρᾶγμα μεταχειρισαμένου.*

462 M. *Κατ' ἐκείνους δὲ τοὺς καιροὺς σεισμὸς μέγας καὶ φοβε-* 10 *ρώτατος γέγονεν, ὡς ἐν Ἀλεξανδρείᾳ ὑποχωρῆσαι μὲν τὴν θάλασσαν ἐπὶ πολύ, τὰ δὲ πλοῖα ὡς ἐπὶ ξηρᾶς εὑρεθῆναι κείμενα. πλῆθος δὲ λαοῦ συνδραμόντος εἰς θέαν τοῦ παραδόξου θαύματος, καὶ τοῦ ὕδατος πάλιν ὑποστρέψαντος καὶ ἐκβεβηκότος μακρότερον τοῦ συνήθους τόπου, κατεποντίσθη-* 15 *σαν ἀνθρώπων μυριάδες ε', καὶ τὰς μὲν ἐκεῖσε προσορμιζούσας ναῦς τὸ ὕδωρ κατεκάλυψεν, τὰς δὲ ἐν τῷ ποταμῷ Νείλῳ εὑρεθείσας ἀπέρριψεν ὁ ποταμὸς εἰς τὴν ξηρὰν μετὰ πολλῆς τῆς ῥύμης μέχρι σταδίων ρπ'. ἀλλὰ μὴν καὶ τῆς Κρήτης καὶ τῆς Ἀχαΐας καὶ Βοιωτίας καὶ τῆς Ἠπείρου καὶ* 20 *Σικελίας τὰ πλεῖστα μέρη συνέβη τότε ἀπολέσθαι, τῆς θαλάσσης ἀνελθούσης, καὶ πολλὰ πλοῖα ὑψωθέντος τοῦ ὕδατος*

1—8 Rufin. II, 12. — 9 *sqq. cf.* Theoph. *p.* 56, 10. Socrates Hist. eccl. IV, 3, 3. Sozom. H. eccl. VI, 2, 14.

4 *μηδέπω* AB. — 7 *τὸ*] *τῷ* EM *τοῦ* CR. — *τὸ τηνικαῦτα ὑπάρχον*? Probo tunc praefecto Ruf. — 8 *μεταχειρισαμένου* (*-ρησαμένου* A) ABFV *μετεγχειρισαμένου* (*μετεγχειρησ.* C *μετεχειρησ.* R) CELNR. — 9 *χρόνους* AB. — 12 *πλῆθος* ABPR *πλήθους* rell. — *συνδραμὸν*? — 14 *μακρόθεν* V *om.* P. — 15 *ἐκεῖσε* ABPV *ἐκεῖθεν* rell. — 16. 17 *ἐν τῷ νείλῳ ποταμῷ* A *ἐν τ. ποτ. τῷ νείλῳ* V. — 19 *βοιωτίας* ABP *τῆς βοιωτίας* rell. — 20 *τότε συνέβη* BV *τότε om.* M.

9 *ἐφ' οὗ σεισμὸς* P. — *φοβερ. τε καὶ παγκόσμιος* P. — 10 *ἐν ἀλεξ. μὲν ὑποχωρῆσαι* P. — 11 *καὶ τὰ πλοῖα ἐπὶ τῆς ξηρᾶς* P. — 12 *κείμενα om.* P. — *πλῆθος δὲ τῆς πόλεως εἰς θ. τ. θαύμ. δραμόντος* P.

ἐπὶ τῶν ὀρέων ἐρρίφησαν ἄχρι σταδίων ρ', τάς τε Βρεττανικὰς νήσους καὶ τῆς Ἀφρικῆς τὰ αὐτὰ καὶ χείρονα ὑποστῆναι, καὶ σχεδὸν πάσης τῆς οἰκουμένης τὰ πρὸς τῇ 463 M. θαλάσσῃ τὰ μὲν ὑπὸ τῶν σεισμῶν, τὰ δὲ ὑπὸ τῆς θαλάσσης κατεποντίσθησαν. καὶ μέντοι καὶ ἐν τοῖς βυθοῖς 5 καὶ τοῖς μεγάλοις πελάγεσι τὰ ἀμφὶ τὸν Ἀδρίαν καὶ τὸ Αἰγαῖον πέλαγος καὶ ἄλλα πλεῖστα ὑπεχώρησαν καὶ διέστησαν ὡσεὶ τεῖχος ἔνθεν καὶ ἔνθεν τὰ ὕδατα, καὶ ἐφάνη ἡ ξηρά· καὶ πολλὰ τότε πλοῖα εὑρέθησαν πλέοντα καὶ εἰς τὸν πυθμένα καθίσαντα πάλιν ἀνήχθησαν τῇ τοῦ ὕδατος 10 ἀποκαταστάσει. συνεχῶν δὲ καὶ ἐπαλλήλων τῶν σεισμῶν γινομένων, ἡ μὲν μία τῆς Βιθυνίας πόλις πᾶσα συνέπεσε καὶ τὰ κύκλῳ τῶν προαστείων, ἀγροὶ καὶ ἔργα πλεῖστα. ἡ δὲ Γερμὴ καλουμένη πόλις τοῦ Ἑλλησπόντου πᾶσα ἐκ θεμελίων κατεπτώθη. καὶ πρὸς τούτοις χάσματα πολλὰ κατὰ 15 διαφόρους τόπους ἐγένοντο, ὡς ἐκ τῶν φόβων ἐν τοῖς ὄρεσι μένειν τοὺς ἀνθρώπους, ἐκ δὲ τῆς ἀβροχίας πολλὰ ζῶά τε καὶ ἄνθρωποι διεφθάρησαν.

[η'. Περὶ Θεοδοσίου τοῦ μεγάλου.]

Μετὰ δὲ Γρατιανὸν ἐβασίλευσε Θεοδόσιος ὁ μέγας ἔτη ιζ'. 20 τότε ὁ πατὴρ Θεοδοσίου, καὶ αὐτὸς Θεοδόσιος καλούμενος,

11—15 *cf.* Socrates Hist. eccl. IV, 11, 4 *sq.*

1 ἐρίφησαν AC ἐρρίφησαν *sed* ρι *in lit.* P. — βρετανικὰς CE βριτανικὰς P. — 2 καὶ τὰ τῆς? — 6 καὶ ἐν τοῖς codd. *praeter* ABP. — ἀνδρίαν BFL. — τὸ *om.* RV. — 7 αἰγέον F αἴγεον (αἶγ. M) CNP αἴγεων A. — 9 πλοῖα τότε BM. — 12 γενομένων CMR. — μία AP νία LN ννῖα E ἴα B νίκαια (νικαία C) CFRV Socr. *Fuerit fort. in fonte Georgii* ᾱ *i. e.* πρώτη? — συνέπεσε πᾶσα B ἔπεσε πᾶσα M πᾶσα *om.* L. — 14 γέρμη BEV. — πόλις πᾶσα συνέπεσε ητουελισπόνδου καὶ πρὸς τούτοις A. — ἑλλησπόντου (ἐλλ. F) DEF ἑλλισπόντου (ἐλλ. B) BV ἑλισπόντου (αἰλ. M. ἐλ. recc. quidam) CLMPR. — 17 τε *om.* FM. — 20 ἔτη δεκαέξ F ἔτη ις' R(P).

2 χεῖρον P. — 9 εὑρεθέντα P.

τοῖς τῶν μεγάλων συμβόλων τροπαίοις περιπνέων τῇ ἐκκοπῇ τῶν βαρβάρων ἐθνῶν τοὺς Ῥωμαίων ὅρους εὐπορωτέρους ἐποίησεν. τοῦτον δὲ τὸν ἑαυτοῦ υἱὸν τῇ μὲν ἐλπίδι μέγαν, τῷ δὲ χρόνῳ μικρόν, (μόλις γὰρ ἦν τοῦ οὐδοῦ τῆς νεότητος
5 *ἐπιβεβηκὼς) συγκλητικῷ τινι Ἀμαξοβίῳ κοινωνῷ αὐτοῦ τυγχάνοντι τῆς γνώμης καὶ τῶν ἐπαίνων παραδέδωκεν ἐκπαιδεύειν. ὅστις Ἀμαξόβιος ἐγχειρισθέντα αὐτῷ τὸν νέον πραϋτάτῃ διδασκαλίᾳ καὶ αὐστηροτέρᾳ κολακείᾳ εἰς λαμπρὰν ἄσκησιν τῆς ζωῆς ἐστερέωσεν. ἐκεῖσε τοίνυν ὄντος Θεοδο-*
10 *σίου, καθ' ὕπνους ἑαυτὸν εἰδέναι λέγεται βασιλικῇ χλανίδι*
464 M. *καὶ πορφύρᾳ κεκοσμημένον. Οὐαλεντινιανοῦ δὲ τοῦ γέροντος τελευτήσαντος, Μαξιμῖνος ὁ δήμιος τὴν ὑπαρχότητα τῶν Γαλλίων εἰς μανίαν ἔτρεψε καί τινα συσκευὴν συντεθεικὼς Θεοδόσιον τὸν πρεσβύτην τοῖς τροπαίοις κεκο-*
15 *ρεσμένον σφαγῆναι προσέταξεν. ὃς πρὶν τελευτήσῃ τὸ θεῖον βάπτισμα δεξάμενος καὶ εἰς τὴν ἀθανασίαν ἀναγεννηθεὶς ἐτελεύτησεν. κατὰ δὲ τὸν αὐτὸν καιρὸν ὁ νεώτερος Θεοδόσιος ἐν τῇ τοῦ δουκὸς ἀξίᾳ ἐτύγχανεν, τῷ δὲ αὐτῷ βέλει τοῦ φθόνου ᾧπερ καὶ ὁ πατὴρ διὰ Μαξιμίνου ὁμοίως ἀδί-*
20 *κως ὑπέπιπτεν. ἀλλ' ὁ θεὸς αὐτὸν διέσωσεν. μεινάσης παρ' αὐτῷ τῆς ἀξίας, καὶ τῆς οὐσίας ἀναδοθείσης αὐτῷ, εἰς τὴν πατρῴαν γῆν τῶν Σπανίων, ἐν ᾗ καὶ ἐγεννήθη, ἐφοίτησε προστάγματι βασιλικῷ ἐκεῖσε ἡσύχως καὶ πράως τὸν βίον διάγων, Πλακίλλαν δὲ τότε τὴν γενομένην Αὐγούσταν γα-*
25 *μετὴν ἠγάγετο τότε καὶ βασιλέας ἐξ αὐτῆς ποιήσων, ἥτις*

---

3 *μέγα* BFV. — 4 *τοῦ οὐδοῦ* B *οὐ τοῦ βαθμοῦ, οὐδ' οὐ* A *τοῦ βαθμοῦ* rell. — 5 *ἀμαξοβίῳ* D *et* recc. multi, *item v.* 7. — 6 *παρέδωκεν* ERV. — 9 *ὄντως* DFL. — 10 *ἰδεῖν* B *conjectura probabili.* — 12 *μαξιμίνος* ACM *et* Exc. de insidiis *μάξιμος* R *et* D *m. 2.* — *ἐπαρχότητα* RV. — 13 *γαλλίων scripsi cum* codd. *et* Exc. — *ἔτρεψε* ABFL Exc. *ἔστρεψε* rell. — 15 *τελευτήσῃ* M *τελευτήσει* ACDELV Exc. *τελευτῆσαι* BF *τελευτήσας* R. — 17 *θεοδόσιος ὁ νεώτερος* M Exc. *ὁ νεώτερος* V *spr. vers. rubro.* — 19 *ᾧπερ* BF Exc. *ὅπερ* rell. — *μαξίμου* R *et* D *m. 2.* — *ὁμοίως om.* LM Exc. — 20 *παρ'*] *γὰρ*? — 22 *ἱσπανίων* RV.

τὴν φύσιν τῷ λογισμῷ καὶ τὴν φήμην τοῖς ἐγκωμίοις ἐνίκα. ἐν δὲ τῷ μεταξὺ Οὐάλης γράμματα ἐκπέμπει πρὸς τὸν βασιλέα Γρατιανὸν προστάξας Θεοδόσιον ἀποσταλῆναι πρὸς αὐτόν. ἀρξάμενος δὲ τῆς ὁδοιπορίας Θεοδόσιος καὶ γνοὺς τὴν Οὐάλεντος τελευτὴν ἔρχεται εἰς πόλιν καλουμένην Σέρ- 5
μιον. τῶν δὲ Γότθων πᾶσαν πόλιν καὶ χώραν ἀφειδῶς λυμαινομένων, καὶ τῶν Ῥωμαϊκῶν στρατοπέδων φευγόντων ἀπὸ προσώπου αὐτῶν, τότε Θεοδόσιον ἐν τῷ Σερμίῳ διάγοντα Γρατιανὸς προσκαλεῖται βουλῇ τῆς συγκλήτου Ῥωμαίων φθονούσης αὐτῷ, καὶ σὺν ὀλίγοις στρατιώταις εἰς τὸν οὕτως 10
ὠμὸν καὶ τοσοῦτον πόλεμον ἀποσταλῆναι Θεοδόσιον [πείθει] ἐπικινδύνῳ ἀξιώματι τιμηθέντα στρατηλάτου ἀξίᾳ τὸν βασιλέα παρέπεισεν. καὶ ὁ μὲν βασιλεὺς τῶν τῆς ἐπιβουλῆς καὶ τοῦ φθόνου τοῦ κατὰ φύσιν εὐπτώτου οὐδὲν ἔγνω, κατὰ κράτος δὲ τοὺς νομιζομένους ἀηττήτους εἶναι Γότθους 15
νικήσας Θεοδόσιος σὺν τάχει πολλῷ τῷ βασιλεῖ τροπαιοφόρος παραστὰς θείᾳ ψήφῳ τὸ βασιλικὸν διάδημα περιβάλλεται. 465 M.
Γρατιανοῦ χειροτονοῦντος αὐτὸν καινῇ τινι καὶ θαυμαστῇ περιεβλήθη πορφύρᾳ ὡς ἀρχαῖος βασιλεύς. καὶ ἐπειδὴ τοὺς ὤμους αὐτοῦ ὑπὲρ ἄνθρωπον ὑψηλοὺς ὄντας διαφόρων βα- 20
σιλέων χλαμύδες ἐνδύειν οὐκ ἠδύναντο, (πάντας γὰρ ὑπερέχων τῷ μεγέθει πᾶσαν ἐσθῆτα διὰ τὸ ὕψος μικρὰν ἀπέφηνεν) τέλος Κωνσταντίνου τοῦ εὐσεβεστάτου βασιλέως τῇ πορφύρᾳ κοσμηθεὶς ἐξέλαμψεν, ἐκ τετραγώνου ἁρμοσάσης αὐτῷ. οὕτω Γρατιανὸς τὰ τῆς δύσεως μέρη ἑαυτῷ καὶ τῷ 25

25—*p.* 564, 6 Rufin. II, 14.

5 *σερμίον* BC *σερμίων* A. — 11 *καὶ*] *ἢ* Muralt. — *πείθει* *del. videtur.* — 13 *τῶν* BL *et* D *m. 2* *τὸν* rell. *om.* Exc. — 14 *εὐώπτου* L *εὐόπτου* Exc. *εὐπώπτου* R. — 15 *εἶναι ἀηττήτους γότθους* B *γότθους ἀηττήτους εἶναι* M. — 18 *τινὴ* A *τιμὴ* C. — 22 *μικρὰν* FLNR *μικροῦ* ACEV *μι*[κρ] B. — 24 *πορφυρίδι* LR. — *κοσμισθεὶς* AM. — *ἁρμοσάσῃ* (-*σει* F) BCEF. — 25 *αὐτόν* AB *αὐτῶν* *ut vid.* M. — *οὕτω*—*p.* 564, 1 *διεφύλαξεν* *om.* A. — *οὗτος* CEN *καὶ οὕτως* F.

ἀδελφῷ διεφύλαξεν, Θεοδοσίῳ δὲ τὴν τῆς ἀνατολῆς φροντίδα ἐπέτρεψεν. πολλὰ δὲ εὐσεβῶς καὶ γενναίως κατορθώσας ὁ Γρατιανὸς παρὰ Μαξίμου τοῦ τυράννου ταῖς Βρεττανίαις ἐπαναστάντος δι' ἀνδραγαθίαν τοῦ δουκὸς ἐν Λουγδόνῳ 5 *παρὰ τῶν ἰδίων προδοθεὶς μᾶλλον ἢ βίᾳ τῶν πολεμίων συσχεθεὶς ἀνῃρέθη.*

Οὐαλεντινιανὸς δὲ ὁ τούτου ἀδελφὸς ἐν Ἰταλίᾳ διάγων ὑπὸ τῆς σφαγῆς τοῦ ἀδελφοῦ καὶ τοῦ φόβου τοῦ πολέμου πτοηθεὶς εἰρήνην, αὐτῷ καθ' ὑπόκρισιν προταθείσης παρὰ 10 *Μαξίμου, καὶ αὐτὸς ὑποκρινάμενος ἡδέως ἐδέξατο. Ἰουστίνα δὲ τότε ἡ μήτηρ αὐτοῦ τῆς τῶν Ἀρειανῶν αἱρέσεως τὰ φάρμακα τῆς ἀσεβείας, ἃ περιόντος τοῦ ἀνδρὸς ἔκρυπτεν, εὐμαρῶς ἀπατηθέντι τῷ υἱῷ μετὰ θάρσους ἀπεκάλυψεν, καὶ πείθει αὐτὸν διὰ στρατιωτικῆς χειρὸς τὸν μὲν Ἀμβρόσιον ἀνθιστά-* 15 *μενον αὐτῇ τῷ ὀρθῷ λόγῳ τῆς ἐκκλησίας Μεδιολάνων ἐξεῶσαι καὶ εἰς ἐξορίαν πέμψαι, τὴν ἐκκλησίαν δὲ διαρρῆξαι καὶ πολεμεῖν τὰ ἅγια. Βενήβολος δὲ τότε μέγας ἐν ἀξιώμασι ταῖς ὑποσχέσεσι τῆς βασιλίδος μὴ εἴξας τῆς στρατιωτικῆς ζώνης καὶ τῶν ἀξιωμάτων τὴν ὀρθόδοξον πίστιν προκρίνας* 20 *τοῖς ποσὶ τῶν βασιλέων τὴν ἑαυτοῦ ζώνην ἀπέρριψεν. Μάξιμος δὲ ὁ τύραννος θέλων τὸ τοῦ τυράννου ἄτιμον ὄνομα ἐκδύσασθαι καὶ νόμιμον ἑαυτὸν ἐπιδείξασθαι βασιλέα γράμ-* 466 M. *ματα ἐκπέμψας τὸ ἀσεβὲς ἐπιχείρημα τῆς Ἰουστίνης ἀπεφαύλιζε καὶ τὸ πολεμεῖσθαι τὴν πίστιν τοῦ θεοῦ καὶ τὴν κατά-*

7—17 Rufin. II, 15. — 17—*p.* 565, 5 Rufin. II, 16.

3 *μαξιμίνου* BFM *item v.* 10. — per Andragathium ducem Ruf., *sed codicum omnium et exc. de insidiis consensus demonstrat Georgii esse errorem.* — 4 *λογδόνῳ* B *λουγδούνῳ* FMR *et m. 2* Exc. — 5 *ἢ βίᾳ* A quam vi Ruf. *δὲ βίᾳ* F *καὶ βίᾳ* rell. codd. *καὶ διὰ* Exc. — 8 *πολεμίου*? hostis Ruf. — 9 *εἰρήνης* FV Exc. *εἰρήνη* M. — 10 *ὑποκρινόμενος* AF Exc. — *ἰουστῖνα* E. — 15 *ἐξῶσαι* B *ἐξελάσαι* M. — 17 *βενήβολος* AFL *βενίβολος* CENV *μενούβουλος* B *μενέβολος* R. — *μέγας om.* ER. — *ἀξιώματι* AER. — 20 *μαξιμιανὸς* B *et* recc. quidam *μαξιμῖνος* recc. rell. — 23 *ἐπιχείρημα* AB inceptum Ruf. *ἐπὶ* rell.

στασιν τῆς καθολικῆς ἐκκλησίας ἀνατρέπεσθαι ἀπηγόρευεν, καὶ οὕτω πλησιάζειν ταῖς Ἰταλίαις ἤρξατο. τοῦτο δὲ Ἰουστίνα μαθοῦσα, τοῦ τε πολεμίου ἅμα καὶ τῆς συνειδήσεως τῆς ἀσεβοῦς ἐπικειμένων αὐτῇ, εἰς φυγὴν τραπεῖσα πρώτη τὴν ἐξορίαν ἐκληρώσατο, ἣν τοῖς ἱερεῦσιν ἡτοίμασεν. τοι- 5 γαροῦν μετὰ τῆς ἀθεμίτου μητρὸς πεφευγὼς ὁ βασιλεὺς Οὐαλεντινιανὸς τῆς Ἰταλίας ἐστερήθη καὶ τῆς οἰκείας ἐξεβλήθη βασιλείας. ἐλθὼν οὖν ἐν τῇ ἀνατολῇ οὕτως ἐδέχθη παρὰ τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου, ὥστε δοκεῖν αὐτὸν μᾶλλον τῶν μερῶν ἐκείνων βασιλεύειν ἢ ἐν ἐξορίᾳ διάγειν. 10 παραχρῆμα δὲ διὰ Θεοδοσίου καθαρθεὶς ἀπὸ τῆς φαυλοτάτης αἱρέσεως τῆς ἀκαθάρτου τὸν ἰὸν ἐξέχυσεν, ἐν ᾧπερ αὐτὸν ἡ ἀνόητος ἔβλαψε μήτηρ, καὶ τὸν Χριστὸν ἀνεδέξατο πιστοτάτῃ προτροπῇ Θεοδοσίου. πολλάκις γὰρ εἰς τὴν ἐλπίδα τῆς πίστεως διὰ Θεοδοσίου ἐκπαιδευθεὶς ἔμαθε τὴν βασιλι- 15 κὴν παράταξιν οὐ δι᾽ ὅπλων ἑστάναι, ἀλλ᾽ ἐξ ἀγαθῶν προφάσεων. τοιοῦτος δὲ ἦν ὁ λόγος ὁ παρὰ Θεοδοσίου πρὸς Οὐαλεντινιανὸν εἰρημένος· οἶδα, φησίν, πολλάκις, Οὐαλεντινιανέ, ἡσυχάζοντος τοῦ στρατοπέδου παρὰ τῶν εὐσεβεστάτων βασιλέων τὴν νίκην κατορθωθεῖσαν, καὶ τοὺς πολεμίους 20 ὑποταγέντας ὑποτελεῖς γεγενῆσθαι τοῦ προλαβόντος κινδύνου. οὕτω καὶ ὁ ἔνθεος Κωνσταντῖνος ταῖς βοηθείαις τοῦ θεοῦ ἀνορθωθεὶς Λικίνιον τὸν τοῦ θεοῦ τύραννον ἐν ναυαγίῳ διέφθειρεν, οὕτω καὶ ὁ ἔνδοξος Οὐαλεντινιανὸς ὁ σὸς πατὴρ

5—*p.* 566, 15 *Similia sed brevius* Theodoret. Hist. eccl. V, 15.

1 ἀπηγόρευεν ABL ἀπηγόρευσεν rell. — 2 ἰουστῖνα BE. — 3 πολέμου BLR. — 4 πρώτη τὴν Mur. (prima Ruf.) πρώτην codd. — 8 ἐδέχθη ABN ἐπεδέχθη C ὑπεδέχθη rell. — 12 ἐξέχεεν RV. — 19 παρὰ τῶν εὐσεβεστάτων βασιλέων *ante* ἡσυχάζοντος *inserunt* Exc. de virt. *et* codd. *praeter* AB. — 21 γενέσθαι ABR. — 22 οὗτος AC. — καὶ *om.* codd. *praeter* AB Exc. — 23 λικίνιον AEFLR λικίννιον BCNV (λικίννιον *ex* λικίνιον *corr. in* Exc. *incertum qua manu.* — 24 οὗτος ABCLM. — καὶ *om.* codd. *praeter* ABV Exc.

εὐτυχέστερον τὴν βασιλείαν ἀβλαβῆ παρὰ τῶν πολεμίων ἰθύνων ἐτέλεσεν, τοῦ θεοῦ ἐκδικοῦντος αὐτόν, καὶ μάχας ἀναριθμήτους καὶ νίκας ἀπίστους ἐδέξατο πολλοὺς βαρβάρους διαφόρως ἀνελών. Οὐάλης δὲ ὁ θεῖος ὁ σὸς τὸν θεὸν δια-
5 σπαράττων ἐμίανε τὴν ἐκκλησίαν ὁ βέβηλος διὰ τῆς σφαγῆς τῶν ἁγίων καὶ τῆς ἐξορίας τῶν ἱερέων, ὃς τῇ τοῦ θεοῦ βουλήσει ὑπὸ τῶν Γότθων πολιορκηθεὶς καὶ ἡττηθεὶς ἐκαύθη. σὺ οὖν αἱρετικοῦ ὄνομα λαβεῖν ἀνέξῃ ἀπιὼν εἰς πόλεμον; ὀρθῶς τὸν Χριστὸν σέβει ὁ ἀδίκως σε ἐκβαλών. ἡ σὴ ἀπι-
467 M. 10 στία εὐχέρειαν Μαξίμῳ συνεισήνεγκεν. ἐκεῖνος μόνον τοῦ βασιλέως ἐστὶ τύραννος, σὺ δὲ πολέμιος ἤρξω τοῦ θεοῦ καθεστάναι. δώσω σοι στρατὸν καὶ παρέξω βοήθειαν. ἀλλ' εἰ τὸν Χριστὸν βλάπτομεν, τίνα παρακαλέσομεν μαχόμενοι; ταῦτα καὶ πλείω τούτων νουθετήσας Θεοδόσιος Οὐαλεν-
15 τινιανὸν εἰς τὴν ὀρθόδοξον πίστιν μετήγαγεν. ἐν δὲ τῷ μέσῳ τῆς μητρὸς αὐτοῦ τελευτησάσης, Θεοδόσιος διὰ τὴν πίστιν τῆς βασιλείας τῆς χρηστότητος καὶ τῶν εὐεργεσιῶν Γρατιανοῦ μεμνημένος εἰς ἄμυναν πάσαις τῆς ἀνατολῆς δυνάμεσιν ἐξαΐξας ἐξεδίκησε τὸ δίκαιον αἷμα καὶ τὸν Οὐαλεν-
20 τινιανὸν ἀπεκατέστησεν ἐπὶ τὴν βασιλείαν ἐκβαλὼν τὴν τυραννίδα. αὐτὸς δὲ μετὰ ταῦτα εἰσελθὼν εἰς τὴν Ῥώμην καὶ θριαμβεύσας τὴν νίκην εἰς τὴν ἰδίαν βασιλείαν ἐπανῆλθεν.

15—22 Rufin. II, 17.

1 *καὶ ἀβλαβῆ* FV Exc. — 4 *διαφόρως* AB Exc. *καὶ διαφόρους* rell. — 8 *ὄνομα λαβὼν καὶ ἀνάξια ποιῶν τῆς βασιλείας ὀρθῶς τ. χρ. σέβειν δοκεῖς; γίνωσκε οὖν ὡς ἡ σὴ ἀπιστία* F. *ἀνάξια ποιῶν* *pro* *ἀνέξῃ ἀπιὼν* *etiam* R. — 9 *σέβῃ* AM *σέβεται* BRV. — 10 *εὐχέριαν* CDF *εὐχερία* M *εὐκαίρειαν* R *εὐκαιρίαν* E. — *μόνος* A *μόνου* L. — 12 *παρέξω σοι* codd. *praeter* AB Exc. — 13 *βλάπτωμεν* ACF. — *παρακαλέσωμεν* ACDEF. — 14 *καὶ πλείω τούτων* AB *καὶ τὰ τούτων πλείονα* rell. — 18 *πάσας* (*corr. ex* *πάσης* *aut* *πάσης* *ex* *πάσας*) *τῆς ἀν. τὰς δυνάμεις* A *πάσας τὰς τῆς ἀν. δυνάμεις* F *πάσας τὰς ἀνατολικὰς δυνάμεις* Exc. — 19 *ἐξαΐξας* *scripsi* *ἐξάξας* codd. totis viribus insurgens Ruf. — 20 *ἀποκατέστησεν* V *et fortasse* A *κατέστησεν* R. — *εἰς* BL.

Ἐν ταῖς ἡμέραις οὖν, ἐν αἷς ὁ θεὸς ὁ ἀγαθὸς ἐξήγειρε Θεοδόσιον τὸν μέγαν βασιλέα καὶ ἐνεπίστευσεν αὐτῷ τὸν θρόνον τῆς βασιλείας Ῥωμαίων, ἠγάγετο εἰς γυναῖκα τὴν θυγατέρα τοῦ πρὸ αὐτοῦ βασιλέως, καὶ ἔτεκεν αὐτῷ δύο υἱούς, Ἀρκάδιον καὶ Ὀνώριον. αὐξησάντων δὲ τῶν παίδων, 5 *ἦλθον εἰς ἡλικίαν τοῦ ἐκμανθάνειν τὰ ἱερὰ γράμματα. καὶ ἐξαπέστειλεν εἰς πᾶσαν τὴν ὑπ' αὐτὸν βασιλείαν ζητῆσαι ἄνδρα ἐλλόγιμον καὶ ἀσκητὴν κεκοσμημένον ἐν ἀληθείᾳ τὸν φόβον τοῦ θεοῦ, ἔχοντα θεογνωσίαν εἰς ἄκρον, ὡς ὀφείλων παραδοῦναι αὐτῷ τοὺς υἱοὺς αὐτοῦ, ἵνα παιδεύσῃ αὐτοὺς* 10 *πάσῃ θείᾳ γραφῇ τε καὶ ἀνθρωπίνῃ, μὴ βουλόμενος παραδοῦναι αὐτοὺς εἰς σχολεῖον, ἵνα μὴ μάθωσιν ἀπὸ ἄλλων παιδίων ἅπερ ὁ θεὸς οὐ θέλει, καὶ τυπωθῶσιν ἐν λόγοις ἀνωφελέσι καὶ βλαβεροῖς. ταῦτα ὁ βασιλεὺς λογισάμενος, ὡς εἴρηται, σπουδὴν πᾶσαν ἐποιεῖτο τοῦ εὑρεῖν ἄνδρα τοιοῦτον.* 15 468 M. *καὶ τῶν διαταγμάτων ἐκπεμφθέντων κατὰ πᾶσαν τὴν ὑπ' αὐτὸν βασιλείαν, οὐκ ἠδυνήθησαν εὑρεῖν τινα κατὰ τὸν ἐνιστάμενον αὐτῷ λογισμόν, ἀλλὰ ποτὲ μὲν εὕρισκον ἄνδρα φιλόσοφον, ἀλλ' οὐ φιλόθεον, ποτὲ δὲ πάλιν εὕρισκον φιλόθεον καὶ οὐ φιλόσοφον. ηὔξησαν δὲ οἱ παῖδες, καὶ* 20 *οὐκ ἠνείχετο εἰς σχολεῖον πέμψαι αὐτοὺς τῇ προφάσει τῇ προλεχθείσῃ κρατούμενος. καὶ μὴ εὑρὼν καθὼς ἐζήτει ἀπέστειλεν ἐν τῇ Ῥώμῃ πρὸς τὸν ἐν αὐτῇ βασιλέα αἰτῶν παρ' αὐτοῦ τοιοῦτον ἄνδρα, γράψας αὐτῷ ὅτι· μεγάλα μοι χαρίζῃ τοῦτο ποιῶν. ὁ οὖν βασιλεὺς προσκαλεσάμενος τὸν πάπαν* 25 *δείκνυσιν αὐτῷ τὰ γράμματα τοῦ βασιλέως Θεοδοσίου εἰπὼν ὅτι· ἀνένδεκτόν ἐστι μὴ ποιῆσαι τῷ συμβασιλεύοντι ἡμῖν τὴν αἴτησιν ταύτην. αἰσχύνη γάρ ἐστι τοῦ ἡμετέρου κράτους μὴ*

---

1 *οὖν*] *γάρ* B *om.* A. — *ἐξέγειρε* (-*ραι* C) CR. — 2 *μέγα* BFMV. — 5 *ὀνώριον* BCD *ὀνώριον* EFL *ὀνόριον* V *ὀνόριον* M *ὠνόριον* AR. — 8 *τῷ φόβῳ* BF. — 10 *παιδεύσει* ACEM. — 12 *σχολίον* ACDEL *item v.* 21. — *ὑπὸ* RV. — 21 *ἠνέσχετο* ER. — 21. 22 *τῇ προλεχθείσῃ προφάσει* FR. — 24 *χαρίζει* ACDF *m. 2 corr. in* D. — 27 *συμβουλεύοντι* BM *βασιλεύοντι* V *et* recc. quidam. — *τὴν αἴτησιν αὐτοῦ ταύτην* B *τὴν αἴτησιν αὐτοῦ* (*om. ταύτην*) N.

εὑρεθῆναι ἐν τῇ μεγίστῃ Ῥώμῃ ἄνθρωπον τοιοῦτον. καὶ ἐρευνήσαντες καὶ ἐπιζητήσαντες οὐχ εὗρον. ἐπὶ πολὺ οὖν διαλογιζομένων αὐτῶν καὶ ἀδολεσχούντων περὶ τούτου, εἶπεν ὁ πάπας τῷ βασιλεῖ· ἔστι παρ' ἡμῖν διάκονός τις παρθένος
5 *μετὰ τῆς ἰδίας ἀδελφῆς· ὄνομα αὐτῷ Ἀρσένιος. ὅμοιος γὰρ αὐτοῦ ἄλλος οὐκ ἔστιν ὁ ὀφείλων πρὸς ὃ ἐπιθυμεῖ ὁ βασιλεὺς Θεοδόσιος παιδεῦσαι τὰ τέκνα αὐτοῦ πάσῃ γνώσει θείᾳ τε καὶ ἀνθρωπίνῃ. ἀλλ' οὐκ οἶδα εἰ καταδέχεται, διότι ἔχει καιρὸν ἀποταξάμενος τῆς ἐγκυκλίου παιδεύσεως. ἀλλ' ἴσως*
10 *ἐὰν κελεύσῃ τὸ ὑμέτερον κράτος καὶ καλέσωμεν αὐτόν, πληροφοροῦμεν αὐτὸν περὶ τούτου. ταῦτα ἀκούσας ὁ βασιλεὺς ἐχάρη λίαν, καὶ πέμψαντες μετεστείλαντο τὸν Ἀρσένιον. ἐλθόντος δὲ αὐτοῦ λέγει πρὸς αὐτὸν ὁ βασιλεύς· οὐ λέληθε τὸ ἡμέτερον κράτος ἡ κατὰ θεόν σου πολιτεία καὶ ὁ ἐνά-*
15 *ρετός σου βίος, ἀλλὰ διηνεκῶς ἀκούοντες τὴν καλήν σου ἀναστροφὴν πάνυ εὐφραινόμεθα ἐπὶ τούτῳ. ἐπειδὴ οὖν ὁ συμβασιλεὺς ἡμῶν Θεοδόσιος ἀπέστειλεν ἡμῖν πρεσβείαν αἰτούμενος πέμψαι αὐτῷ ἄνθρωπον τοιοῦτον δυνάμενον παιδεῦσαι τὰ τέκνα αὐτοῦ ἐν πάσῃ θεοσεβείᾳ καὶ σοφίᾳ,*
20 *τούτου χάριν μετεστειλάμεθά σε ὡς κατὰ θεὸν ὄντα, ἵνα ἀπέλθῃς πρὸς αὐτὸν καὶ κατὰ τὴν χάριν τὴν δοθεῖσάν σοι ἐκ θεοῦ παιδεύσῃς αὐτούς. οὐ γὰρ ἐκρίναμεν ἁπλῶς καὶ*
469 M. *ὡς ἔτυχεν ἐγχειρίσαι τοῦτο τὸ πρᾶγμά τινι, εἰ μὴ τῇ εὐλαβείᾳ σου. ὁ δὲ Ἀρσένιος ἀποκριθεὶς εἶπε τῷ βασιλεῖ· οὐκ*
25 *ἀγνοεῖ, θεοσεβέστατε βασιλεῦ, ὁ ἁγιώτατος πατὴρ ἡμῶν πάπας τὴν ἐμὴν εὐτέλειαν, ὅτι ἔχω καιρὸν μὴ παρελθὼν διὰ τῆς ἔξω φιλοσοφίας, ἐξαιρέτως δὲ ἀφ' οὗ τὴν χειροτονίαν ταύτην ἐδεξάμην ὁ ἀνάξιος, οὔτε εἰς βιβλίον ἐνέκυψα*

---

5 *ὀνόματι ἀρσένιος* AF. — 6 *αὐτῷ* BR. — 10 *κελεύσει* AC. — *καὶ καλέσομεν αὐτόν* B *καλέσομεν* (*-σωμεν* R) *αὐτὸν καὶ* RV *καλέσομεν αὐτόν* (*om. καὶ*) E. — 13 *εἰσελθόντος* ER. — 16 *ἐπὶ τοῦτο* ABCEV. — 17 *ἡμῶν*] *ἡμῖν* ADE *om.* F — 19 *ἐν πᾶσι σοφίᾳ* (*om. θεοσεβ. καὶ*) C. — *σοφίᾳ* AB *φιλοσοφίᾳ* DEFRV. — 22 *παιδεύσεις* CER *ἐκπαιδεύσῃς* V. — 23 *ἐγχειρῆσαι* AR. — 24 *ἀποκριθεὶς om.* AC. — 28 *ἐδεξάμην ὁ ἀνάξιος* AB *ὁ ἀνάξ. ἐδεξάμην* rell.

τῶν τοιούτων ἐπιστημῶν. ὑπολαβὼν δὲ ὁ πάπας εἶπε πρὸς αὐτόν· ὅτι μὲν ἀληθῆ εἰσι τὰ παρά σου λεχθέντα τῷ φιλοχρίστῳ ἡμῶν βασιλεῖ ἐπιστάμεθα, καὶ ταῦτα οὕτως ἔχει. πάνυ γὰρ ἐπαινέσαμεν τὴν ἐνάρετόν σου πολιτείαν ἐν τούτῳ. ἀλλ' ἐπειδὴ καὶ θεία βασιλικὴ κέλευσίς ἐστιν, καὶ θεάρεστόν ἐστι 5 *τὸ πραγματευόμενον, ἐκλιπαροῦμέν σε ἐπιδοῦναι ἑαυτὸν εἰς τὸ τοσοῦτον ἀγαθὸν ἐγχείρημα. δύνῃ γὰρ διὰ τῆς χάριτος τοῦ θεοῦ τῆς δοθείσης σοι εὐσεβῶς καὶ θεαρέστως αὐτοὺς παιδεῦσαι, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῇ φιλοσοφίᾳ μεγάλως αὐτοὺς ὠφελῆσαι, δεικνύων αὐτοῖς τὰς πομπὰς καὶ αἰσχρό-* 10 *τητας τῶν δυσσεβῶν εἰδώλων, οὓς θεοὺς ἀποκαλοῦσιν οἱ ἀλιτήριοι Ἕλληνες, καὶ τοῦ μὴ πιστεύειν τοῖς παρ' αὐτῶν μυθευομένοις, ἀλλὰ καὶ δαίμονας αὐτοὺς ἀποκαλεῖν καὶ θριαμβεύειν τὰ μιάσματα αὐτῶν καὶ φαντάσματα. τούτοις καὶ τοῖς τοιούτοις λόγοις πείσαντες τὸν Ἀρσένιον ἀπέστειλαν* 15 *αὐτὸν μετὰ πάσης δόξης καὶ τιμῆς τῷ εὐσεβεστάτῳ βασιλεῖ Θεοδοσίῳ γράψαντες αὐτῷ ὅ τε βασιλεὺς καὶ ὁ πάπας ὅτι· κατὰ τὴν κέλευσιν ὑμῶν ἀπεστείλαμεν ὑμῖν ἄνθρωπον, ὃς δυνήσεται μετὰ τῆς τοῦ θεοῦ χάριτος ἀνάξαι τὰ φίλτατα τῆς ὑμῶν γαληνότητος τέκνα ἐν πάσῃ σοφίᾳ καὶ ἀρετῇ.* 20 *ὁ οὖν Ἀρσένιος παραδοὺς τὴν ἰδίαν ἀδελφὴν εἰς παρθενῶνα ἀπέπλευσεν ἐν Κωνσταντινουπόλει. δεξάμενος δὲ ὁ βασιλεὺς Θεοδόσιος τὰ γράμματα καὶ ἀναγνούς, προσκαλεσάμενος δὲ καὶ τὸν Ἀρσένιον σχῆμά τε καὶ ἦθος εὐλαβὲς θεασάμενος ἐν αὐτῷ, σεμνὸν μὲν ἔχοντα τὸ χρῶμα, εὔτακτον δὲ τὸ* 25 *βλέμμα, ταπεινὸν τὸ φρόνημα καὶ περὶ τὰ θεῖα καὶ ἀνθρώπινα σοφώτατον, καὶ ἁπλῶς πάσῃ τῇ κατὰ Χριστὸν ἀρετῇ κεκοσμημένον, ἐχάρη χαρὰν μεγάλην. καὶ δὴ πρὸς αὐτὸν*

---

1 *ἐπιστήμων* AF. — 4 *ἐπηνέσαμεν* EV. — 7 *ἐπιχείρημα* ER. — 12 *ἀλητήριοι* CDF. — 13 *ἀλλὰ καὶ δαίμονας* ABV *καὶ om.* rell. — 22 *ἀνέπλευσεν* V *ἀπέστειλεν* A. — 23 *δὲ καὶ om.* F. — *δὲ* A *τε* rell. — 24 *καὶ prius om.* R. — 27 *ἁπλῶς* ABP *ἁπλῶς εἰπεῖν* rell. — *χριστὸν* ABP *θεὸν* rell.

ὁ βασιλεύς· δηλοῖ μὲν ἡ διὰ τοῦ σχήματος ἤθους τε καὶ
ἀπολογίας† ἐνάρετόν σε καὶ θεοσεβῆ εἶναι, καί, καθὼς γε-
470 M. γραφήκασιν ἡμῖν ὅ τε συμβασιλεύων ἡμῖν καὶ ὁ τῆς Ῥώμης
ἁγιώτατος πάπας, οὕτω καὶ εἴδομεν. ἀληθῆ γὰρ ἔγραψαν.
5 νῦν οὖν πάντως οὐκ ἀγνοεῖς, δι' ἣν αἰτίαν ἀπέστειλάν σε
πρὸς ἡμᾶς, ἀλλὰ καὶ τὸ ἡμέτερον κράτος αὐτοψεὶ διαλεχθή-
σεταί σοι, τουτ' ἔστι χάριν τῶν ἡμετέρων τέκνων, ἵνα πάσῃ
θεοσεβείᾳ καὶ φόβῳ θεοῦ τούτους ἐκπαιδεύσῃς, ἔτι μὴν καὶ
τὴν φιλοσοφίαν πᾶσαν εἰς ἄκρον αὐτοὺς διδάξῃς. ἀλλὰ μὴ
10 ὑποσταλῇς μηδὲ διακριθῇς πρὸς αὐτοὺς ὑπονοῶν ὅτι τέκνα
ἡμῶν ὑπάρχουσιν, μηδὲ πάλιν ὡς βασιλεῦσιν αὐτοῖς προσχῇς
ἢ τιμήσῃς, ἀλλ' ὡς τέκνα καὶ μαθητὰς ἔχε αὐτοὺς καί, ὅτε
παραπέσωσιν, ἐπέξελθε αὐτούς. καὶ ταῦτα εἰπὼν ὁ βασιλεὺς
Θεοδόσιος καὶ ἐνέγκας τόν τε Ἀρκάδιον καὶ Ὀνώριον παρα-
15 δίδωσιν αὐτοὺς εἰς τὰς χεῖρας αὐτοῦ λέγων· ἰδοὺ ἀπὸ τῆς
σήμερον οὗτός ἐστιν ἐμοῦ τε καὶ ὑμῶν πατὴρ καὶ διδάσκαλος.
ὑπακούσατε αὐτῷ κατὰ πάντα ὡς πατρί, καὶ μὴ παρακούσητε
αὐτῷ μηδὲ ἀντιταχθῆτε. παρήγγειλα γὰρ αὐτῷ ἵνα, ἐὰν παρα-
πέσῃ τις αὐτῷ ἐξ ὑμῶν, ἐπεξέλθῃ αὐτῷ ὡς μαθητῇ. καὶ
20 ταῦτα εἰπὼν ἀφορίζει αὐτοῖς πλησίον τοῦ βασιλικοῦ κοι-
τῶνος τρίκλινον μέγα καὶ ἐν αὐτῷ διάγειν παρακελεύεται.

---

1 *Locus corruptus, quem varia ratione librarii sanare temptaverunt.* ὄψις *post* ἀπολογίας *inserit* B σου διάθεσις V κατάστασις τῆς σῆς ψυχῆς F. δηλοῖς μὲν διὰ *v. 1* Muralt., *in cuius codice Mosquensi sicut in recentioribus omnibus* ἡ *deest.* σχήματός τε καὶ ἤθους ἀπολογία? — 2 σε *om.* C *spr. vers.* F σου R. — 4 εἴδωμεν D ἴδωμεν CFR. — 6 αὐτοψὶ EF αὐτοψὴ M. — 9 ἐκδιδάξῃς BR. — 10 μηδὲ AB μήτε rell. — 11 προσσχῇς D προσσχεὶς F. — 12 τιμήσῃς AFV *et* recc. quidam τιμήσεις rell. — 13 παραπέσωσιν ABFR παραπέσουσιν rell. — παραπ. σοι A *sed* σοι *om. etiam* P. — αὐτούς BCEV αὐτοῖς AFNR (παραπίπτοντας ἐπεξέρχου P). — 14 ὀνώριον BD ὀνώριον EF ὀνόριον CV ὀνόριον MP ὠνώριον A ὠνόριον R. — 17. 18 παρακούσητε αὐτοῦ DRV. — 18 ἐὰν παραπέσῃ AB ἐὰν παρακούσητε αὐτοῦ (αὐτῷ CE) ἢ παραπέσῃ rell. — 19 αὐτῷ τις M αὐτῷ *om.* AR *recte fortasse. cf. v.* 13. — 21 μέγαν D *m. 2* με^{Γ} B.

τοῦτο δὲ ἐπενόησεν ὁ βασιλεύς, ἵνα συχνότερον ἐπισκέπτηται
αὐτούς. μεγάλως δὲ τιμήσας τὸν Ἀρσένιον ἐποίησεν αὐτὸν
μείζω πάντων ἐν τῷ παλατίῳ, ὥστε μὴ εἶναί τινα τῶν ἐκεῖσε
λαμπροτέραν αὐτοῦ ἐσθῆτα περικείμενον, καὶ ἁπλῶς εἰπεῖν
ἦν πατὴρ τοῦ βασιλέως καὶ τῶν τέκνων αὐτοῦ. 5

Ὁ οὖν Ἀρσένιος παραλαβὼν τόν τε Ἀρκάδιον καὶ Ὀνώριον
ἀνῆγεν αὐτοὺς θεοσεβῶς ἐκδιδάσκων αὐτοὺς πᾶσαν σοφίαν
θείαν τε καὶ ἀνθρωπίνην. ταπεινόφρων δὲ ὑπάρχων ὁ ἐν
ἁγίοις Ἀρσένιος οὐκ ἐχρᾶτο αὐτοῖς ὡς μαθηταῖς, ἀλλ' ὡς βα-
σιλεῦσιν. καθίζων γὰρ αὐτοὺς ἐπὶ δύο θρόνων αὐτὸς παρι- 10
στάμενος ἐδίδασκεν αὐτούς. ἐν μιᾷ οὖν τῶν ἡμερῶν εἰσελ-
θόντος τοῦ βασιλέως ἐξαίφνης πρὸς αὐτούς, ὁρᾷ Ἀρσένιον
μὲν ἱστάμενον, τὰ δὲ τέκνα αὐτοῦ καθεζόμενα, καὶ ἐλυπήθη
σφόδρα κατὰ Ἀρσενίου καὶ λέγει πρὸς αὐτόν· οὕτω παρηγ-
γείλαμεν ὑμῖν, ἵνα βασιλικῶς καὶ μὴ μᾶλλον ὡς μαθηταῖς 15
χρήσῃ τοῖς παιδίοις; καὶ τί τοῦτο πεποίηκας; πάνυ γὰρ
ἐλύπησας τὸ ἡμέτερον κράτος ἐν τούτῳ. ὁ δὲ Ἀρσένιος πρὸς 471 M.
τὸν βασιλέα ἔφη· οὐκ ἡγησάμην πρέπον εἶναι, θεοστήρικτε
βασιλεῦ, ἐμὲ καθέζεσθαι, βασιλεῖς δὲ παραστήκειν μοι. ὁ δὲ
βασιλεὺς ὀργισθεὶς ἐπὶ τῷ λόγῳ τούτῳ ἀπεκρίθη βλοσυρῷ 20
τῷ βλέμματι πρὸς Ἀρσένιον λέγων· σὺ καθιστᾷς αὐτοὺς
βασιλεῖς; οὐχὶ ὡς τέκνα καὶ δούλους παρέδωκά σοι αὐτούς;
καὶ ἵνα τί ταῦτα φθέγγῃ; καὶ ταῦτα εἰπὼν ὁ βασιλεὺς
παραχρῆμα ἐπάρας τὰ διαδήματα, ἅπερ εἶχον ἐπὶ τὰς κεφαλὰς
αὐτῶν, καὶ ῥίψας αὐτὰ εἰς τὴν γῆν ποιεῖ αὐτοὺς εἰς τοὺς 25
πόδας αὐτοῦ προσκυνῆσαι, καὶ καθίσας τὸν Ἀρσένιον ἐπὶ
θρόνου ἐκείνους παραστήκειν αὐτῷ ἐκέλευσεν εἰπὼν ὅτι· εἰ

---

3 μείζων FR μεῖζον A μείζονα B. — πάντων τῶν ἐν BR. — τῶν ἐκεῖσε *om.* N. — 4 λαμπροτέρα CE *et* D *in quo* ν *m. 2 add. vid.* — 6 καὶ Ὀνώριον *om.* R. — ὀνώριον BDF ὀνώριον E ὀνόριον CV ὀνόριον M ὠνόριον A. — 7 ἀνήγαγεν BF ἀνέτρεφεν R. — αὐτοὺς *post* ἐκδιδάσκων *om.* MR. — 16 ἐποίησας AB. — 18 οὐχ ἡγησάμην ER. — 19 παριστήκειν M παρειστήκειν R παρίστασθαι PV παρεστάναι B. — 21 ὄμματι NR. — 27 παρειστήκειν BR παρίστασθαι V παρεστᾶναι P.

μὲν φοβηθῶσι τὸν θεὸν καὶ ἐν τῷ νόμῳ αὐτοῦ θελήσωσι πορεύεσθαι καὶ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ, δυνατός ἐστιν ὁ παμβασιλεὺς τῶν αἰώνων, εἴπερ θέλημα αὐτοῦ ἐστιν, παρασχεῖν αὐτοῖς τὴν ἀξίαν ταύτην. εἰ δὲ μὴ ἔχωσι τὸν φόβον 5 *αὐτοῦ, εὔχομαι τῷ θεῷ μᾶλλον ἐκριζωθῆναι αὐτοὺς ἀπὸ νηπιόθεν. κρεῖσσον γάρ ἐστι τὸ τεθνάναι εὐσεβῶς ἢ βασιλεύειν ἀσεβῶς. καὶ ταῦτα εἰπὼν ὁ βασιλεὺς εἰσῆλθεν ἐν τῷ κοιτῶνι αὐτοῦ. ἔκτοτε οὖν ὁ Ἀρσένιος ὑφορώμενος τὸν βασιλέα οὐκέτι ἐποίει αὐτοὺς καθεσθῆναι, ἀλλὰ μᾶλλον παρ-* 10 *ίστασθαι αὐτῷ καὶ ἐκμανθάνειν. ἐν τούτοις οὖν διάγων ὁ ἡγιασμένος Ἀρσένιος πάνυ ἐδυσφόρει καὶ ἐλυπεῖτο. ἦν γὰρ μισόδοξος καὶ φιλόθεος καὶ ἐπεθύμει μᾶλλον τὸν μονήρη καὶ ἡσύχιον μετελθεῖν βίον, ὥστε παρακαλεῖν τὸν θεὸν συχνῶς μετὰ δακρύων ποιῆσαι τρόπον τοῦ ἰδιάσαι αὐτὸν ἐκ* 15 *τοῦ κόσμου.*

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν εὑρὼν ὁ ἐν ἁγίοις τὸν Ἀρκάδιον παραπεσόντα εἰς παιδικὸν πταῖσμα ἐνέγκας καὶ ἐμβριμησάμενος ἐπιτίθησιν αὐτῷ πληγὴν δεινὴν ὥστε σχεδὸν ἕως θανάτου τοὺς τύπους τῶν πληγῶν φέρειν ἐν τῷ σώματι 20 *αὐτοῦ. ὁ οὖν Ἀρκάδιος, ἀφ' ἧς ἡμέρας ἐδάρη, ἔμεινεν ἔχων κατὰ Ἀρσενίου κακίαν πολλήν, καὶ προσκαλεσάμενος τὸν σπαθάριον αὐτοῦ ἐπιτρέπει αὐτῷ κατ' ἰδίαν λέγων· οἵῳ τρόπῳ θέλεις ἀπόκτεινόν μοι τὸν Ἀρσένιον μηδενὸς νοοῦντος.* 472 M. *ὁ οὖν σπαθάριος ἀκούσας τὴν ἐλεεινὴν ἀπόφασιν ταύτην* 25 *καὶ τὸν φόβον τοῦ θεοῦ ἐν καρδίᾳ ἔχων θαρρεῖ τῷ Ἀρσενίῳ τὴν μιαιφόνον τοῦ Ἀρκαδίου ἐπιτροπήν. ὁ δὲ Ἀρσένιος λύπῃ τε καὶ φόβῳ συσχεθεὶς παρεκάλει τὸν θεὸν λέγων· κύριε ὁδήγησόν με, πῶς σωθῶ; καὶ μετεμελεῖτο ἐπὶ τῇ πληγῇ ᾗ ἣν τύψας τὸν Ἀρκάδιον. εἶτα ὀλίγων ἡμερῶν*

---

4 ἔχουσι BM. — 5 αὐτοῦ] τοῦ θεοῦ AF. — 5 ἀπονηπιόθεν AM *et* recc. nonnulli ἀπὸ νηπιώθεν (-ῶθεν C) CF. — 9 ἐποίει καθεσθ. αὐτοὺς A αὐτοὺς ἐποίει καθ. R. — 10 αὐτῷ] αὐτοὺς BC. — 17 περιπεσόντα B ἐπιπεσόντα D. — μὴ ἐνέγκας? — 22 ἑαυτοῦ DEV. — 23 γινώσκοντος PV.

διελθουσῶν, καὶ τοῦ σπαθαρίου κατεπείγοντος τὸν Ἀρσένιον τοῦ δι' οἱουδήποτε τρόπου σῶσαι ἑαυτόν, καὶ τούτου ἀδιαλείπτως εὐχομένου, ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους καὶ σώζῃ. ταύτης οὖν τῆς φωνῆς ἀκούσας μηδενὶ μηδὲν εἰρηκώς, ἀλλ' ἐσθῆτα εὐτελῆ ἐνδυ- 5 σάμενος, κατῆλθεν εἰς τὸν λιμένα καὶ κατ' οἰκονομίαν θεοῦ εὑρὼν ἐκεῖσε πλοῖον καὶ ἐμβὰς εἰς αὐτὸ ἦλθεν ἐν Ἀλεξανδρείᾳ καὶ ἀποθριξάμενος ὥρμησεν εἰς τὴν ἔρημον τῆς Σκήτεως καὶ ἐκεῖσε διέπρεπε διαφόροις κατορθώμασιν. ἤκουσε δὲ πάλιν φωνῆς λεγούσης αὐτῷ· Ἀρσένιε, φεῦγε, σιώπα, 10 ἡσύχαζε. αὗται γάρ εἰσιν αἱ ῥίζαι τῆς ἀναμαρτησίας.

Ὁ δὲ βασιλεὺς Θεοδόσιος πάνυ λυπηθεὶς ἐπὶ τῇ ἀναχωρήσει Ἀρσενίου ἔγραψε παντί τε καὶ πανταχοῦ ἀναζητῆσαι αὐτόν, καὶ οὐκ ἠδυνήθη αὐτὸν εὑρεῖν ἄχρι τῆς τελευτῆς αὐτοῦ. βασιλευσάντων δὲ Ἀρκαδίου καὶ Ὀνωρίου ἐγνώσθη 15 αὐτοῖς ὅτι Ἀρσένιος ἐν Αἰγύπτῳ διάγει τὸν μονήρη βίον καλῶς πολιτευόμενος. καὶ ἔγραφον αὐτῷ πλείστας ἐπιστολὰς παρακαλοῦντες αὐτὸν ὥστε εὔχεσθαι ὑπὲρ τῶν ἰδίων μαθητῶν καὶ τέκνων. ἔγραψε δὲ αὐτῷ πάλιν Ἀρκάδιος δυσωπῶν αὐτὸν ὥστε συγχωρῆσαι αὐτῷ τὸ πταῖσμα αὐτοῦ, ὃ ἥμαρτεν 20 εἰς Ἀρσένιον ἀνελεῖν αὐτὸν βουληθείς, ὥστε θέλων αὐτὸν πληροφορῆσαι γράφει αὐτῷ ἐνωμότως λαβεῖν παρὰ τοῦ ὑπάρχου

9—11 *cf.* Theodori Studitae laudatio Arsenii *cp.* 6 Migne Tom. 99, 853 C.

2 ἑαυτόν *m. 1 ex* αὐτόν C αὐτόν B. — 4 σώζει AC σώσει E. — 6 καὶ κατ' οἰκ. δὲ θεοῦ A κατ' οἰκ. δὲ θεοῦ (*om.* καὶ) N. — 7 εἰς αὐτὸ (-ῷ A) ABF (εἰς πλοῖον P) ἐν αὐτῷ rell. — 8 ἀποθρηξάμενος AEFLN *lit. corr. in* D ὑποθρηξάμενος B. — 9 ἐκεῖ ER. — ἐν διαφόροις ELR. — 12 ἐπὶ] ἐν AB. — 14 ἠδυνήθησαν BE. — 15 ὀνωρίου καὶ ἀρκαδίου AL. — ὀνωρίου BDFL ὀνωρίου E ὀνορίου CPV ὀνορίου M ωνορίου (*sine spir.*) A ὠνορίου *vel* ὡνορίου R. — 19 αὐτῷ πάλιν ABCRV πάλιν αὐτῷ EFLN. — 20 ὥστε *om.* N. — 21 βουληθεὶς αὐτὸν ἀνελεῖν N. — 22 ἐνομότως ACDR. — ὑπάρχου (ἐπ. P) ἀλεξανδρείας AP ὑπάρχου αὐγουσταλίου B ὑπάρχου (ἐπ. RV) ἀλεξανδρείας αὐγουσταλίου (καὶ αὐγ. F) rell.

Ἀλεξανδρείας τὰ δημόσια ὅλης τῆς Αἰγύπτου καὶ ταῦτα διανεῖμαι ὅπου δ' ἂν κελεύῃ, καὶ μόνον συγχωρῆσαι αὐτῷ καὶ εὔξασθαι ὑπὲρ τῆς βασιλείας αὐτοῦ τε καὶ Ὀνωρίου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀντιγράψαι αὐτοῖς κἂν ἅπαξ. ὁ δὲ
5 *ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀρσένιος γράψαι μὲν πρὸς αὐτοὺς οὐκ ἠνέσχετο, δηλοῖ δὲ αὐτοῖς οὕτως· ὁ θεός, τέκνα, πᾶσιν*
473 M. *ὑμῖν συγχωρήσει καὶ ἀξιώσει ποιεῖν τὰ θεῖα αὐτοῦ θελήματα. περὶ δὲ ὧν γεγραφήκατε χρημάτων ἐγὼ ἤδη τῷ κόσμῳ ἀπέθανον. μηδεὶς οὖν λογίσηταί με ὅλως εἶναι εἰς*
10 *τοὺς ζῶντας.*

Ἡ σύνοδος τῶν ρν' ἁγίων πατέρων καὶ ὁ βασιλεὺς Θεοδόσιος Γρηγορίῳ τῷ Θεολόγῳ τὴν ἐπισκοπὴν ἐκύρωσαν Κωνσταντινουπόλεως, καὶ μὴ θέλοντα τοῦτον τῷ θρόνῳ ἐνίδρυσαν βιασάμενοι ὡς πολλὰ καμόντα καὶ τῆς πλάνης τῶν
15 *αἱρέσεων τὴν πόλιν ἐλευθερώσαντα. ὀλίγους δὲ τῶν ἐξ Αἰγύπτου μαθὼν ὁ θεῖος Γρηγόριος τῷ λόγῳ τούτου φθονήσαντας τὸν συντακτήριον ἐπιδειξάμενος ἑκουσίως τῆς ἐπισκοπικῆς διοικήσεως ὑπεχώρησεν. Γρηγορίου δὲ τῆς*
474 M. *ἐπισκοπῆς Κωνσταντινουπόλεως ἀποταξαμένου, Νεκτάριον*
20 *ὁ βασιλεὺς προχειρίζεται καὶ ἡ σύνοδος, Ταρσέα μὲν τῷ γένει, τὴν τοῦ πραίτωρος δὲ ἀρχὴν τότε διέποντα, ἀβάπτι-*

11—*p.* 575, 2 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 69, 4 Leo Gramm. *p.* 103, 8.

1 *ὅλης τῆς αἰγύπτου* AB Exc. de virt. (*τῆς αἰγύπτου πάσης* P) *ὅλης om.* rell. — 2 *δ' ἂν* AP *ἂν* rell. Exc. — *κελεύει* ACFN *κελεύσῃ* V. — *συγχωρῆσαι — εὔξασθαι* BPV *συγχωρήσῃ* (-*σει* ADF) — *εὔξηται* rell. — 3 *ὀνωρίου* BD *ὀνωρίου* EF *ὀνορίου* CV *ὀνορίου* M *ωνορίου* (*sine spir.*) A *ὠνορίου vel ὡνορίου* R. — 4 *αὐτοῖς*] *αὐτοὺς* B Exc. de virt. — 7 *ἡμῖν* D *et* recc. quidam. — *αὐτοῦ τὰ θεῖα* R *αὐτοῦ om.* AB. — 9 *εἶναι ὅλως* M *ὅλως om.* B Exc. de virt. — 11 *ἡ δὲ σύνοδος* V *ἡ σύνοδος δὲ* B. — 16 *τούτους* C *αὐτοῦ* B *τοῦτον* R *τούτω* Exc. — 17 *τὸν συντακτήριον λόγον* PR Exc. Theoph. Leo. — *τῆς ἐπισκοπικῆς διοικήσεως* CELPV *τῆς ἐπισκοπῆς καὶ διοικήσεως* R *τῆς τῆς ἐπισκοπῆς διοικήσεως* B *τῆς ἐπισκοπῆς διοικήσεως* AN *τῆς ἐπισκοπῆς* Exc. Leo. — 21 *πρέτωρος* P *πραίτορος* ACEN.

*στον μὲν μέχρι τότε ὑπάρχοντα, σεμνὸν δὲ καὶ εὐλαβῆ καὶ
περὶ βίον θαυμάσιον. ὁ δὲ μέγας Γρηγόριος πρὸς Ἀριαν-
ζὸν τὸ χωρίον Καππαδοκίας ἐπανελθών, ὅπερ ἐκέκτητο ἐκ
πατρικοῦ κλήρου, ἠρεμήσας ἐν αὐτῷ καὶ ἡσυχάσας τινὰ
χρόνον καὶ ἐν θεωρίᾳ μείζονι γενόμενος τὸν βίον μεταλ-* 5
*λάττει πρεσβύτης καὶ πλήρης ἡμερῶν καὶ πάσης ἀρετῆς
ἔμπλεως.*

*Δευτέρα σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει τῶν ρν΄
πατέρων ἔτει τῆς Θεοδοσίου τοῦ μεγάλου βασιλείας* ⟨*γ΄*⟩, *ἐπὶ
Δαμάσου πάπα Ῥώμης, ἧς ἡγοῦντο Τιμόθεος Ἀλεξανδρείας,* 10
*Μελέτιος Ἀντιοχείας, Κύριλλος Ἱεροσολύμων καὶ Γρηγόριος
ὁ Θεολόγος, κατὰ Μακεδονίου γεγονότος ἐπισκόπου Κων-
σταντινουπόλεως, ὃς ἔτι περιὼν ὡσαύτως τῷ Ἀρείῳ ἐβλασ-
φήμει, ὁμοίως δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον μὴ εἶναι θεὸν
ἀληθινόν, ἀλλὰ κτίσμα καὶ αὐτὸ ὑπελάμβανεν. αὕτη συνελ-* 15
*θοῦσα χειροτονεῖ μὲν Κωνσταντινουπόλεως ἐπίσκοπον τὸν
συγκλητικὸν Νεκτάριον, Μακεδόνιον δὲ ἀναθεματίζει, σὺν
αὐτῷ καὶ Σαβέλλιον τὸν Λίβυν, ἓν πρόσωπον ἐπὶ τῆς ἁγίας
τριάδος δοξάζοντα, ἔτι δὲ καὶ Ἀπολινάριον τὸν Λαοδικέα
λέγοντα τὸν ἐνανθρωπήσαντα λόγον ἄνουν εἶναι, ἀντὶ δὲ* 20
*νοῦ τὸν λόγον ἐν τῇ ψυχῇ γεγενῆσθαι. τὸ δὲ πνεῦμα τὸ
ἅγιον θεὸν εἶναι ζωοποιὸν καὶ ὁμοούσιον τῷ πατρὶ καὶ τῷ
υἱῷ ἐκήρυξε προστεθεικυῖα εἰς τὸ ἐκτεθὲν παρὰ τῶν ἐν* 475 M.

---

2 *περὶ βίου* C *περὶ τὸν βίον* LRV. — *θαυμαστόν* RV. — *ἀριανζὸν* ADEL *ἀριανζὼν* recc. quidam *ἀριανζῶν* recc. alii *et* C *m. 1 corr. ex ἀριαζῶν ἀριανζῶ* F *ἀριανιζὸν* M *ἀριαζὸν* P *να-ζιανζὸν* V *ναυζιανζὸν* B (*ἐν ἀριανζοῖς* Gregor presb. in vita Gregorii *sub. fin.*). — 7 *ἔμπλεως* (-*ος* A) AB *ἔμπλεως γεγο-νώς* R *ἔμπλεως* (-*ος* CFLM) *γενόμενος* rell. (*κεκοσμημένος* P). — *Ante v.* 8 ABF *in textu,* ELN *in mg. addunt: Σύνοδος* B̄. *ἀπὸ γοῦν τῆς α΄ συνόδου ἕως τῆς β΄ γίνονται ἔτη νβ΄.* — 8 *δευτέρα* A *ἡ δὲ δευτέρα* rell. — *ρν΄ πατέρων* AB *ρν΄ ἁγίων πατέρων* rell. — 9 *ἔτι* AC *ἐπὶ* BFR. — *τῆς θεοδ. τ. μ. βασιλέως* C *θ. τ. μ. βασιλέως* (*om. τῆς*) R. — *γ΄ addidi e coni.* — 16 *ἐπίσκοπον κων-σταντινουπόλεως* L *ἐπίσκοπον om.* N. — 20 *ἐνανθρωπίσαντα* BCDFV.

Νικαίᾳ πατέρων σύμβολον περὶ τοῦ ἁγίου πνεύματος· τὸ κύριον καὶ ζωοποιὸν καὶ τὰ ἑξῆς.

Τότε δὲ καὶ ὁ μέγας Ἀμφιλόχιος παρεκάλει τὸν βασιλέα τοὺς Ἀρειανοὺς ἐκ πασῶν τῶν πόλεων ἐξελαθῆναι. ὁ δὲ
5 *ἀπηνεστέραν ὑπολαβὼν τὴν αἴτησιν οὐχ ὑπήκουσεν αὐτῷ. καὶ ὁ σοφώτατος Ἀμφιλόχιος τότε μὲν ἐσίγησεν, ἐξεῦρε δὲ μετ' ὀλίγον ὑπόθεσιν ἀξιομνημόνευτον. ἐντὸς γὰρ πάλιν τῶν βασιλείων γενόμενος καὶ τῷ βασιλεῖ παρεστῶτα τὸν υἱὸν Ἀρκάδιον θεασάμενος τὸν μὲν πατέρα ἠσπάσατο, τὸν δὲ*
10 *υἱὸν κατέλιπεν ἀγέραστον. καὶ ὁ βασιλεὺς νομίσας ἐπιλησθῆναι τὸν Ἀμφιλόχιον ἀσπάσασθαι καὶ τὸν υἱὸν προσέταξεν. ὁ δὲ ἀποχρῆν ἔφη τὴν αὐτῷ παρ' αὐτοῦ προσενεχθεῖσαν τιμὴν καὶ μὴ ἐπιζητεῖν καὶ τοῦ υἱοῦ ὡς ἐν διαιρέσει. πρὸς ὃν ὁ βασιλεὺς χαλεπήνας οἰκείαν ἐκάλει*
15 *παροινίαν τὴν τοῦ παιδὸς ἀτιμίαν. καὶ ὁ Ἀμφιλόχιος ἐξεβόησε λέγων· ὁρᾷς, ὦ βασιλεῦ, πῶς οὐ φέρεις τὴν τοῦ παιδὸς ἀτιμίαν. πίστευσον δὴ οὖν καὶ τὸν θεὸν τοὺς τὸν υἱὸν αὐτοῦ βλασφημοῦντας βδελύττεσθαί τε καὶ ἀποστρέφεσθαι. καὶ τοῦτο ἀκούσας ὁ βασιλεὺς καὶ σφόδρα θαυ-*
20 *μάσας νόμον εὐθὺς ἔγραψε τοὺς τῶν αἱρετικῶν συλλόγους κωλύοντα.*

Τοῦτο τὸ ἀγαθὸν φθονήσας ὁ μισόκαλος δαίμων ὠμόν τι καὶ ἀπάνθρωπον παρεσκεύασε γενέσθαι. ἀπὸ γὰρ Κων-

3—23 Theodoret. Hist. eccl. V, 16. — 23—*p.* 577, 5 *cf.* Malalas *p.* 347, 16.

1 *τὸ κύριον τὸ ζωοποιοῦν* FV. — 3 *δὲ*] *δὴ* N *om.* FR. — 5 *αὐτοῦ* RV *om.* P. — 8 *βασιλειῶν* AEFMR. — 10 *κατέλειπεν* AN. — 12 *ἀποχρῆν* Mur. *ἀπόχρην* P *ἀποχρῆ* E *ἀπόχρη* rell. (*ἀποχρῆναι* Theod.). — 22 *μισόκαλλος* CFP.

3 *καὶ* (*om. τότε δὲ*) *ὁ μέγας ἀμφιλόχιος εἰσελθὼν ἐν κωνσταντινουπόλει παρεκάλει* P. — 6 *σιγήσας* P Theod. — *ἐξηῦρε* P. — 13 *καὶ τὴν τοῦ υἱοῦ* P Theod. — 18 *δυσφημοῦντας* P. — 22 *ἀλλὰ τοῦτον ὁ μισόκ. δαίμων φθονήσας, ὥς φησι Θεοδώρητος, ὠμόν τι παρεσκεύασε διὰ θυμοῦ καὶ ἀπάνθρωπον διαπράξασθαι* P.

σταντινουπόλεως ἐξελθὼν ὁ βασιλεὺς ἐπὶ Ῥώμην τὴν ὁδοιπορίαν ἐποιεῖτο. ἐν δὲ Θεσσαλονίκῃ γενόμενος κατὰ πάροδον, καὶ τῶν στρατιωτῶν αὐτοῦ ταραξάντων τὴν πόλιν διὰ μητάτα, ἐστασίασαν οἱ Θεσσαλονικεῖς καὶ τὸν βασιλέα μὲν 476 M. ὕβρισαν, τινὰς δὲ τῶν ἀρχόντων αὐτοῦ καὶ ἐλιθοβόλησαν. 5 ὁ δὲ ὑπὸ τῶν ἀγγελθέντων ἐξαφθεὶς καὶ μὴ ἐνεγκὼν τοῦ θυμοῦ τὴν ῥύμην τῷ ὑπάρχῳ τῆς πόλεως ἐκείνης τὴν ψῆφον τῆς τιμωρίας ἐξενεγκεῖν ἐπέτρεψεν. ὃς τοιαύτην ἐξουσίαν λαβὼν οἷα δὴ αὐτόνομος καὶ τύραννος ἄδικα ξίφη κατὰ πάντων ἐγύμνωσε καὶ τοὺς ἀθώους μετὰ τῶν ὑπευ- 10 θύνων κατέκτεινε χιλιάδας ζʹ. ταύτην οὖν μαθὼν τὴν συμφορὰν Ἀμβρόσιος ὁ ἐπίσκοπος Μεδιολάνων, πόλις δὲ αὕτη τῆς Ἰταλίας, εἰς ἣν ἀφικομένου τοῦ βασιλέως καὶ συνήθως εἰς τὸν ναὸν βουληθέντος εἰσελθεῖν, ὑπαντήσας ἔξω τῶν προθύρων διεκώλυεν αὐτὸν μετὰ παρρησίας βοῶν· 15 οὐκ οἶδας, ὡς ἔοικεν, ὦ βασιλεῦ, τῆς εἰργασμένης μιαιφονίας τὸ μέγεθος. οὐδὲ γὰρ ἐᾷ τῆς βασιλείας ἴσως ἡ δυναστεία τὴν ἁμαρτίαν ἐπιγνῶναι, καὶ ὑπὸ τῆς ἁλουργίδος ἀπατώμενος ἀγνοεῖς τοῦ καλυπτομένου σώματος τὴν ἀσθένειαν. ἀλλ᾽ ἴσθι ὡς φθαρτὸς ὢν καὶ ῥευστὸς φθαρτόν σου 20 καὶ ῥευστὸν ὑπάρχει τὸ κράτος καὶ ἡ δυναστεία, περὶ ἧς μικρὸν ὕστερον λόγον ἀποδώσεις τῷ βασιλεῖ τῶν βασιλευ-

5—11 Theodoret. Hist. eccl. V, 17. — 11—*p.* 580, 20 *ib.* V, 18.

3 διὰ τὰ μ. FM. — 4 μιτάτα (*sine acc.* A) ABDFRV. — τὸν μὲν βασιλέα ABR μὲν *om.* M. — 5 καὶ *om.* BMRV. — 7 ἐπάρχῳ PRV. — 10 κατὰ τῶν πάντων N. — 11 ἀπέκτεινε FM. — 12 ὁ ἀμβρόσιος ἐπίσκ. B ὁ *om.* M. — 16 οἶσθα R Theod. — ὦ *om.* N.

1—3 ἐξελθὼν ἐπὶ ῥώμην καὶ κατὰ πάροδον ἐν θ. γεν. καὶ τῶν στρ. P. — 4 καὶ τὸν βασ. καθυβρίσαντες κατέσυραν καὶ κατέλευσάν τινας τῶν ἀρχόντων P (*similia* Theod.). — 8 ἐξενεγκεῖν τῆς τιμωρίας P Theod. — 11 χιλ. ζʹ μηδεμιᾶς ἀνακρίσεως γενομένης P (οὐ κρίσεως ἡγησαμένης Theod.). — 13 ἀφικόμενος ὁ βασιλεὺς καὶ — βουληθέντα P. (ἀφικόμενον τὸν βασιλέα καὶ — βουληθέντα Theod.). — 15 ἔξω τ. προθύρων ἔφη μετὰ παρρησίας· οὐκ οἶδας P.

ὄντων. ποίοις τοίνυν ὀφθαλμοῖς ὄψει τὸν τοῦ κοινοῦ δεσπότου ναόν; ποίοις δὲ ποσὶ τὸ δάπεδον ἐκεῖνο πατήσεις τὸ ἅγιον; πῶς δὲ τὰς χεῖρας ἐκτείνῃς ἀποσταζούσας ἔτι τοῦ ἀδίκου φόνου τὸ αἷμα; πῶς δὲ καὶ τοιαύταις ὑποδέξῃ χερσὶ
5 *τοῦ δεσπότου τὸ ἄχραντον σῶμα; πῶς δὲ καὶ τῷ στόματι προσοίσεις τὸ τίμιον αἷμα τοσοῦτον διὰ τὸν τοῦ θυμοῦ λόγον ἐκχέαντι παρὰ νόμον αἷμα; λοιπὸν ἄπιθι καὶ μὴ πειρῶ τοῖς δευτέροις τὴν προτέραν αὔξειν παρανομίαν καὶ δέχου τὸν δεσμόν, ᾧ θεὸς ἄνωθεν γίνεται σύμψηφος. τούτοις*
477 M. 10 *οὖν εἴξας ὁ βασιλεὺς τοῖς λόγοις ἐπανῆλθεν εἰς τὰ ἐκεῖσε βασίλεια δακρύων καὶ στένων. διελθόντων δὲ μηνῶν η΄, καὶ τοῦ βασιλέως μὴ ἐξελθόντος, ἀλλὰ σφοδρῶς μετανοοῦντος, κατέλαβεν ἡ τοῦ κυρίου γενέθλιος ἑορτή. καὶ θεασάμενος Ῥουφῖνος ὁ μάγιστρος ὅτι οὐδὲ τὴν συνήθη προέλευσιν*
15 *ποιῆσαι βούλεται ὁ βασιλεὺς λέγει πρὸς αὐτόν· δραμοῦμαι, δέσποτα, καὶ τὸν ἀρχιερέα πείσω λῦσαί σε τοῦ δεσμοῦ, εἰ κελεύοις. ὁ δέ φησιν· οἶδα ἐγὼ τὴν Ἀμβροσίου ἀκρίβειαν ὅτι οὐ πεισθήσεται. ἐπεὶ δὲ πλείοσι λόγοις χρησάμενος ὁ Ῥουφῖνος πείθειν ὑπέσχετο τὸν Ἀμβρόσιον, ἀπελθεῖν αὐτὸν*
20 *ἐκέλευσεν, ὑπὸ δὲ τῆς ἐλπίδος βουκοληθεὶς ἠκολούθησε καὶ αὐτὸς μετ' ὀλίγον. αὐτίκα δὲ τὸν Ῥουφῖνον ἰδὼν Ἀμβρόσιος,*

---

1 *ὄψῃ* AE. — 2 *πατήσῃς* C *πατήσις* AM. — 3 *ἐκτείνῃς* ACEFLMP *ἐκτείνεις* BDV *ἐκτενεῖς* R Theod. — 6 *προσοίσῃς* (-*ήσῃς* M) AM *προσοίσις* CE. — 7 *παρὰ νόμον* *scr. e coni.* *παράνομον* codd. *praeter* P *qui* *παρανόμως* *cum* Theod. — 9 *ᾧ*] *ὁ* A *ᾧ ὁ* NR. — 12 *σφόδρα* AC. — 14 *ῥουφίνος* A *ῥουφῆνος* B *et sic deinceps uterque.* — 16 *ποιήσω* M *et* B, *qui post* *κελεύεις* *v.* 17 *ins.* — 16 *σε*] *σου* B *om.* A. — 17 *κελεύοις* CDEP *κελεύεις* ABFMRV (*εἴ σοι δοκεῖ* Theod.). — 19 *ὁ δὲ ἀπελθεῖν* AF. — 21 *ὁ ἀμβρόσιος* EFRV.

4 *καὶ* *om.* P Theod. — *ὑποδέξει* P. — 8 *προτέραν*] *δευτέραν* P. — *αὐξεῖν* P. — 13—15 *καὶ ῥουφ. ὁ μάγ. θεασ. αὐτόν, ὡς μηδὲ τὴν σ. προέλ. π. βουλόμενον ἔφη· δραμοῦμαι* P. — 16 *σοι τὸν δεσμόν* P Theod. — 17. 18 *ὁ δέ φησιν· οὐ πεισθήσεται. οἶδα γὰρ τὴν ἀμβρ. ἀκρίβ.* P Theod. — 18 *χρησάμενος ὁ ῥουφ. λογοις* P Theod. — 20 *καὶ ὑπὸ τῆς* P (*καὶ αὐτὸς δὲ ὑπὸ* Theod.).

τὴν κυνῶν, εἶπεν, ἀναίδειαν, ὦ Ῥουφῖνε, ζηλοῖς τοσαύτης μιαιφονίας γενόμενος μέτοχός τε καὶ σύμβουλος. ἀλλ' ἐγὼ προλέγω ὡς καὶ πάλιν αὐτὸν κωλύσω τῶν ἱερῶν ἐπιβῆναι προθύρων. ταῦτα ἀκούσας ὁ Ῥουφῖνος ἐμήνυσε διὰ ταχυδρόμου τῷ βασιλεῖ. ὁ δὲ βασιλεὺς κατὰ μέσην τοῦτο μα- 5 θών, ἀπέλθω, φησίν, καὶ τὰς δικαίας αὖθις δέξομαι παροινίας. εἶτα παραγενόμενος εἰς τὴν ἐκκλησίαν ἐδυσώπει τὸν ἀρχιερέα τοῦ δεσμοῦ λυθῆναι. καὶ ὁ μὲν τυραννικὴν ἀπεκάλει τὴν παρουσίαν ἐκείνην καὶ κατὰ θεοῦ μεμηνέναι, ὁ δὲ μετὰ σκυθρωπότητος καὶ πολλῆς κατανύξεως, οὐ θρα- 10 συνόμενος, ἔφη, κατὰ τῶν ἁγίων κανόνων, ἀλλὰ λῦσαί μοι τὸν δεσμὸν ἀξιώσων ἐλήλυθα. καὶ ποίαν, φησίν, μετάνοιαν ἔδειξας μετὰ παρανομίαν τοσαύτην, ἢ ποίοις ἀξίοις φαρμάκοις ἐθεράπευσας τὰ δυσίατα τραύματα; καὶ ὁ βασιλεὺς εἶπεν· σὸν ἔργον τὸ δεῖξαι μὲν καὶ κεράσαι τὰ φάρμακα, 15 ἐμὸν δὲ τὸ δέξασθαι προσφερόμενα. τότε λοιπὸν Ἀμβρόσιος λέγει· ἐπειδὴ τῷ θυμῷ τὸ δικάζειν ἐπιτρέπεις, γράψον νόμον 478 M. τοῦ θυμοῦ τὰς ψήφους ἀργὰς ποιοῦντα, καὶ ἡμέρας λ' αἱ φονικαί τε καὶ δημευτικαὶ μενέτωσαν γνώσεις ἐν γράμμασι τὴν τοῦ ὀρθοῦ λογισμοῦ προσδεχόμεναι κρίσιν. ὃν εὐθὺς 20 ὁ βασιλεὺς γραφῆναι κελεύσας καὶ διὰ τῆς οἰκείας χειρὸς βεβαιώσας, διέλυσε τὸν δεσμὸν Ἀμβρόσιος καὶ εἰσελθεῖν αὐτὸν ἐν τῇ ἐκκλησίᾳ ἐπέτρεψεν. ὁ δὲ εἰσελθὼν οὐκ ἑστὼς ἱκέτευε τὸν θεὸν οὐδὲ τὰ γόνατα κλίνας, ἀλλὰ πρηνὴς ἐπ' ἐδάφους κείμενος ἐβόα μετὰ κραυγῆς· ἐκολλήθη τῷ ἐδάφει 25

---

25 Psalm. 118 (119), 25.

1 κοινῶν ACP. — 6 δέξομαι CEFNPR Theod. εἰσδέξομαι ABV. — 7 παραγενάμενος AM. — 9 κατὰ θεὸν FR. — 11 μοι CELPV Theod. με ABFNR. — 12 τὸν δεσμὸν *scripsi cum* Theod. *coll. p.* 578, 9; 16; 579, 8; 22. τῶν δεσμῶν codd. — 22 τῶν δεσμῶν BF. — 23 ἐπέτρεψεν] ἐκέλευσεν MR. — οὐκέτι ἑστὼς RV.

4 ταῦτα] ἅπερ P (τούτων Theod.). — 5 τῷ βασιλεῖ τὸν σκοπὸν ἀμβροσίου P Theod. — κατὰ μέσην τὴν ἀγορὰν τοῦτο μαθὼν P Theod. — 13 ἔδειξας ἱκανὴν μετὰ P (*invito* Theod.).

ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου, κύριε, καὶ ταῖς χερσὶ τίλλων τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος καὶ τὸ μέτωπον τύπτων καὶ δάκρυσι τὴν γῆν βρέχων, ὡς τοὺς ὁρῶντας μεγάλως ὠφεληθῆναι καὶ συμπενθεῖν αὐτῷ. καὶ οὐ
5 *διέλιπεν οὕτω δυσωπῶν τὸν θεὸν μέχρις ὥρας τῆς κοινωνίας. καὶ τότε δὴ ἀναστὰς καὶ πλησίον τῶν κιγκλίδων ἐλθὼν βουλόμενος εἰσελθεῖν, ἐκώλυσεν αὐτὸν Ἀμβρόσιος δηλώσας αὐτῷ· ἴσθι, βασιλεῦ, ὡς μόνοις τοῖς ἱερεῦσιν ὑπάρχουσι τὰ ἔνδον, τοῖς δ' ἄλλοις ἅπασιν ἄδυτά τε καὶ ἄψαυστα. ἔξιθι τοίνυν*
10 *καὶ τοῖς ἄλλοις κοινώνει τῆς στάσεως. ἁλουργὶς γὰρ βασιλέας οὐχ ἱερέας ποιεῖν εἴωθεν. ὁ δὲ καὶ τοῦτο δεξάμενος ἀσμένως ἀντεδήλωσεν· οὐκ αὐθαδείᾳ χρώμενος τοῦτο πεποίηκα, ἀλλ' ἐν Κωνσταντινουπόλει τὸ ἔθος εἶναι τοῦτο μεμάθηκα. χάριν δὲ ὀφείλω καὶ τῆσδε τῆς ἰατρείας. τοσαύτῃ γοῦν καὶ*
15 *τηλικαύτῃ διέλαμπον ἀρετῇ ὅ τε ἀρχιερεὺς καὶ ὁ βασιλεύς. ἐπανελθὼν δὲ ὁ βασιλεὺς ἐν Κωνσταντινουπόλει, καὶ ἑορτῆς γενομένης, καὶ εἰς τὸ θυσιαστήριον μὴ εἰσελθόντος αὐτοῦ,*
479 M. *καὶ Νεκταρίου τοῦ πατριάρχου δεδηλωκότος μαθεῖν τὴν αἰτίαν, μόγις, ἔφη, βασιλέως καὶ ἱερέως διαφορὰν ἐδιδάχθην.*
20 *Ἀμβρόσιον γὰρ οἶδα μόνον ἐπίσκοπον ἀξίως καλούμενον.*

Παράνομοι δέ τινες ἄνδρες ἐν Ἀντιοχείᾳ τοὺς βασιλικοὺς ἀνδριάντας καταστρεψάμενοι εἰς μεγάλην ὀργὴν ἐκίνησαν τὸν βασιλέα, καὶ θυμωθεὶς ἀπέστειλεν ἄρχοντας πρὸς τὸ τιμωρή-

---

21—*p.* 581, 3 Theodoret. Hist. eccl. V, 20?

4 *ὠφεληθῆναι* ABP *ὠφελεῖσθαι* rell. — 5 *διέλειπεν* ACN. — 6 *τότε διαναστὰς* ERV. — 10 *βασιλέας* EFNPR Theod. *βασιλέως* ABV *βασιλεικὴ* C. — 20 *ἀξίως ἐπίσκοπον* M *ἀξίως om.* C.

2 *ἀποτίλλων* P Theod. — 4—5 *καὶ συμπενθῆσαι συγγνώμης τυχεῖν ἠντιβόλει καὶ μέχρις ὥρας* P. *Similia* Theod. — 7 *εἰσελθ. δηλοῖ αὐτὸν ὁ ἀμβρόσιος λέγων* P. — 8 *ὡς μόνοις ἐστὶν ἱερεῦσι τὰ ἔνδον* P Theod. (*qui add. βατά*). — 10 *ἁλουργὶς μὲν γὰρ* P *invito* Theod. — 17 *αὐτοῦ om.* P. — 18 *τοῦ πατριάρχου*] *ἀρχιεπισκόπου* P. — 21 *καὶ παράνομοι δέ* P. — 22 *καταστρεψ. μεγάλως θυμωθεὶς ὁ βασιλεὺς ἄρχ. ἀπέστ. τιμωρῆσαι τὴν πόλιν. ὧν* P

σασθαι τοὺς ἐν τῇ πόλει. ὧν τὴν ἔφοδον οἱ τῆς πόλεως αἰσθόμενοι καὶ φυγῇ χρησάμενοι, κατῆλθον ἐκ τῶν ὀρέων οἱ μοναχοὶ καὶ τὸν θυμὸν εἰς οἶκτον μετέβαλον. περὶ ὧν καὶ ὁ Χρυσόστομος ταῦτα φάσκει· ἐπειδή τινες μιαροὶ καὶ παμμίαροι τοὺς νόμους καταπατήσαντες καθεῖλον τοὺς ἀν- 5 δριάντας καὶ περὶ τῶν ἐσχάτων πᾶσιν ἐπεκρέμασαν κίνδυνον, ὅτε καὶ οἱ παρὰ τοῦ βασιλέως ἀποσταλέντες ἐπὶ τὴν τῶν γεγενημένων ἐξέτασιν τὸ φοβερὸν ἐκεῖνο συνεκρότησαν δικαστήριον καὶ πάντας ἐπὶ τὰς εὐθύνας τῶν τετολμημένων ἐκάλουν, καὶ θανάτων διαφόρων προσδοκία πᾶσιν ἦν, τότε 10 οἱ τὰς ἀκρωρείας τῶν ὀρέων κατοικοῦντες μοναχοὶ τὴν οἰκείαν 480 M. ἐπεδείξαντο φιλοσοφίαν. τοσούτοις γὰρ ἔτεσιν ἐν ταῖς ἑαυτῶν συγκεκλεισμένοι καλύβαις οὐδενὸς παρακαλέσαντος ἢ συμβουλεύσαντος, ἐπειδὴ τοσοῦτον νέφος εἶδον τὴν πόλιν περιϊστάμενον, καταλιπόντες αὐτῶν τὰ σπήλαια καὶ τὰς σκηνὰς 15 πάντοθεν συνέρρευσαν, ὥσπερ ἐξ οὐρανοῦ τινες ἄγγελοι παραγενόμενοι. καὶ ἦν ἰδεῖν τὴν πόλιν ἐοικυῖαν οὐρανῷ τότε πανταχοῦ τῶν ἁγίων ἐκείνων φαινομένων καὶ ἀπὸ τῆς ὄψεως μόνης παρακαλοῦντας τοὺς ὀδυνωμένους καὶ πρὸς πᾶσαν ὑπεροψίαν συμφορᾶς ἄγοντας. τίς γὰρ ἰδὼν ἐκείνους 20 οὐκ ἂν εὐθὺς κατεφρόνησε θανάτου καὶ ζωῆς ὑπερεῖδεν; οἳ καὶ τοῖς ἄρχουσι μετὰ παρρησίας διελέχθησαν ὑπὲρ τῶν ὑπευθύνων καὶ τὸ ἑαυτῶν αἷμα παρεσκεύασαν πάντες ἐκ-

4—p. 582, 2 Chrysost. Hom. ad pop. Antioch. XVII, 1. Migne Tom. 49, 172.

6 ἐπεκρέμμασαν BFP ἀπεκρέμμασαν V ἐπεκρέμασεν A. — 13 παρακελεύσαντος CER. — 14 τῇ πόλει RV. — 15 καταλειπόντες ABCDE. — αὐτῶν D ἑαυτῶν RV. — 16 συνέρευσαν AP. — 18 τότε πανταχοῦ τότε A πανταχοῦ *om.* D. — 19 παρακαλοῦντας — ἄγοντας ACDEPR παρακαλούντων — ἄγοντας F παρακαλούντων — ἀγόντων BV Chr. — 22 διηλέχθησαν BCFR. — 23 εὐθύνων BR εὐθυνῶν C. — πάντας V *et* recc. quidam.

3 περὶ ὧν φησιν καὶ ὁ Χρυσόστομος· ἐπειδή P. — 23 παρεσκευάσαντο P Chr.

χέειν, ὥστε τοὺς ἁλόντας ἐξαρπάσαι τῶν προσδοκωμένων δεινῶν. ὅπερ καὶ γέγονεν. ποῦ τοίνυν εἰσὶν οἱ τοὺς τρίβωνας ἀναβεβλημένοι καὶ τὸ βαθὺ γένειον δεικνύντες καὶ ῥόπαλα τῇ δεξιᾷ φέροντες ψευδώνυμοι φιλόσοφοι, τὰ κυνικὰ 5 *καθάρματα, οἱ τῶν ἐπιτραπεζίων κυνῶν ἀθλιώτερον διακείμενοι καὶ γαστρὸς ἕνεκα πάντα ποιοῦντες; οἱ γὰρ τῆς πόλεως ἅπαντες εἰς τὰς ἐρήμους ἀποφυγόντες καὶ κατακρυβέντες, οὗτοι μόνοι διὰ τῶν ἔργων ἀληθῶς τὴν φιλοσοφίαν ἐπεδείξαντο, καί, πάντων δεδοικότων καὶ κατεπτηχότων, εἰς τὸ* 10 *μέσον στάντες τὸ δεινὸν ἔλυσαν οὐκ ἐν πολλαῖς ἡμέραις, ἀλλ' ἐν μιᾷ καταβάντες καὶ διαλεχθέντες καὶ τὴν συμφορὰν λύσαντες πρὸς τὰ ἴδιαπάλιν ἀνέβησαν καταγώγια. τοσοῦτόν ἐστιν ἡ παρὰ τοῦ Χριστοῦ τοῖς ἀνθρώποις εἰσενεχθεῖσα φιλοσοφία.*

481 M. 15 *Ἐπὶ Θεοδοσίου ἡ τιμία κεφαλὴ τοῦ βαπτιστοῦ Ἰωάννου ἐν Κωνσταντινουπόλει διεκομίσθη, εὑρεθεῖσα μὲν πρότερον παρά τισι μοναχοῖς τῆς Μακεδονίου αἱρέσεως, οἵτινες ἐξ Ἱεροσολύμων ἐλθόντες εἰς Κιλικίαν διέτριψαν. Μαρδονίου δὲ τοῦ εὐνούχου τοῦτο μαθόντος καὶ μηνύσαντος Οὐάλεντι,* 20 *μετεκομίζετο ἐκ προστάξεως αὐτοῦ εἰς Κωνσταντινούπολιν. ὡς δὲ οἱ εἰς τοῦτο σταλέντες ἐπιθέντες ὀχήματι ἦλθον εἰς τὸ πανδοχεῖον, οὐκέτι μετῆλθον τὸν τόπον αἱ τὸ ὄχημα σύρουσαι ἡμίονοι, καίπερ πολλὰ μαστιγούμεναι. τότε μὲν οὖν ἀπετέθη ἡ ἁγία κεφαλὴ ἐν Κοσιλάου κώμῃ, μὴ κρί-*

2—8 Chrys. *ib. cp.* 2 Migne 173 *fin.* — 9—14 *ib.* 174 *med.* — 15—*p.* 583, 19 Th. L. *cf.* Cram. Anecd. II *p.* 97, 31 *et* Exc. Bar. Theoph. *p.* 71, 7.

1 *ἁλόντας* F *ἁλῶντας* DEPRV *ἀλῶντας* C *αλῶντας* (*om. spir.*) A. — 7 *ἀποφεύγοντες* P *καταφυγόντες* C. — 13 *ἐνεχθεῖσα* FV *εἰσαχθεῖσα* B *δειχθεῖσα* R. — 15 *ἡ* A Th. L. *τοῦ βασιλέως καὶ ἡ* B *δὲ καὶ ἡ* rell. — 18 *μαρδωνίου* LR. — 20 *εἰς κωνσταντινούπολιν* ABEFLN Exc. *ἐν κωνσταντινουπόλει* CRV Cram. — 21 *ἐπιβάντες* AB. — 22 *τὸ om.* ACR. — *τὸν τόπον om.* N. — 24 *κωσιλάου* B *κοσιλάω* D *κοδιλάῃ* F.

6 *ἕνεκεν* P Chr.

ναντος τοῦ θεοῦ τοιούτου δώρου ἀξιωθῆναι τὸν Οὐάλεντα, Θεοδόσιον δὲ τῆς εὐσεβείας ὁ θεὸς ἀμειβόμενος μεταγαγεῖν αὐτὴν τῷ βασιλεῖ συνεχώρησεν, ἣν καὶ ἐν τῷ Ἑβδόμῳ ἀπέθετο ναὸν περικαλλῆ καὶ μέγιστον τῷ προδρόμῳ οἰκοδομήσας.

Τὸ ἐν Ἀλεξανδρείᾳ ἱερὸν τῶν Ἑλλήνων Θεόφιλος αἰτήσας 5 *Θεοδόσιον ἐξεκάθηρε καὶ εἰς ἐκκλησίαν μετεσκεύασεν, τὰ δὲ τῶν Ἑλλήνων ἐδημοσίευσεν ὄργια, φαλλοὺς καὶ εἴ τι τούτων ἀσελγέστερόν τε καὶ βεβηλότερον. ὅπερ καταπλαγὲν τὸ πλῆθος τῶν Ἑλλήνων μυρίους φόνους εἰργάσατο. τοὺς γενομένους φόνους μαθὼν Θεοδόσιος τοὺς μὲν ἀναιρεθέντας χρι-* 10 *στιανοὺς ἐμακάρισεν ὡς ὑπὲρ εὐσεβείας ἀναιρεθέντας, τοῖς δὲ Ἕλλησι παραχωρεῖν ἐπηγγείλατο, εἰ πρὸς χριστιανισμὸν μεταβάλοιεν. τὰ μέντοι ἱερὰ τὰ Ἑλληνικὰ καθαιρεθῆναι* 482 M. *προσέταξε καὶ τοὺς θεοὺς χωνευθῆναι καὶ εἰς δαπάνην δοθῆναι τοῖς πένησιν. τοῦ ναοῦ τοῦ Σαράπιδος λυομένου* 15 *ἱερογλυφικὰ γράμματα εὑρέθησαν σταυρῶν ἔχοντα τύπους, ἅπερ θεασάμενοι οἱ ἐξ Ἑλλήνων χριστιανίσαντες ἔφασαν σημαίνειν τὸν σταυρὸν παρὰ τοῖς ἱερογλυφικὰ γινώσκουσι γράμματα ζωὴν ἐπερχομένην.*

Περὶ τοῦ ναοῦ τοῦ Σαράπιδος, οὗ καθεῖλε Θεόφιλος 20 *ὁ ἀρχιεπίσκοπος σὺν τῷ ξοάνῳ αὐτοῦ, τοῦτον οἱ μὲν Δία ἔφασκον εἶναι, οἱ δὲ τὸν Νεῖλον διὰ τὸ τὸν μόδιον ἔχειν ἐν τῇ κεφαλῇ καὶ τὸν πῆχυν ἤγουν τὸ τοῦ ὕδατος μέτρον, ἄλλοι δὲ τὸν ἡμέτερον Ἰωσήφ, ἕτεροι δὲ Ἄπιν τινὰ γεγο-*

20—*p.* 584, 10 Rufin. II, 23.

5 *καὶ τὸ ἐν* B *τὸ δὲ ἐν* FRV. — *θεόφιλος* ABP Exc. *θεόφιλος ὁ ἀρχιεπίσκοπος* rell. — 6 *ἐξεκάθηρε* CER Exc. *ἐξεκάθαρε* BDFLV *ἐκάθηρε* A. — 7 *φάλλους* AP *φαλοὺς* C. — 9 *εἰργάσαντο* BC. — *τοὺς δὲ γεν.* RV *τοὺς γεν. δὲ* BF. — 13 *μεταβάλοιεν* DEFLR Exc. *μετεβάλοιεν* C *μεταβάλλοιεν* BV *μεταβάλλοιτο* A. — 15 *τοῦ δὲ ναοῦ* V *τοῦ ναοῦ δὲ* B *καὶ τοῦ ναοῦ* F. — *σαράπιδος* DPV Exc. Suid. *v. Σταυροί. σεράπιδος* ABCEFLR *item v.* 20. — 16 *σταυρὸν* R *σταυροῦ* B (*σταυροῦ τύπον* P Exc.). — 22 *τὸν ante μόδιον om.* ER. — 23 *τὸν πῆχυν* AV Suid. *v. Σάραπις. τὴν πῆχυν* BCDEF *πῆχυν* R.

νέναι ἄνθρωπον εὔπορον εἴτ' οὖν βασιλέα ἐν Μέμφιδι πόλει τῆς Αἰγύπτου, λιμοῦ δὲ γενομένου τοῖς Ἀλεξανδρεῦσι πολίταις ἐκ τῶν ἰδίων τροφὴν παρέσχεν, τετελευτηκότι δὲ αὐτῷ ναὸν ἀνέστησαν, ἐν ᾧ ναῷ βοῦς ἐτρέφετο σύμβολον φέρων
5 τοῦ γεωργοῦ καί τινα ἔχων ἐν τῇ χροιᾷ ἐπίσημα, ὅστις ἐκ τῆς προσηγορίας αὐτοῦ καὶ αὐτὸς Ἆπις ἐκαλεῖτο. τὴν δὲ σορὸν τούτου τοῦ Ἄπιδος, ἐν ᾗ τὸ σῶμα ἔκειτο αὐτοῦ, ἐν Ἀλεξανδρείᾳ μετήνεγκαν, καὶ ἀπὸ τῆς σοροῦ καὶ τοῦ Ἄπιδος σύνθετον ὄνομα πεποιηκότες ἐκάλουν αὐτὸν Σόραπιν, οἱ δὲ
10 μετὰ ταῦτα Σέραπιν. τούτου ναὸς ἦν ὑπ' Ἀλεξάνδρου κτισθεὶς παμμεγέθης καὶ ὑπὸ κιόνων πολυτιμήτων καὶ μαρμάρων ἔνδοθεν καὶ ἔξωθεν πάνυ λαμπρῶς κεκαλλωπισμένος.
483 M. ἐν τῷ μέσῳ δὲ τοῦ ναοῦ τὸ ἄγαλμα αὐτοῦ ὑπῆρχε μέγα καὶ φοβερόν, ὥστε τῇ μὲν δεξιᾷ χειρὶ ἕνα τοῖχον, τῇ δὲ
15 ἀριστερᾷ τὸν ἕτερον συνέχειν, ὅπερ τέρας ἀπὸ παντὸς γένους καὶ ὕλης καὶ ξύλου κατεσκεύαστο. οἱ δὲ τοῖχοι τοῦ ἐνδοτάτου ναοῦ ἀπὸ χρυσῶν πετάλων καὶ ἀργυρῶν ἦσαν ἐνδεδυμένοι. ἐν ᾧ πλάνης εἶδος ἕτερον ἐτύγχανε κακουργίας τοιοῦτον. λίθος τίς ἐστι μαγνήτης λεγόμενος, ὃς ἔχει φυ-
20 σικὴν ἐνέργειαν ἕλκειν πρὸς ἑαυτὸν τὸν σίδηρον. ξόανον οὖν κατασκευάσαντες ἐκ χαλκοῦ οὐ μέγα καὶ ἐν τῇ κεφαλῇ

10—*p*. 585, 6 ? Rufin. II, 23 *initio capitis*.

1 *μεμφίδι* DEFV *μεμφήδι* A *μέμφη δὲ* R. — 4 *ναῷ om*. CF Suid. — 5 *καί τινα δὲ ἔχων* AB Suid. — 7 *αὐτοῦ ἔκειτο* D *ἔκειτο τὸ αὐτοῦ* V. — 10 *σέραπην* C *σεράπιν* A *σάραπιν* Suid. — 14 *τὸν ἕνα τοῖχον* FR. — 19 *μαγνίτης* A *μαγνῆτις* BV *et* D *m. 2* Suid. *v. Μαγνῆτις*. — 21 *οὐ om*. FRV *οὐ μέγα om*. Suid.

10. 11 *ὁ τοίνυν ἐκεῖνος ναὸς ὑπ' ἀλ. κτισθεὶς καὶ παμμ. ὑπάρχων καὶ ἀπὸ κ.* P. — 12 *λαμπρῶς καὶ μεγαλοπρεπῶς καὶ κεκαλλωπισμένος* P. — 13 *δὲ τοῦ ναοῦ om*. P. — *ἄγαλμα τοῦ σαράπιδος ἦν μέγα* P. — 15 *ἕτερον*] *ἄλλον* P. — 16 *καὶ ante ὕλης om*. P Ruf. — 17 *ἀπὸ χρυσῶν ἦσαν ἐνδεδυμ. καὶ ἀργυρῶν πετάλων* P. — 19 *λίθος γάρ τις* P. — 20 *ἕλκειν πρὸς ἑαυτὸν καὶ ἁρπάζειν τὸν* P Ruf. — 21 *οὖν*] *λοιπὸν* P. — *ἐκ χαλκοῦ*] *χαλκὸν* P.

σίδηρον ἔνδοθεν καθηλώσαντες τὸν λίθον τοῦτον ἐν τοῖς φατνώμασιν ἄνωθεν τῆς στέγης ἔπηξαν ἀπὸ διαμέτρου. τὸ δὲ ὑπὸ τῆς φυσικῆς βίας ἀνελκόμενον τοῦ λίθου (μετέωρον γὰρ ἐκρέματο διὰ πολλὴν μηχανὴν καὶ τέχνην) ἐκρατεῖτο μέσον ἐδάφους καὶ ὀρόφου θαυμαζόμενον καὶ μὴ παντελῶς 5 *κατασπώμενον. τούτου καταλυθέντος καὶ ἐδαφισθέντος, καὶ τοῦ Νείλου κατὰ τὸ εἰωθὸς μὴ ἀνεληλυθότος, ἔχαιρον Ἕλληνες λέγοντες διὰ ταύτην τὴν αἰτίαν μὴ ἀναβαίνειν τὸν ποταμόν. ὅπερ μαθὼν ὁ βασιλεὺς Θεοδόσιος εὐσεβῶς ἀπεκρίνατο· μὴ γένοιτο ποταμὸν ναοῖς δαιμόνων καὶ θυσίαις* 10 *χαίροντα ἐπὶ τὴν γῆν ποτε ὕδωρ ἀναγαγεῖν. θεὸς δὲ τούτου τὴν πίστιν ἀποδεξάμενος ὑπὲρ τὸ δέον ἐκέλευσε πλημμυρῆσαι, ὅπερ εἰς φόβον ἤγαγεν οὐ τὸν τυχόντα τὴν Αἴγυπτον, μὴ καὶ τὴν Ἀλεξάνδρειαν αὐτὴν κατακλύσῃ τὸ ὕδωρ.*

Ὅπερ δὴ καὶ περὶ τῆς Ἀρτέμιδος πρός τινά φησιν ὁ μέγας 15 *Ἰσίδωρος· ἐπειδήπερ ἠθέλησας μαθεῖν τό· τίς οὐκ οἶδε τὴν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης Ἀρτέμιδος καὶ τοῦ διοπετοῦς; ἴσθι ὅτι οὐκ ἔστι τῆς γραφῆς ὁ λόγος, ἀλλὰ τοῦ γραμματέως τῶν Ἐφεσίων. περιττὸν οὖν ἡγοῦμαι λογοποιΐας ἀγυρτικὰς ἑρμηνεύειν, περὶ ὧν οἶμαι καὶ τὸν* 20 484 M. *ἱεροψάλτην εἰρηκέναι· διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, κύριε. ἐπεὶ οὖν φιλομαθὴς ὢν πολυμαθὴς ἐθέλεις εἶναι, καὶ τοῦτο φράσω. οἱ παρ' Ἕλλησι τὰ ξόανα κατασκευάσαντες καὶ φόβον ἐμποιῆσαι βουλόμενοι τοῖς ὁρῶσιν ἔφασκον ὅτι τὸ ἄγαλμα ἐξ οὐρανοῦ παρὰ τοῦ* 25

6—14 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 73, 7. — 14—*p.* 586, 19 Isidori Pelusiot. Epp. IV, 206 *et* 207 Migne Tom. 78, 1300. — 16 Act. 19, 35. — 21 Psalm. 118 (119), 85.

4 *ἐκρέμματο* BPV. — 12 *πλημμυρίσαι* ADF. — 14 *κατακλύσει* ACDF. — 16 *ἰσήδωρος* ARV. — 17 *μεγάλης ἀρτέμιδος* BP *μεγ. θεᾶς ἀρτ.* rell. (*item variant codd.* Act. *et* Isid.).

2 *ἄνω* P. — 17 *οὖσαν*] *εἶναι* P Isid. — 19 *καὶ περιττὸν ἡγοῦμαι* P Is.

Διὸς ἐπέμφθη καὶ κατέπτη κρεῖττον ὑπάρχον πάσης ἀνθρωπίνης χειρὸς καὶ ἀνάλωτον, ὅθεν καὶ διοπετὲς αὐτὸ καὶ οὐράνιον βρέτας ἐκάλουν. βρέτας δὲ παρὰ τὸ βροτῷ ἐοικέναι. ὅπερ οὐχ οὕτως ἦν [ἡ περὶ τῶν ἀγαλμάτων ματαία καὶ 5 *πεπλανημένη δόξα], ἀλλὰ τοὺς ἀγαλματοποιοὺς ἢ ἀποκτένοντες ἢ φυγαδεύοντες, ἵνα μηδεὶς εἰπεῖν ἔχοιεν, ὅτι χειροποίητόν ἐστι τὸ ξόανον, ἣν δὴ φήμην πλάσαντες ἐν ταῖς ἀκοαῖς τῶν πεφενακισμένων ἀνθρώπων ἠφίεσαν. ἥτις καὶ τὴν Ἐφεσίων ἐπλάνα πόλιν. ὅτι δὲ ἀληθές ἐστιν, ὅτι ἀπ-* 10 *έκτενον τοὺς ἀγαλματοποιούς, μαρτυρεῖ τὸ χθὲς καὶ πρώην ἐν Ἀλεξανδρείᾳ τῇ πρὸς Αἴγυπτον γεγενημένον. Πτολεμαῖος γὰρ συναγαγὼν τεχνίτας, ὥστε τὸν τῆς Ἀρτέμιδος ἀνδριάντα ποιῆσαι, μετὰ τὸ ἔργον βόθρον μέγαν ὀρύξας καὶ τὸν δόλον κρύψας ἐκέλευσε τοὺς τεχνίτας ἐν αὐτῷ δειπνῆσαι, οἵτινες* 15 *δειπνῶντες ἐκεῖσε κατεχώσθησαν καὶ ἀπέθανον ἄξιον μισθὸν τῆς κακουργίας κομισάμενοι. πλὴν οὖν ἐκεῖνος βουλόμενος ἀφανίσαι τοὺς τεχνίτας, ἵνα δόξῃ ἀχειροποίητος ὁ νομιζόμενος εἶναι θεός, ὃν δὴ καὶ ἀχειροποίητον κέκληκεν, τοῦτο δέδρακεν. ὁ δὲ ἡμέτερος δεσπότης καὶ θεὸς ἐν τάχει ἐφανέ-* 20 *ρωσε τὴν παμβέβηλον αὐτοῦ μιαιφονίαν· σκηπτοῦ γὰρ καὶ σεισμοῦ γεγονότος μεγάλου, καὶ τοῦ ναοῦ καταπεσόντος ἅμα*

19—*p.* 587, 2 omnino diversa ab Isidori narratione.

1 *κατέστη* CLRV. — 3 *τὸ* BEF *τῶ vel τῷ* rell. — 4 *Verba uncis inclusa e margine sine dubio intrusa om.* Isid. — 5 *ἀποκτένvοντες* L *ἀποκταίνοντες* BRV *ἀποκτείνοντες* E Suid. *v. διοπετές.* — 6 *μηδένες* Suid. (*μηδεὶς — ἔχοι* Is.). — 9 *ἀπέκταινον* BRV. — 13 *μέγα* AFV *μέ* (Γ) B. — 15 *διπνῶντες* CL *δειπνοῦντες* F Is. Suid. — 17 *δείξῃ* B *δείξῃ ὅτι* A. — 17. 18 *εἶναι ὁ νομ. θεός* A *ὀνομαζόμενος εἶναι θεός* DR *εἶναι ὁ ὀνομαζόμενος θεός* B *ὀνομαζόμενος θεὸς εἶναι* L.

9 *ὅτι δὲ ἀλ. ἐστι τὸ ἢ ἀποκτενύσθαι τοὺς ἀγαλματοποιοὺς ἢ φυγαδεύεσθαι μαρτυρεῖ* P Isid. — 11 *πτολεμαίου γὰρ συνάγοντος* P (*item variant codd.* Is.). — 14 *οἱ δὲ δειπνῶντες ἐκ. καὶ καταχωσθέντες ἀπέθ.* P (*similiter* Is.). — 19. 20 *δέδρακεν, ἀλλ' οὐκ ἔλαθεν. σκηπτοῦ γὰρ* (*rell. om.*) P (*similia* Is.). — 21 *γενομένου* P. — *κατενεχθέντος* P.

καὶ τοῦ βόθρου ἀναβοθρευθέντος, ἐφωράθησαν τὰ τῆς ἀπάτης κατασκευάσματα.

Ἐν δὲ τῷ Κανώπῳ μᾶλλον τῆς ὅλης Αἰγύπτου κατειδώλῳ ὄντι φασὶ τέρας τι εἶναι τοιοῦτον. ποτὲ Χαλδαῖοι τὸν ἴδιον θεόν, ὅπερ ἐστὶ τὸ πῦρ, ἀποσεμνύνοντες πανταχοῦ περιέφερον, ὥστε τοῖς θεοῖς πασῶν τῶν ἐπαρχιῶν συμβεβληκέναι καὶ τὸν νικῶντα ἐκεῖνον παρὰ πάντων νομίζεσθαι θεόν. τῶν μὲν οὖν ἄλλων ἐπαρχιῶν οἱ θεοὶ ἢ ἀπὸ χαλκοῦ ἢ χρυσοῦ ἢ ἀργύρου ἢ ξύλου ἢ λίθου ἢ ἄλλης τοιαύτης ὕλης ἱδρυμένοι ἐτύγχανον, ἡ δὲ τοιαύτη ὕλη ἀναμφιβόλως εὐχερῶς διὰ τοῦ πυρὸς ἐφθείρετο, ὥστε πανταχοῦ τὸ πῦρ ἀναγκαίως νικᾶν. τοῦτο ἀκηκοὼς ὁ τοῦ Κανώπου ἱερεὺς πανοῦργόν τι τοιοῦτον ἐνεθυμήθη. ὑδρίαι ἐν τοῖς μέρεσι τῆς Αἰγύπτου εἰώθασι γίνεσθαι ὀστράκιναι τρήσεις ἔχουσαι λεπτὰς συνεχεῖς, ὥστε διὰ τῶν τρήσεων ἐκείνων τὸ τεθολωμένον ὕδωρ διυλιζόμενον ἀποδίδοσθαι καθαρώτερον. ἐκ τούτων τῶν ὑδριῶν μίαν λαβὼν ὁ ἱερεὺς τοῦ Κανώπου καὶ τὰς τρήσεις ἐκείνας ἀποφράξας κηρῷ καὶ διαφόροις ζωγραφήσας χρώμασιν, πληρώσας ὕδατος ἔστησεν ὡς θεόν, καὶ ἀποτεμὼν παλαιοῦ ἀγάλματος τὴν κεφαλήν, ὅπερ ἐλέγετο Μενελάου τινὸς κυβερνήτου γεγενῆσθαι, ἐπιμελῶς ἐπιθεὶς ἥρμοσεν αὐτὴν τῷ ἀγάλματι. παρεγένοντο μετὰ ταῦτα οἱ Χαλδαῖοι, ἀνήφθη περὶ τὴν ὑδρίαν τὸ πῦρ, καὶ ὁ κηρός,

[margin: 485 M.; line numbers 5, 10, 15, 20]

3 — p. 588, 9 Rufin. II, 26.

1 ἐφοράθησαν (ἐφ᾽ ὀρ. A) ACEFV. — 3 κανώπῳ BEV κανόπῳ ACDFR κανοπῷ L *similiterque in seqq.* — τῆς αἰγύπτου ὅλης A ὅλης *om.* B. — 7 παραπάντων EFL. — 9 ἢ χρυσοῦ *om.* AB Suid. *v.* Κάνωπος *invito* Rufino. — ἢ ἀπὸ ἀργύρου AB. — 10 ἀμφιβόλως (-λος C) CEV *in* D ἀναμφιβόλως *ex* ἀμφιβόλως *corr. m. 1 ut vid., om.* L. — 12 ἀκούσας AB Suid. — 15 καὶ συνεχεῖς FRV. — 18 ἀποφράξας AB Suid. ἀναφράξας rell. — 20 τὴν *om.* BF. — 21 μὲν ἐλάου AE μενελέου C μεναλίου B ἐλάου R. — 22 ἥρμοσεν RV Suid. ἥρμωσεν ABCL *et* F *m. corr.* εἵρμωσεν EF. — καὶ παρεγένοντο A παρεγ. δὲ R παρεγ. οὖν V. — καὶ ἀνήφθη RV.

δι' οὗ αἱ τρήσεις ἐτύγχανον πεφραγμέναι, διελύετο. τῆς δὲ ὑδρίας ἱδρώσης καὶ τὸ ὕδωρ διὰ τῶν τρήσεων ἐκβαλλούσης, ἐσβέννυτο τὸ πῦρ, οὕτω τε τῇ πανουργίᾳ τοῦ ἱερέως ὁ Κάνωπος τῶν Χαλδαίων νικητὴς ἀνεδείχθη καὶ ἀπὸ τότε λοιπὸν
5 *ὡς θεὸς πάντων νικητὴς ὁ Κάνωπος ἐτιμᾶτο. νῦν δὲ παραγενομένου Θεοφίλου τοῦ ἀρχιερέως τοῦ θεοῦ οὐδὲ εἷς ὠφέλησεν ἱδρώς, οὐδὲ πανουργία τις ἀπὸ κηροῦ κατασκευασθεῖσα συνεβάλετό τι αὐτοῖς, ἀλλὰ πάντα τὰ αὐτῶν ἐπορθήθη καὶ εἰς ἔδαφος κατηνέχθη. ὅτε δὲ ταῦτα οὕτω γεγενῆσθαι ἀπ-*
10 *ηγγέλθη τῷ εὐσεβεστάτῳ βασιλεῖ, ὅτι τὰ εἴδωλα τῆς Αἰγύπτου*
486 M. *καθῃρέθη καὶ ἐκκλησίαι ἀντ' αὐτῶν ᾠκοδομήθησαν, ἐκτείνας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν μετὰ μεγάλης χαρᾶς λέγεται εἰρηκέναι· εὐχαριστῶ σοι, δέσποτα Χριστέ, ὁ θεὸς ἡμῶν, ὅτι χωρὶς ἀπωλείας τῆς πόλεως ἐκείνης τῆς μεγάλης ἡ οὕτω*
15 *παλαιὰ κατεσβέσθη πλάνη.*

Ἐν δὲ τῷ μεταξὺ Οὐαλεντινιανὸς ἐν τοῖς τῆς δύσεως μέρεσι τῇ ψυχῇ πρὸς τὴν ἡλικίαν θερμαινομένῃ τὴν πολιτείαν διοικῶν βρόχῳ χρησάμενος τὸ τέλος ἐπλήρωσε τοῦ βίου, δι' ἣν αἰτίαν μέχρι τοῦ παρόντος οὐκ ἴσμεν. τινὲς μὲν γὰρ
20 *ἔλεγον ἐπιβουλῇ τοῦ στρατηγοῦ Ἀρβογάστου γεγενῆσθαι τοῦτο, καὶ τοιαύτη παρὰ πᾶσιν ἐκράτει ὑπόληψις, ἄλλοι δὲ ἀθῷον μὲν εἶναι τὸν στρατηγὸν ἀπὸ τούτου τοῦ μύσους ἔλεγον, αἰτίαν δὲ αὐτὸν παρεσχηκέναι τοῦ τὸν νεανίσκον ἀγανακτήσαντα εἰς τοῦτο προαχθῆναι, ἐπείπερ, φασίν, οὐ συνεχωρεῖτο*
25 *παρ' αὐτοῦ ὡς νεώτερος ἢ μηδέπω βεβηκὼς κατ' ἐξουσίαν*

9—15 Rufin. II, 30. — 16—*p.* 589, 1 Rufin. II, 31.

2 *ἐκβαλούσης* CDR. — 4 *ἀποτότε* AL. — 8 *συνεβάλλετο* ABR. — *ἐπόρθη* AF. — 11 *ἐκκλησίαι — οἰκοδομήθησαν* CER *ἐκκλησίαν — οἰκοδομηθῆσαν* A. — *καὶ ἐκτείνας* CF. — 12 *μετὰ μεγ. χαρ.* (*χαρ. μεγ.* B) *λέγεται εἰρηκέναι* AB Ruf. *εἶπε μετὰ μεγ. χ.* rell. — 20 *ἀρβουγάστου* A *ἀρταβάστου* recc. plerique. — 22 *ἀπὸ τοῦ τοιούτου μύσους* F Exc. de insid. — *τούτου om.* A (a commisso scelere Ruf.). — 23 *τοῦ τὸν*] *τουτὸν* A *τοῦτον* CELR Exc. — 24 *προσταχθῆναι* B *πραχθῆναι* ER.

διὰ πάντων τὴν βασιλείαν διοικεῖν. Θεοδόσιος δὲ οὐδὲν ἧττον ἀναφθεὶς ὅπλα κατὰ Εὐγενίου τοῦ εἰς τὸν τόπον αὐτοῦ καταστάντος εἰς ἐκδίκησιν ἥρπασε τὴν τοῦ θεοῦ γνώμην διὰ Ἰωάννου μοναχοῦ καὶ ἡσυχαστοῦ Αἰγυπτίου μεμαθηκώς. ὁ γάρ τοι θεῖος οὗτος ἀνὴρ ἐνενηκονταέτης πέλων 5 τὴν ἡλικίαν ἐν σπηλαίῳ κατέμενε μόνος μήτε αὐτὸς ἐξερχόμενος τῆς κέλλης μήτε ἄλλον εἰσδεχόμενος ἔνδον. ηὐλόγει γὰρ μόνον διὰ θυρίδος καὶ ἠσπάζετο τοὺς πρὸς αὐτὸν παραβάλλοντας, καὶ τούτους οὐ διαπαντός, ἀλλὰ δεύτερον τῆς ἑβδομάδος, σαββάτῳ καὶ κυριακῇ· τὰς δὲ λοιπὰς ἡμέρας 10 ἀπρόϊτος ὑπῆρχε παντὶ ἀνθρώπῳ νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς σχολάζων. καὶ ἦν ἰδεῖν τὸν μακάριον ὅλον ἐκτετηγμένον τῷ σώματι δι' ἄκραν σκληραγωγίαν. καὶ γὰρ ἤσθιεν οὐδὲν ἕτερον ἢ λάχανα καὶ ὀλίγας ὀπώρας μετὰ δύσιν ἡλίου· περὶ γὰρ ἄρτου καὶ οἴνου καὶ ἐλαίου καὶ τῶν 15 λοιπῶν ὅσα διὰ πυρὸς ἔχει τὴν χρῆσιν περιττὸν ἦν καὶ λέγειν. τούτοις καὶ τοῖς τοιούτοις θείοις κατορθώμασι διανυκτερεύων καὶ διημερεύων ὁ ὅσιος ἔκδηλος πᾶσιν ἐγένετο 487 M. καὶ προφητικῶν χαρισμάτων ἔμπλεως, προσημαίνων ἔσθ' ὅτε τὰ μέλλοντα καὶ τὰ κρυφίως ἑκάστῳ πεπραγμένα καὶ δια- 20 νοούμενα. καὶ μέντοι καὶ περὶ τοῦ Νείλου καὶ τῆς εὐφορίας ἢ ἀφορίας τοῦ χρόνου ἢ ἀπειλὴν ἑτέραν αὖ ἐπέρχεσθαι μέλλουσαν παρὰ θεοῦ προηγόρευε καὶ τοὺς ἁμαρτάνοντας παρρησίᾳ διήλεγχεν. καὶ τί δεῖ πολλὰ λέγειν; ἀδυνατεῖ στόμα καὶ νοῦς ἀνθρώπων ἀριθμεῖν τῶν θαυμάτων αὐτοῦ ἢ τῶν 25

1—5 Rufin. II, 32. — 5—12 *cf.* Hist. monach. in Aegypto ed. Preuschen I, *cp.* 4; 5. — 12—17 *ib.* I, 17. — 17—18 *ib.* I, 1. — 19—24 *ib.* I, 11.

4 καὶ *om.* ER. — 5 ἐνενηκονταετὴς BEFLM *et* recc. nonnulli ἐνενηκοντούτης Exc. — 17 θείοις κατορθώμασιν *om.* B θείοις *om.* C. — 18 ὁ ὅσιος (ἅγιος AB) ἔκδηλος πᾶσιν ABLV πᾶσιν ὁ ὅσ. ἔκδ. FR πᾶσιν ὁ ὅσ. ἔκδ. πᾶσιν CEN. — 19 ἔμπλεως BDFLV *et* recc. quidam ἔμπλεος ACEM *et* recc. alii. — 22 τοῦ χρόνου *om.* N. — ἀπειλῆς ἢ ἑτέρας — μελλούσης BF. — ἑτέραν AP ἢ ἑτ. rell. — 24 δῆ A δὴ BCDF *et* recc. nonnulli.

ἀρετῶν τὸ πέλαγος. πρὸς τοῦτον οὖν τὸν θεοφόρον ἀπέστειλεν ὁ βασιλεὺς Θεοδόσιος σκυλῆναι αὐτὸν παρακαλῶν καὶ ἐκδυσωπῶν ἕως αὐτοῦ, ὅπως ταῖς ἐκείνου προσευχαῖς ἐφοδιαζόμενος τῆς πρὸς τοὺς ἀντιπάλους κατάρξειε μάχης. ὁ δὲ 5 τὴν μὲν παρουσίαν ὑπ' εὐλαβείας ἀνεβάλετο, εὐχὴν δὲ ἐπὶ τῇ βακτηρίᾳ, ἐφ' ᾗ ἐπεστήρικτο, καὶ τῷ περιβολαίῳ, ὃ δὴ περιαυχένιον ἔφερεν, ποιησάμενος ταῦτα πρὸς αὐτὸν ἐκπέμπει, ἵνα τὸ μὲν περιβόλαιον ἀντὶ κόρυθος ἐπὶ τῆς κεφαλῆς περιβάληται, τῷ δὲ βάκτρῳ ἀντὶ δόρατος τῇ δεξιᾷ χειρὶ χρήσηται 10 καὶ πρῶτος τοῦ στρατιωτικοῦ καταλόγου αὐτοῦ προπορεύσηται. ὁ δὲ μέγας βασιλεὺς Θεοδόσιος πιστῶς καὶ εὐλαβῶς τὰ παρὰ τοῦ ἁγίου ἀποσταλέντα δεξάμενος εἰς τὸν πόλεμον παρασκευάζεται οὐχ οὕτω τῇ τῶν ὅπλων καὶ τῶν βελῶν καὶ τοῦ λαοῦ αὐτοῦ πληθύϊ, ὅσον τῇ τῶν νηστειῶν καὶ τῇ τῶν 15 εὐχῶν τοῦ ἁγίου βοηθείᾳ πεποιθώς. οὗτος γὰρ καὶ νῦν ἐπηγγείλατο αὐτῷ τὴν νίκην ἀναίμακτον προβήσεσθαι εἰς τὸ κατ' αὐτόν, εἰ καὶ ἀπὸ ἑκατέρου μέρους πλεῖστον ἔμελλεν ἐκχεῖσθαι αἷμα. περιήρχετο δὲ μετὰ ἐπισκόπων καὶ μετὰ πλήθους πάντας τοὺς τῶν εὐχῶν τόπους καὶ ἔρριπτεν ἑαυ-20 τὸν πρὸ τῶν θυρῶν τῶν μαρτύρων καὶ τῶν ἀποστόλων ἐπὶ κιλικίου ἐξαπλῶν ἑαυτόν, καὶ τῇ πρεσβείᾳ τῶν ἁγίων πιστοτάτην αὐτῷ παρὰ θεοῦ βοήθειαν ἐξῄτει. οἱ δὲ Ἕλληνες

1—11 Nicephori Patr. Antirrh. III, 79 Migne Tom. 100, 521. — 11—15 Rufin. II, 33. — 15—18 Rufin. II, 32. — 18—*p*. 592, 6 Rufin. II, 33.

2 σκυλίναι AC σκυλλῆναι R. — 2. 3 παρακαλῶν καὶ ἐκδ. σκυλῆναι αὐτὸν L παρακαλῶν αὐτὸν σκυλῆναι (*om.* καὶ ἐκδυσ.) B σκυλῆναι αὐτὸν (*om.* παρ. κ. ἐκδυσ.) F. — 5 ὑπὸ εὐλαβείας V ἐπ' εὐλ. recc. multi δι' εὐλ. N. — 8 περιβαλεῖται AE περιβάλληται L περιβάλλεται R περὶ βέβλητε M. — 9 χειρὶ *om.* AF. — 10 προπορεύηται B προπορεύσεται CDFLR. — 11 μέγας *om.* RV. — 14 πληθύει ACEL πληθύϊ F *sed* υϊ *m. 2 in lit.* — 14. 15 τῇ τῶν εὐχῶν καὶ τῇ τῶν νηστειῶν βοηθ. (*om.* τοῦ ἁγίου) N. — 15 οὕτως A οὗτως BMRV. — 17 εἰ] ἢ ABCEV. — 22 παρὰ τοῦ θεοῦ AL. — ἐξῄτει DFV (poscebat Ruf.) ἐζήτει ACEMR ἐπεζήτει L ἐπιζητεῖ B.

κατὰ τὴν Ῥώμην θύειν ἤρξαντο καὶ σπλαγχνοσκοπίας ἀπὸ θρεμμάτων ποιεῖσθαι νίκην ἄφροντιν ἀπαγγέλλοντες Εὐγενίῳ, Φλαβιανοῦ τότε τοῦ ὑπάρχου σπουδαιότερον τῶν ἄλλων ταῦτα πράττοντος, ⟨ὃς⟩ πάντας ἔπειθεν Εὐγένιον νικητὴν ἀποφανεῖσθαι πολλὴν ἔχων φρονήσεως οἴησιν. ὅτε 5 488 M. *δὲ Θεοδόσιος ὁ ἀληθῶς τῇ βοηθείᾳ τῆς εὐσεβείας πεποιθὼς τὰ στόμια τῶν Ἄλπεων κατέλαβεν, πρῶτοι ἐκεῖνοι οἱ δαίμονες εἰς φυγὴν ἐτράπησαν ὑπὸ φαύλου συνειδότος πτοηθέντες. στὰς γὰρ ἐφ' ὑψηλῆς πέτρας Θεοδόσιος, ὅθεν καὶ θεωρεῖν καὶ θεωρεῖσθαι παρ' ἑκατέρου στρατοπέδου ἠδύνατο,* 10 *ἐπὶ τὴν ἐξ ἔθους ἔστρεψεν ἑαυτὸν βοήθειαν καὶ ἁπλώσας ἑαυτὸν ἐνώπιον τοῦ θεοῦ, θεὲ παντοκράτορ, ἔφη, σὺ οἶδας ὅτι ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ τοῦ υἱοῦ σου ἐκδικήσεως ἕνεκα δικαίας τὸν πόλεμον τοῦτον ἀνεδεξάμην. καὶ εἰ μὲν ψεύδομαι, τιμώρησόν με, εἰ δὲ μετὰ δικαίας αἰτίας καὶ σοὶ* 15 *πεποιθὼς ἦλθον ἐνταῦθα, ἔκτεινον τὴν δεξιάν σου τοῖς σοῖς, μήποτε εἴπωσι τὰ ἔθνη· ποῦ ἐστιν ὁ θεὸς αὐτῶν. ἥντινα εὐχὴν τοῦ εὐσεβεστάτου βασιλέως πεισθέντες οἱ στρατηγοὶ παρὰ τοῦ θεοῦ προσδεδέχθαι εἰς τὸν πόλεμον ἀνεψυχώθησαν, ἐξαιρέτως δὲ Βακούριος, ἀνὴρ τῇ πίστει καὶ τῇ* 20 *εὐσεβείᾳ καὶ τῇ ἀρετῇ τῆς ψυχῆς καὶ τοῦ σώματος ἔνδοξος, πάντας τοὺς πλησίον τυγχάνοντας τοῦτο μὲν τῷ κοντῷ, τοῦτο δὲ τοῖς βέλεσιν, ἔστι δ' ὅτε καὶ τῷ ξίφει ἐστρώννυεν, καὶ τὰ*

17 Psalm. 113 (114), 10.

1 *σπλαγχνοσκοπίας* FLV *σπλαγχνοκοπίας* (*-αις* A) rell. Exc. de insid. — 2 *ἀφροντὴν* AC *ἄφροσιν* B *ἀφροντὶ* E *et* recc. plerique *om.* F. — *ἐπαγγέλλοντες* F *ἐπαγγελλόμενοι* L. — 3 *φλαβιανοῦ γὰρ τότε* B *e coni.* (*cf. v.* 4). — *τοῦ τότε ὑπάρχου* F *τοῦ om.* N *τότε om.* Exc. — *ἐπάρχου* LRV. — 4 *ταῦτα om.* N *ante σπουδαιότερον ins.* Exc. — *πράττοντος* (*πράσσ.* F) *καὶ πείθοντος πάντας* (*πάντας πείθ.* Exc.) F Exc. *e coni.* — *ὃς πάντας* L *coniectura probabili καὶ πάντας* R *ὃς om.* rell. — 5 *ἀποφανῆσθαι* D *ἀποφαίνεσθαι* B *ἀναφανήσεσθαι* Exc. — *ἔχοντα* N. — 10 *ἑκατέρου μέρους τοῦ στρατοπέδου* N. — 11 *ἔτρεψεν* FR. — 12 *παντοκράτωρ* ACELMR. — 13 *τοῦ ante Χριστοῦ om.* L Exc. — 19 *προσδέχεσθαι* AB. — *ἀνεψύχωσαν* AB Exc. — 22 *κόντῳ* CEFR.

τάγματα τῶν πολεμίων συνεζευγμένα καὶ συγκεκροτημένα διέρρηξε καὶ διὰ μέσου τοῦ πλήθους τῶν πεπτωκότων τὰς τάξεις διασχίσας καὶ τοὺς σωροὺς τῶν νεκρῶν παριὼν πρὸς αὐτὸν ἐπορεύετο τὸν τύραννον. καὶ τοῦ ἀνέμου σφοδροῦ
5 *γενομένου Εὐγένιος πρὸς τοὺς πόδας τοῦ βασιλέως ὀπίσω δεδεμένων αὐτοῦ τῶν χειρῶν ἤχθη, κἀκεῖσε τῆς αὐτοῦ ζωῆς καὶ τοῦ πολέμου τὸ τέλος ἐγένετο.*

Τότε τοίνυν ὡς τὰ μέλλοντα προειδὼς ὁ βασιλεὺς καὶ φροντίζων ὥστε τὴν πολιτείαν διατυπῶσαι εἰς τὰ τῆς ἑῴας
10 *μέρη παραχρῆμα ἀπέστειλεν, ὅπου τὰ ἑαυτοῦ παρέθετο τέκνα φυλακῇ ἀσφαλεστάτῃ μέλλων ἐπὶ τὸν πόλεμον ἐξιέναι. καὶ ἐν μὲν τῇ ἀνατολῇ τὸν βασιλέα Ἀρκάδιον προσέταξε τὴν πάλαι παραδοθεῖσαν αὐτῷ βασιλείαν φυλάττειν, Ὀνώριον δὲ τῇ αὐτῇ τιμήσας ἀξίᾳ ἐπὶ τὴν τῆς δύσεως βασιλείαν ἐλθεῖν*
15 *ταχέως προσέταξεν. ἐλθόντα δὲ αὐτὸν περιπτυξάμενος καὶ*
489 M. *φιλήσας παραδεδωκὼς αὐτῷ τὰ σκῆπτρα τῆς βασιλείας τῆς δύσεως αὐτὸς ἐπὶ δεκαεπτὰ ἐνιαυτοὺς διοικήσας τὴν βασιλείαν εὐτυχῶς εἰς τὸν βελτίονα μετῆλθε βίον μετὰ τῶν εὐσεβεστάτων βασιλέων ἀπολη ψόμενος τὰ γέρα τῶν ἄθλων.*

20 [θ'. *Περὶ Ἀρκαδίου.*]

Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσεν Ἀρκάδιος υἱὸς αὐτοῦ ἔτη ιγ'. ὃς τὸν κίονα τοῦ Ξηρολόφου στήσας ἐν αὐτῷ τὸν ἑαυτοῦ καθίδρυσεν ἀνδριάντα. καὶ πόλιν ἐν τῇ Θρᾴκῃ κτίσας ἐκάλεσεν

8—19 Rufin. II, 34. — 22—*p.* 593, 1 Malalas? *cf.* Theoph. *p.* 77, 24 Leo Gr. *p.* 104, 20.

4 *τοῦ ἀνέμου σφοδροῦ* BLMR Exc. *ἀνέμου σφοδροῦ* FV *τοῦ ἀνέμου τοῦ σφοδροῦ* ACDE. — 6 *δεδεμένων τῶν χειρῶν αὐτοῦ* C *τῶν χειρῶν αὐτοῦ δεδ.* L. — 10 *τέκνα παρέθετο* BN. — 12 *ἐν τῇ μὲν* AB. — 13 *ὀνώριον* BDF *ὀνώριον* EL *ὀνόριον* CV *et* recc. quidam. *ὁνόριον* M *ὠνόριον* recc. alii *et ut vid.* A *in quo spiritus forma non bene dignoscitur.* — 14 *ἀνελθεῖν* RV. — 17 *δέκα καὶ ἑπτὰ* AB *δέκα καὶ ὀκτὼ* F. — 21 *ὁ υἱὸς* ABFR. — 22 *ιγ'*] *δεκαεννέα* F *κβ'* L *qui in mg. exhibet: ἐν ἄλλοις ἔτη ιγ'.*

22 *στήσας ἐν ᾧ καὶ τὸν ἑαυτοῦ καθιδρύσας ἀδριάντα* (*sic*) P.

αὐτὴν Ἀρκαδιούπολιν. ἐφ' οὗ καὶ ἡ γῆ ἐμυκήσατο σφόδρα ἐπὶ ἡμέρας ζ'. καὶ σεισμὸς γέγονε μέγας τε καὶ παγκόσμιος.

Νεκταρίου δὲ τοῦ ἀρχιεπισκόπου τελευτήσαντος, κοινῇ ψήφῳ Ἀρκάδιος ἐκ τῆς Ἀντιοχέων πόλεως Ἰωάννην τὸν Χρυσόστομον μεταστειλάμενος χειροτονηθῆναι παρεσκεύασεν 5 *ἐπίσκοπον Κωνσταντινουπόλεως. συνέβη δὲ καὶ Θεόφιλον Ἀλεξανδρείας ἐνδημεῖν, ὃς ἦν βαθυνοήμων καὶ δεινὸς ἀνὴρ πάνυ καὶ δυνάμενος ἐκ τῆς φανερᾶς ὄψεως τὸ ἀφανὲς ἀνθρώπου βούλημά τε καὶ ἰδίωμα συνιδεῖν ὅτι μάλιστα. καὶ τὴν μὲν Ἰωάννου χειροτονίαν κωλῦσαι ἐσπούδασεν, Ἰσίδωρόν* 10 *τινα πρεσβύτερον ἑαυτοῦ καὶ ξενοδόχον Ἀλεξανδρείας θέλων προβληθῆναι, Ἰσίδωρον δὲ οὐ τὸν ἀσκητὴν καὶ Πηλουσιώτην καὶ μαθητήν ποτε τοῦ Χρυσοστόμου, καθὼς οἴονταί τινες,* 490 M. *ἀλλὰ τὸν προειρημένον ξενοδόχον.*

Ὁ οὖν Ἰωάννης τῶν εὐγενῶν Ἀντιοχείας ὑπῆρχεν, υἱὸς 15 *Σεκούνδου στρατηλάτου καὶ μητρὸς Ἀνθούσης, ἐλλόγιμος δὲ ἦν ἄγαν καὶ πολὺς περὶ τὸ λέγειν. ᾧ καὶ Λιβάνιος ὁ σοφιστὴς καὶ διδάσκαλος αὐτοῦ προσεμαρτύρησεν. ἐρωτηθεὶς γὰρ παρὰ τῶν προσηκόντων τίνα ἀνθ' ἑαυτοῦ προβάλλεται διδάσκαλον, Ἰωάννην, φησίν, ἔλεγον, εἰ μὴ τοῦτον οἱ χριστιανοὶ* 20 *ἡμῶν ἀπεσύλησαν. ὀκτωκαιδέκατον γὰρ ἔτος ἄγων τὴν ἡλι-*

1—2 Malalas? *cf.* Theoph. *p.* 80, 5. — 3—7 Th. L. *cf.* Cram. Anecd. *p.* 98, 26 Exc. Bar. Theoph. *p.* 75, 19 Leo Gr. *p.* 105, 18. — 6—9 Palladii vita Chrysostomi *cp.* 5 Migne Tom. 47, 19 *med.* — 9—12 Th. L. *cf. ib* — 15—21 Th. L. *cf. ib.* — 21—*p.* 594, 18 Palladius *l. l.* Migne 47, 18 *med.*

1 *ἐμυκήσατο σφόδρα* EFLNPRV *σφόδρα om.* ABC Theoph. — 2 *ἐγένετο* N. — 3 *ἐπισκόπου* BD Cram. Exc. — 10 *ἐσπούδαζεν* ER *διεσπούδασεν* P *ἔσπευδεν* B. — 13 *καὶ μαθητήν* AP *τὸν μαθητήν* B *μαθητήν* rell. — 16 *δὲ* ABP Exc. *τε* rell. — 20 *ἔλεγεν* BFMR *et* L *m. 2* (F *om.* *φησίν*). — 21 *ἄγων ἔτος* CM.

6 *Post κωνσταντινουπόλεως* P *add.*: *ὥς φησι σωκράτης* (VI, 2 *sq.*). — 7. 8 *δεινὸς πάνυ ἀνὴρ* P. — 10 *ἰσ. δέ τινα* P. — 12 *ἀσκητήν τε καὶ* P. — 13. 14 *τινὲς διὰ τὴν ὁμωνυμίαν, ἀλλὰ τὸν ξενοδόχον ἀλεξανδρείας* P. — 16. 17 *ἦν δὲ ἐλλόγιμος* P. — 21—*p.* 594, 18 *omnino diversa exhibet* P.

κίαν ἀφηνίασεν ἀπ' αὐτοῦ καὶ ὑπὸ Μελετίου Ἀντιοχείας βαπτισθεὶς καὶ χειροτονηθεὶς ἀναγνώστης καὶ παραμείνας τῇ ἐκκλησίᾳ ἔτη γ' καὶ ἀναχωρήσας ἀπῆλθε πρός τινα μοναχὸν καὶ ἡγούμενον τοὔνομα Καρτέριον, καὶ προσμείνας
5 *αὐτῷ ἔτη δ' γίνεται ὑπ' αὐτοῦ μοναχός, καὶ τὰς θείας γραφὰς ὑπ' αὐτοῦ παιδευθεὶς καὶ τῆς μοναχικῆς πολιτείας τὴν ἀκρίβειαν χρόνον τινὰ ἀνεχώρησεν ἐν σπηλαίῳ μόνος ἔτη β' ποθῶν τὴν ἡσυχίαν. μὴ ἀναπεσὼν δὲ τὸν τῆς διετίας χρόνον μὴ νύκτωρ μὴ μεθ' ἡμέραν νεκροῦται τὰ*
10 *ὑπὸ γαστέρα πληγεὶς ἀπὸ κρύους τὰς περὶ τοὺς νεφροὺς δυνάμεις. οὐκ ἐπαρκῶν δὲ ἑαυτῷ χρησιμεύειν πάλιν καταλαμβάνει τὴν ἐκκλησίαν ἐκ θείας προμηθείας εἰς πολλῶν σωτηρίαν. ἐντεῦθεν χειροτονεῖται διάκονος διὰ τοῦ Μελετίου ὑπηρετήσας τῷ θυσιαστηρίῳ τρία καὶ δύο ἔτη. ἤδη δὲ τῆς*
15 *διδασκαλικῆς αὐτοῦ ἀρετῆς διαλαμπούσης πρεσβύτερος χειρο-*
491 M. *τονεῖται διὰ Φλαβιανοῦ τοῦ ἐπισκόπου καὶ διαπρέψας τρὶς τέσσαρα ἔτη ἐν τῇ τῶν Ἀντιοχέων ἐκκλησίᾳ ἀποσεμνύνει τὸ ἐκεῖσε ἱερατεῖον τῷ βίῳ τῆς ἀκριβείας. ἦν δὲ ἀσκητὴς ἄκρως καὶ πολυάγρυπνος καὶ φιλήσυχος λίαν καὶ διὰ ζῆλον*
20 *σωφροσύνης ἀπαρρησίαστος καὶ ἀκρόχολος καὶ θυμῷ μᾶλλον ἢ αἰδοῖ ἐχαρίζετο καὶ ἐλευθεροστομίᾳ πρὸς τοὺς ἐντυγχάνοντας ἀμέτρως ἐκέχρητο, καὶ ἐν μὲν τῷ διδάσκειν πολὺς ἦν πρὸς ὠφέλειαν, ἐν δὲ ταῖς συντυχίαις ἀλαζονικός τις*

19—*p.* 595, 4 *cf.* Socrat. Hist. eccl. VI, 3 *fin.*; 4 *init.*

1 *καὶ om.* N. — 7 *μόνος ἐν σπηλαίῳ* M *μόνος om.* D. — 9 *διαιτίας* C *διαιτείας* E *διαίτης* D. — 9 *τὰ ὑπὸ τὴν γαστέρα* F *τὰ ὑπογάστρια* R. — 10 *ἀπὸ*] *ὑπὸ* BRV. — *κρύους* ABP *τοῦ κρύους* rell. Pall. — *καὶ τὰς* PR. — 13 *τοῦ om.* CF. — 16 *βλαβιανοῦ* M *et* recc. plerique. — *τρεῖς* EM *om.* CFR. — 19 *ἄκρος* FMV *εἰς ἄκρως* recc. quidam *εἰς ἄκρον* recc. plerique. — 20 *εὐπαρρησίαστος* BFN Suid. *v.* *Ἰωάννης ὁ Χρυσόστομος.* — 22 *ἀμέτρος* C *ἀμέτρῳ* RV.

20 *ἀπαρρ. ἀκρόχολός τε καὶ πικρότατος καὶ* P (*πικρότερος* Socr.).

καὶ ὑπερόπτης ἐνομίζετο τοῖς αὐτὸν ἀγνοοῦσιν. διὸ καὶ ἐπὶ τὴν ἐπισκοπὴν προβληθεὶς μείζονι ὀφρύϊ κατὰ τῶν ὑπηκόων ἐκέχρητο πρὸς διόρθωσιν ἑκάστου καὶ σωτηρίαν καὶ τοὺς τρόπους καὶ τοὺς λόγους μεταλλάττων. οὐ τοίνυν εἰ μή τις εἴη κόλαξ τοῦτον ἀλαζόνα εἶναι νομιστέον, οὐδ' αὖ πάλιν 5 *εἰ κόλαξ εἴη καὶ ἀγεννὴς τοῦτον μετριόφρονα λεκτέον, ἀλλὰ τὸν ἐν τῇ προσηκούσῃ τάξει τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα. μεγαλόψυχον μὲν γὰρ εἶναι προσήκει, οὐχ ὑπερήφανον, ἀνδρεῖον, οὐ θρασύν, ἐπιεικῆ, οὐ δουλοπρεπῆ, μετριόφρονα, οὐ ταπεινοφροσύνην ὑποκρινόμενον, ἐλευθέριον,* 10 *οὐκ ἀνδραποδώδη.*

Ὥσπερ δὴ καὶ αὐτὸς οὗτος ὁ Χρυσόστομος λέγει· διὰ τοῦτο ποικίλον εἶναι δεῖ τὸν ποιμένα καὶ διδάσκαλον. ποικίλον δὲ λέγω, οὐχ ὕπουλον οὐδὲ κόλακα καὶ ὑβριστήν, ἀλλὰ πολλῆς ἐλευθερίας καὶ παρρησίας ἀνάμεστον, εἰδότα 15 *καὶ συγκατιέναι χρησίμως, ὅταν ἡ τῶν πραγμάτων ὑπόθεσις ἀπαιτῇ τοῦτο, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν. οὐ γὰρ ἑνὶ τρόπῳ χρήσασθαι τοῖς ἀρχομένοις ἅπασι δέον, ἐπεὶ μηδὲ ἰατρῶν παισὶ ἑνὶ μόνῳ φαρμάκῳ πᾶσι τοῖς κάμνουσι προσφέρεσθαι καλόν, μηδὲ κυβερνήτῃ μίαν ὁδὸν εἰδέναι τῆς* 20 *πρὸς τὰ πνεύματα μάχης. ἐννόησον οὖν ὁποῖόν τινα εἶναι*

12—21 Chrysost. de sacerdotio VI, 4 Migne Tom. 48, 681 *fin.* — 21—*p.* 596, 7 *ib.* III, 16 Migne 654 *med.*

1 *ἐπὶ om.* FV *ἐπὶ τὴν om.* B. — 5 *νομιστέον εἶναι* B *εἶναι om.* R. — 6 *ἀγενὴς* AB *et* recc. plerique. — 7 *τῇ post ἐν om.* AF. — 8 *μὲν γὰρ* BP *μὲν om.* rell. *γὰρ om.* Suid. — 9 *δολοπρεπῆ* DV. — 11 *ἀνδραπώδη* (*-πόδη* M) BM. — 14 *ὑποῦλον* FP *ὕποῦλον* B. — 17 *τοῦτον* BM *et* recc. plerique. — 20 *κυβερνήτῃ* AEP Suid. *κυβερνήτες* F *κυβερνῆ* B *κυβερνῆται* (*sive -ῆται*) rell.

1 *διὸ*] *τοιοῦτος δὲ ὢν τὸ ἦθος* P Socr. — 2 *προβλ. μείζονι κατὰ τ. ὑπηκ. ὀφρύϊ* P. — 3 *καὶ σωτηρίαν om.* P. — 4 *Post μεταλλάττων permulta add.* P *seorsim edenda.* — 12 *χρυσορήμων* P.

χρὴ τὸν μέλλοντα χειμῶνα τοσοῦτον ἀνθέξειν καὶ τοιαύτην
92 M. ζάλην καὶ τοσαῦτα κύματα πρὸς τὸ γενέσθαι τοῖς πᾶσι τὰ
πάντα, ἵνα πάντας κερδήσῃ. καὶ γὰρ σεμνὸν εἶναι δεῖ τὸν
τοιοῦτον καὶ ἄτυφον καὶ φοβερὸν καὶ προσηνῆ καὶ ἀρχον-
5 τικὸν καὶ κοινωνικὸν καὶ ἀδέκαστον καὶ θεραπευτικὸν καὶ
ταπεινὸν καὶ ἀδούλωτον καὶ φαιδρὸν καὶ ἥμερον, ἵνα ταῦτα
εὐκόλως μάχεσθαι δύναται. οὐκοῦν δεῖ τὸν ἐνάρετον καὶ
ἐχέφρονα φεύγειν τὸ κολακεύειν καὶ κολακεύεσθαι, καὶ μήτε
ἀλαζονικὸν εἶναι μήτε κόλακα, ἀλλ' ἀμφοτέρων τῶν κακῶν
10 τούτων κολάζειν τὴν ἀμετρίαν, καὶ ἐλεύθερον εἶναι μήτε εἰς
αὐθάδειαν ἀποκλίνοντα μήτε εἰς δουλοπρέπειαν καταπίπτοντα.
πρὸς μὲν γὰρ χρηστοὺς ταπεινὸν ὑπάρχειν χρή, πρὸς δὲ θρα-
σεῖς ὑψηλόν. ἐπείπερ οἱ μὲν ἀρετὴν εἶναι τὴν ἐπείκειαν
ἡγοῦνται, οἱ δὲ ἀνδρείαν τὴν θρασύτητα, ἐκείνοις μὲν τὴν
15 ταπεινοφροσύνην δέον προσφέρειν, τούτοις δὲ τὴν ἀνδρείαν
σβεννύουσαν αὐτῶν τὴν ἀπὸ τῆς θρασύτητος δόξαν, ἵνα
τοὺς μὲν ὠφελήσῃ, τῶν δὲ ταπεινώσῃ τὸ φρόνημα.

Ὅπερ οὖν καὶ ὁ μέγας Βασίλειος δηλῶν ἔφη· τοῦ σοφω-
τάτου Σολομῶντος φήσαντος· καιρὸς τῷ παντὶ πράγματι,
20 εἰδέναι χρὴ ὅτι καὶ ταπεινότητος καὶ ἐξουσίας καὶ ἐλέγχου
καὶ παρακλήσεως καὶ φειδοῦς καὶ παρρησίας καὶ χρηστό-
τητος καὶ ἀποτομίας καὶ ἁπαξαπλῶς παντὸς πράγματος καιρός
ἐστιν ἴδιος, ὥστε ποτὲ μὲν τὰ τῆς ταπεινότητος δεικνύειν
καὶ μιμεῖσθαι ἐν ταπεινώσει τὰ παιδία κατὰ τὴν κυριακὴν

---

2 1. Cor. 9, 22. — 8—11 Isidor. Pelus. Epp. III, 379 Migne Tom. 78, 1025. — 18—p. 597, 6 Basil. regulae brevius tract. 113 Migne Tom. 31, 1157 C. — 19 Eccl. 3, 1.

1 πρὸς χειμῶνα (-όνα F) F Suid. Chr. — 8 τὸ κολακεύειν τὸ κολακεύεσθαι C (τὸ κολ. καὶ τὸ κολ. P). — 17 ὠφελήσει (ὀφ. C) AC. — ταπεινώσει ABCDF. — 18 οὖν] δὴ B *om.* F. — 22 ἅπαξ ἁπλῶς CDEFP.

10 κολάζοντα τὴν ἀμετρίαν ἐλευθέριον ὑπάρχειν (εἶναι Is.) P Isid. — 12 ὑπάρχειν] εἶναι P. — 17 *Post* φρόνημα *alia multa sequuntur in* P.

φωνήν, ποτὲ δὲ τῇ ἐξουσίᾳ κεχρῆσθαι, ἣν ἔδωκεν ὁ κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, ὅταν ἡ χρεία ἐπιζητῇ τὴν παρρησίαν, καὶ ἐν καιρῷ μὲν παρακλήσεως τὸ χρηστὸν ἐνδείκνυσθαι, ἐν καιρῷ δὲ ἀποτομίας τὸν ζῆλον ἐμφαίνειν καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ὁμοίως τὸν ἔγκριτον καὶ δίκαιον 5 *λογισμὸν ἀποφέρεσθαι. λογισμοὶ γὰρ δικαίων κρίματα.*

Καὶ δὴ καὶ ὁ θεοφόρος Ἰσίδωρος καὶ τοῦ μακαρίου φοιτητής ποτε λέγει· τὸν ἄρχοντα δεῖ καὶ ἀγαθὸν εἶναι καὶ φοβερόν, ἵν' οἱ μὲν εὖ βιοῦντες θαρροῖεν, οἱ δ' ἁμαρτάνοντες ὀκνοῖεν. θάτερον γὰρ θατέρου χωρὶς ἀναρχία μᾶλλόν ἐστιν 10 *ἢ ἀρχή. εἰ μὲν γὰρ πάντες ἦσαν εὐπειθεῖς καὶ φιλάρετοι,* 493 M. *ἀγαθότητος ἔδει μόνης, εἰ δὲ φιλαμαρτήμονες, φόβου. ἐπειδὴ δὲ καὶ ἀγαθοὺς καὶ πονηροὺς ἀνάγκη ἐν τοῖς ἀρχομένοις εἶναι, ἀμφότερα μεταχειριστέον τῷ ἄρχοντι καὶ προϊσταμένῳ, ἵνα ἡ μὲν ἀγαθότης στηρίζῃ τοὺς ἀγαθοὺς καὶ σώφρονας,* 15 *ὁ δὲ φόβος προαναστέλλῃ τῶν κακίστων τὰ πταίσματα.*

Ταῦτα τοίνυν, ὡς ἔοικεν, ἀγνοοῦντες καὶ τὰ τούτων ὅμοια μὴ καλῶς ἐπιστάμενοι διακρῖναι καὶ συγκρῖναι οἱ ἐχθροὶ τοῦ θεσπεσίου Ἰωάννου ἀλόγως καὶ ἀνοήτως ἐμίσουν αὐτὸν καὶ διέβαλλον ὡς τραχύν τινα καὶ ὀργίλον. διὸ δὴ 20 *καὶ κατὰ γυναικῶν ὁ Ἰωάννης λόγον ἐπ' ἐκκλησίας ἐπεδείξατο,*

---

1 2. Cor. 13, 10. — 6 Prov. 12, 5. — 7—16 Isid. Pelus. Epp. V, 168 Migne Tom. 78, 1424. — 17—20 *cf.* Socr. Hist. eccl. VI, 4. — 20—*p.* 598, 18 Th. L. *cf.* Exc. Bar. Cramer An. *p.* 99, 6 Theoph. *p.* 78, 16 (*p.* 598, 16 *τόν τε ἀμπ. τῆς χήρας aliunde ins.*).

2 *ἐπιζητεῖ* ADF *ἐπιζῇ* B. — 8 *δεῖ* (*χρὴ* Isid.) *καὶ ἀγαθὸν εἶναι* P Is. *δὲ καὶ ἀγαθὸν εἶναι* ACF *δὲ καὶ ἀγαθὸν εἶναι δεῖ* BEN recc. nonnulli *καὶ ἀγαθὸν εἶναι δεῖ* V recc. alii. — 9 *εὐβιοῦντες* F *εὐβυοῦντες* A *εὐιοῦντες* C *βιοῦντες* (*om. εὖ*) R. — 15 *στηρίζει* AFNP *et* recc. plerique *στηρίξῃ* B *στηρίξει* C. — 16 *προαναστέλλει* (-*έλει* C) ABCFNR *πρὸς ἀναστέλλει* P. *In* A *προαναστέλλει lit. ex προσαναστ.*

6 *γάρ φησι δικαίων* P. — 19. 20 *ἀνοήτως αὐτὸν κατεδίκαζον. διὸ δὴ* (*rell. om.*) P. *Quae sequuntur usque ad p.* 598, 15 *tam diversa sunt ab editis, ut seorsim describam.*

ὃν οἱ δυσμενεῖς κατὰ Εὐδοξίας εἰρῆσθαι θρυλλήσαντες ταύτῃ τὸν λόγον εἰσήγαγον. ἡ δὲ πρὸς Ἀρκάδιον δεινῶς πεπονθέναι λέγουσα κατὰ Ἰωάννου τοῦτον παρώτρυνεν, παρασκευάζει δὲ μετασταλῆναι Θεόφιλον ὡς πρόδηλον ἐχθρὸν τοῦ 5 *Ἰωάννου ὑπάρχοντα. ὃς παραγενόμενος ἐν τῇ Δρυΐ, τῇ νῦν Ῥουφινιαναῖς, τὴν κατὰ Ἰωάννου ἐπιβουλὴν κατειργάσατο. ὅπερ γνοὺς ὁ λαὸς στάσιν μεγάλην ἐποίησε μὴ συγχωρῶν αὐτὸν ἐκβληθῆναι τῆς πόλεως. ἐπικαμφθεῖσα δὲ Εὐδοξία τοῖς ὀδυρμοῖς τοῦ λαοῦ παρεκάλεσεν ὑπὲρ Ἰωάννου τὸν* 10 *Ἀρκάδιον καὶ πέμψασα Βρίσσωνα τὸν εὐνοῦχον ἀπὸ Πραινέτου τὸν Ἰωάννην εἰσήγαγεν, ὡς Θεόφιλον καὶ τοὺς σὺν αὐτῷ φοβηθέντας φυγῇ τὴν σωτηρίαν πορίσασθαι. ἑξήκοντα δὲ ἐπίσκοποι εὑρεθέντες συνῆλθον καὶ ἄκυρα τὰ ἐν τῇ Δρυΐ πραχθέντα ἅπαντα ψηφισάμενοι Ἰωάννῃ τὴν ἐπισκο-* 15 *πὴν δικαίως ἐκύρωσαν. ἐπισυνέβη δὲ αὖθις τὰ κατὰ τὴν ἀργυρᾶν στήλην τῆς Εὐδοξίας τόν τε ἀμπελῶνα τῆς χήρας, καὶ πάλιν μῖσος καὶ πάλιν ὀργὴ καὶ πάλιν ἔχθρα καὶ λόγου ἐπίδειξις, οὗ ἡ ἀρχή· πάλιν Ἡρωδιὰς μαίνεται. κἀντεῦθεν* 494 M. *οἱ τοῦ μέρους αὐτοῦ ἐπίσκοποι τὴν ἐξορίαν αὐτοῦ μέλλειν* 20 *ἔσεσθαι βλέποντες συναθροισθέντες πρὸς αὐτὸν μετὰ πολλῶν δακρύων ἔλεγον· ἐπάναγκες ἡμῖν ἐστιν, ὦ δέσποτα, τὰς ἐκκλησίας κατέχοντας ἀναγκασθῆναι καὶ κοινωνῆσαι καὶ ὑπο-*

18—*p.* 599, 3 Palladius *cp.* 8 Migne Tom. 47, 28 *med.*

8 *ἡ εὐδοξία* FM. — 10 *βρίσσονα* C *βρέσωνα* B. — *πρενέτου* ACD Exc. *πρεπενέτου* M. — 17 *καὶ πάλιν ἔχθρα* ABP Exc. Cr. *καὶ om.* rell. — 21 *ἡμῖν ἐστιν, ὦ δέσποτα* (*ὦ πάτερ* P) ABP *ἡμῖν, ὦ δέσποτα, ἐστίν* CFNRV *ἐστιν om.* E *ὦ δέσποτα om.* Pall.

15 *Post ἐκύρωσαν in* P *sequuntur p.* 599, 7—12, *tum verba Isidori Pelusiotae (p.* 601, 8 *sqq.), quibus alia quaedam addita ex eiusdem epistulis excerpta.* — 15—17 *πάλιν δὲ προφάσει τοῦ ἀμπελῶνος τῆς χ. ἐπιμανῆναι συνέβη τὴν εὐδοξίαν καὶ πάλιν μῖσος* P. — 19 *τὴν αὖθις ἐξορίαν αὐτοῦ ὑφορώμενοι συναθρ. πρὸς αὐτὸν εἶπον· ἐπάναγκες* P.

γράψαι. ὁ δὲ μακάριος πρὸς αὐτούς· κοινωνήσατε μέν, ἵνα μὴ σχίσητε τὴν ἐκκλησίαν, μὴ ὑπογράψητε δέ· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα ἄξιον καθαιρέσεως. εἶχε δὲ μαθητὰς ἐπισκόπους μὲν Πρόκλον καὶ Παλλάδιον καὶ Βρίσσωνα καὶ Θεοδώρητον, ἀσκητὰς δὲ Μάρκον καὶ Νεῖλον καὶ Ἰσίδωρον 5 *τὸν Πηλουσιώτην.*

Ὁ δὲ μέγας Ἐπιφάνιος Κύπρου ἐν τῷ Ἑβδόμῳ ἐλθὼν χειροτονίας καὶ συνάξεις παρὰ τὴν Ἰωάννου γνώμην ἐποίησεν. καὶ τοῦ Ἰωάννου τοῦτο συγχωρῆσαι θελήσαντος καὶ προτρεψαμένου αὐτὸν συμμεῖναι αὐτῷ εἰς τὸ ἐπισκοπικὸν 10 *καταγώγιον, οὐχ εἵλατο τοῦτο ποιῆσαι Ἐπιφάνιος· ταῖς γὰρ ὑπὸ Θεοφίλου διαβολαῖς προκατείληπτο.*

Ἰωάννου τοῦ Χρυσοστόμου ἐπισκοποῦντος ἀνήρ τις Μακεδονιανὸς γυναῖκα εἶχεν ὁμόφρονα. καὶ ὁ μὲν ἀνὴρ πεισθεὶς τῇ διδασκαλίᾳ Ἰωάννου τῇ καθολικῇ ἐκκλησίᾳ προσ- 15 *ελθὼν ἐκοινώνησεν, ὁμοίως δὲ καὶ τῇ γυναικὶ κοινωνῆσαι παρῄνει. ἡ δὲ ὑποκριθεῖσα πείθεσθαι τῷ ἀνδρὶ ἦλθεν ἐν τῇ ἐκκλησίᾳ, παιδίσκῃ δὲ αὐτῆς γνησίᾳ κοινωνίαν ἐκ τῆς*

7—12 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 78, 9. — 13—*p.* 600, 10 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 77, 8.

2 *σχίσητε — p.* 602, 2 *εἰρηκέναι τοῖς om.* F *uno folio interciso.* — 4 *βρίσσονα* P *βρίσωνα* B *κρίσσωνα* C. — 8 *ἐποίησε παρὰ τὴν ἰ. γνώμην* B *παρὰ τὴν ἰ. ἐποίησε γνώμην* RV. — 10 *συμβεῖναι* M *συμβῆναι* AR. — 12 *οὐχήλατο* A *οὐχ εἵλετο* V *οὐκ εἵλατο* P. — 15 *τοῦ ἰωάννου* C Exc.

1 *ὁ δέ φησι κοινωνήσατε* P. — 2 *τὴν ἐκκλησίαν σχίσητε* P. — 3 *σύνοιδα καθαιρ. ἄξιόν τι πεποιηκέναι* P. — 4 *βρίσσωνά τε καὶ* P. — 7 *κύπρου τυγχάνων ἐν κωνσταντινουπόλει χειροτ. ἐν τ. ἑβδ. καὶ συνάξ.* P. — 10. 11 *εἰς τὸ ἐπισκοπίον οὐκ εἵλατο. ταῖς γὰρ* P. — 12 *Hic sequuntur p.* 602, 1—19 *et alia quaedam, tum p.* 600, 11—*p.* 601, 7 *et alia permulta de Chrysostomo e vitis a Palladio et Georgio scriptis excerpta, post haec narratio p.* 603, 1—*p.* 604, 6 *omnino diversa et tum demum v.* 13 —*p.* 600, 10 *quae item ab iis, quae supra edita sunt, multum differunt.*

Μακεδονίου φέρειν αἱρέσεως δέδωκεν. δεξαμένη δὲ ὑπὸ
Ἰωάννου τὴν κοινωνίαν καὶ ὑποκριθεῖσα συγκύπτειν καὶ
ταύτην μεταλαμβάνειν, ἣν μὲν εἶχεν ἡ παιδίσκη ἔλαβεν
ἐξ αὐτῆς, ἣν δὲ δέδωκεν Ἰωάννης ἐπιδέδωκε τῇ παιδίσκῃ.
5 προσαγαγοῦσα δὲ τῷ στόματι τὴν ἐκ τῆς Μακεδονίου κοι-
νωνίαν εὗρεν αὐτὴν ἐν τῷ στόματι λίθον γεγενημένην. καὶ
495 M. τούτου φανερωθέντος, ὑπότρομος προσελθοῦσα τοῖς Ἰωάννου
ποσὶ τὸ τολμηθὲν ἐξήγγειλε καὶ τῇ ἐκκλησίᾳ προσῆλθε κατὰ
ἀλήθειαν. ὁ δὲ λίθος ἐν τῷ σκευοφυλακίῳ ἐδόθη φυλάτ-
10 τεσθαι.

Ὁ οὖν ἀοίδιμος Ἰωάννης ἐπισκοπεύσας ἔτη ε´ ἥμισυ
ἐξωρίσθη εἰς Κουκουσὸν κἀκεῖθεν μετὰ ἔτη γ´ καὶ μῆνας β´
μετενεχθεὶς εἰς Πιτυοῦντα καὶ γενόμενος κατὰ πάροδον ἐν
Κομάνοις ἐτελεύτησεν ἐν πολλῇ θλίψει τε καὶ κακώσει ὑπ-
15 άρχων ἐτῶν νβ´. ὁ δέ γε πάπας Ῥώμης Ἰνοκέντιος ἀκούσας
τὴν ἐν ἐξορίᾳ τελευτὴν αὐτοῦ γράφει πρὸς Ἀρκάδιον τοιάδε·
φωνὴ αἵματος τοῦ ἀδελφοῦ μου Ἰωάννου βοᾷ πρὸς τὸν θεὸν
κατὰ σοῦ, βασιλεῦ, ὥς ποτε Ἄβελ τοῦ δικαίου κατὰ τοῦ
ἀδελφοκτόνου Κάϊν, καὶ πάντως ἐκδικηθήσεται παντοίῳ
20 τρόπῳ, ὅτι διωγμὸν ἄδικον κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ
καὶ τῶν ἱερέων αὐτοῦ συνεστήσω ἐξεώσας τὸν μέγαν τῆς

11—15 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 79, 17. *Annorum numeri aliunde inserti cf.* Migne Tom. 47 *col.* LXXXVIII *med.* — 15—*p.* 601, 7 Georgii Alexandrini Vita Chrysostomi *in* Chrys. Opp. *ed.* Savil. Tom. VIII *p.* 248.

11 ἔτη ε´ (*om.* ἥμισυ) R ἔτη ἓξ B. — 13 πιτοιοῦντα C πιτιοῦντα P *et* recc. quidam πυτιοῦντα AM *et* recc. alii. — 14 κωμάνοις A κομμάνοις B κομάνωι L. — τε *om.* BR. — 15 ἰνοκέντιος BC ἰννοκέντιος (ἰνν. M) EMV. — 16 αὐτοῦ] ἰωάννου N. — 21 ἱερέων ABNP Georg. ἱερῶν CERV. — αὐτοῦ *om.* N. — μέγα ACELM με (Γ superscr.) B. — τῆς οἰκουμένης *post p.* 601, 1 διδάσκαλον *ins.* AB.

11 ὁ οὖν ἰωάννης μετὰ ἔτη πέντε ὕμησι τοῦ ἐπισκοπῆσαι ἐξορισθεὶς P. — 15 δέ γε] τοίνυν P. — 19 παντοίῳ] παντὶ P Georg.

οἰκουμένης φωστῆρά τε καὶ διδάσκαλον ἐκ τοῦ θρόνου τῆς ἐπισκοπῆς αὐτοῦ παρανόμως τε καὶ ἀκρίτως, συνεκδιώξας αὐτῷ καὶ τὸν Χριστόν. ἡ δὲ νέα Δαλιδὰς Εὐδοξία κατὰ μικρὸν τῷ ξυρῷ τῆς ἀπάτης ξυρήσασά σε κατάραν ἐπήγαγεν ἑαυτῇ καὶ μῖσος ἔνδικόν τε καὶ ἀνεξάλειπτον δεσμεύσασα φορτίον ἁμαρτημάτων δυσβάστακτον καὶ προσθεῖσα τοῖς πρώην αὐτῆς δεινοῖς καὶ πολλοῖς ἁμαρτήμασιν.

Ὁ δὲ μέγας Ἰσίδωρος πρός τινα γράφων οὕτω φησίν· ἐρωτᾷς τὴν περὶ τὸν θεσπέσιον Ἰωάννην τραγῳδίαν, ἀλλὰ φράσαι ταύτην ἀπορῶ· νικᾷ γὰρ τὸν νοῦν ἡ μέθη τοῦ πράγματος. μικρὰ δὲ μάνθανε, ἅπερ ἡ Αἴγυπτος συνήθως ἠγνόησεν, Μωσέα μὲν παραιτουμένη, τὸν δὲ Φαραὼ οἰκειουμένη, τοὺς ταπεινοὺς μαστίζουσα καὶ τοὺς κοπουμένους θλίβουσα, πόλεις οἰκοδομοῦσα καὶ τοὺς μισθοὺς ἀποστεροῦσα, καὶ μέχρι νῦν τούτοις ἐμμελετῶσα. τὸν λιθομανῆ καὶ χρυσολάτρην προβαλλομένη Θεόφιλον τέσσαρσι συνεργοῖς καὶ συναποστάταις ὀχυρωθέντα τὸν ὄντως θεοφιλῆ καὶ θεολόγον κατεπολέμησεν ἄνθρωπον, τὴν περὶ τὸν ἐμὸν ὁμώνυμον ἀπέχθειαν καὶ δυσμένειαν ὁρμητήριον τῆς οἰκείας εὑρηκότα σκληρότητος. ἀλλ' ὁ μὲν οἶκος Δαυὶδ κραταιοῦται καὶ πορεύεται, ὁ δὲ οἶκος Σαοὺλ ἀσθενεῖ καὶ καταισχύνεται καὶ συμποδίζεται, καθὼς ὁρᾷς, εἰ καὶ τῆς ζάλης ὑπεξῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ στεφανίτης καὶ νικηφόρος καὶ πρὸς τὴν ἄνω γαλήνην μετεχώρησεν.

8—24 Isid. Epp. I, 152 Migne Tom. 78, 284. — 20 2. Reg. 3, 1.

3 *δαλιδὰ* PV. — 4 *ξυρήσασά σε* L *ξυρίσασά σε* ANP *ξυρίσασε* CE *ξυρίσασα τε* B *ξυρήσασα* (*om. σε*)V Georg. *ξυρίσασθαι* (*om. σε*) R. — 11 *συνήθως ἠγνόησε* (*ἠνόμησε* Is.) ABPV Is. *συνήθως om.* CENR. — 13 *κοπωμένους* BV *κοπομένους* D. — 15 *μέχρι τοῦ νῦν* BM.

6 *δυσβαστ. προσθεῖσα καὶ τοῖς* P Georg. — 7 *δεινοῖς καὶ πολλοῖς om.* P Georg. — *Post ἁμαρτήμασιν permulta add.* P *de Chrysostomi vita.* — 8 *περὶ οὗ μέντοι καὶ ὁ προλεχθεὶς ἰσίδωρος* P. — 9 *περὶ τοῦ θεσπεσίου ἰωάννου* P. — 22 *ἐξῆλθεν* P.

Ὑποστρέφοντι δὲ Ἐπιφανίῳ ἐν Κύπρῳ τὴν ἑαυτοῦ παρὰ θεοῦ τελευτὴν μεμαθηκὼς πλησιάζουσαν λέγεται εἰρηκέναι τοῖς αὐτὸν παραπέμπουσιν· σπεύδω ἐγώ, σπεύδω, ἀφίημι δὲ ὑμῖν τὰ βασίλεια καὶ τὴν πόλιν καὶ τὴν ὑπόκρισιν. ὅς 5 γε καὶ Ἰωάννῃ τὴν ἐν ἐξορίᾳ τελευτὴν καὶ νίκην ἐδήλωσεν, καὶ Ἰωάννης ὁμοίως Ἐπιφανίῳ τὴν ἐν τῷ πλοίῳ κοίμησιν, ἐκ θείας ἐπιπνοίας ταῦτα προμυηθέντες οἱ μακάριοι, ἵνα μή τις ἔχθραν ἔχειν αὐτοὺς κατ' ἀλλήλων ὑποτοπάσειεν. οὐ γὰρ ἂν οἱ τοιοῦτοι θεηγόροι καὶ θεοφιλεῖς διδάσκαλοι καὶ 10 τοῦ εἰρηνοποιοῦ Χριστοῦ μαθηταὶ γνήσιοι τοῦ φάσκοντος· 497 M. ἐν τούτῳ γνώσονται πάντες ὅτι μαθηταί μοῦ ἐστε, ἐὰν ἀγάπην ἔχετε μετ' ἀλλήλων, ἔχθραν καὶ κακίαν ἔχοντες ἐτελεύτησαν· ἄπαγε. εἰ γὰρ καὶ μικρὸν σκάνδαλον τὸ προρρηθὲν γέγονε μεταξὺ τὴν ἀνθρωπίνην ἀσθένειαν ἐλέγχον 15 πρὸς ὀλίγον, ἀλλ' οὖν γε θᾶττον εἰς τὴν κορυφὴν τῶν ἀρετῶν αὖθις ἀνήχθησαν ἀγάπην, περὶ ἧς λέγει Παῦλος ὁ ἀπόστολος· ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, καὶ ὅτι· ὁ θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ μένει.

1—7 Th. L. *cf.* Exc. Bar. Theoph. *p.* 79, 23 Leo Gr. *p.* 106, 1. — 11 Joh. 13, 35. — 17 1. Cor. 13, 4. — 18 1. Joh. 4, 16. —

3 *ἑαυτὸν* BM. — *σπεύδω ἐγὼ σπεύδω* ABCPRV Exc. Leo. *σπεύδω post ἐγὼ om.* EFN Theoph. — 5 *τὴν ἐξορίαν τελευτὴν* M *et* recc. quidam *τὴν ἐξορία τελευτὴν* D *et* unus e recc. *in utroque ἐν spr. vers. add. τὴν ἐξορίαν καὶ τὴν τελευτὴν* F. — 11 *ὅτι ἐμοὶ μαθ. ἐστέ* FP Joh. — 12 *ἔχετε* (*-ται* AM) ACEFNP *ἔχητε* BV *et* recc. quidam. — 16 *περὶ ἧς π. ὁ ἀπόστ. λέγει* (*ἔφη* M) N.

1 *μετὰ δὲ τὴν ἐξορίαν ἰωάννου πάλιν ἐπιφάνιος ὑποστρέφων ἐν κ.* P. — 2 *πλησιάζ. ἔφη τοῖς παραπέμπουσιν* P. — 3 *σπεύδω μὲν* P. — 7 *οἱ μακάριοι*] *εἰκότως* P. — 13 *Post ἄπαγε* P *add.: τοῦ ἀποστόλου μάλιστα διαρρήδην βοῶντος· μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ ταῖς κακίαις ὑμῶν* (Eph. 4, 26) *ἀκούοντες.* — 16. 17 *ἀνήχθησαν ἀμφότεροι πάντως ἀγάπην εἰς ἑαυτοὺς λέγοντες· ἡ ἀγάπη μακρ.* P.

Μετὰ δέ γε τὴν Ἰωάννου τελευτὴν ἐπίσκοπός τις ἅγιος, Ἀδελφιὸς ὄνομα αὐτῷ, ἔλεγεν ὅτι· λύπην εἶχον ἀφόρητον, διότι ὁ τοιοῦτος ἀνήρ, ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ τοῖς λόγοις εὐφράνας τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἔξω τοῦ θρόνου ἐκοιμήθη. ἐδεόμην οὖν τοῦ θεοῦ μετὰ πολλῶν δακρύων, 5 *ἵνα δείξῃ μοι αὐτὸν ἐν ποίᾳ καταστάσει ἐστίν, καὶ εἰ μετὰ τῶν πατριαρχῶν ἐτάγη. ἐπὶ πολὺν οὖν χρόνον τοῦτο εὐχόμενος ἐν μιᾷ γίνομαι ἐν ἐκστάσει καὶ θεωρῶ ἄνδρα πάνυ εὐειδῆ κρατήσαντά με τῆς δεξιᾶς χειρός, ὃς ἀπαγαγών με εἰς τόπον λαμπρὸν καὶ ὑπερένδοξον ἐδείκνυέ μοι τοὺς τῆς* 10 *ἐκκλησίας διδασκάλους. ἐγὼ δέ, φησίν, περιεσκόπουν ἰδεῖν ὃν καταθυμίως εἶχον, τὸν μέγαν Ἰωάννην, τὸν ἐμὸν ἀγαπητόν. ὡς οὖν ἔδειξέ μοι πάντας καὶ ἑκάστου τὸ ἴδιον ὄνομα εἶπεν, κρατήσας με πάλιν τῆς χειρός μου ἐξήγαγέ με ἔξω. ἐγὼ δὲ λελυπημένος ἠκολούθουν αὐτῷ μὴ ἑωρακὼς* 15 *μετὰ τῶν πατέρων τὸν ἐν ἁγίοις Ἰωάννην. ὡς οὖν ἐξηρχόμην, ὁ ἐφεστὼς τῇ θύρᾳ κατασχών με λέγει μοι· τί ἔχεις; τί λυπεῖ σε; ἐμοῦ δὲ μὴ ἀποκριθέντος αὐτῷ, πάλιν λέγει μοι· οὐδεὶς εἰσερχόμενος ὧδε λυπούμενος ἔνθεν ἐξέρχεται. τότε λέγω αὐτῷ· ταύτῃ μοί ἐστι λύπη, ὅτι τὸν ἐμὸν προσ-* 20

1—*p.* 604, 6 *cf.* Joh. Moschus Pratum *cp.* 128 Migne Tom. 87, 2992. Georg. Alex. l. l. *p.* 254.

1 *γε om.* BCF. — 2 *ἀδέλφιος* recc. quidam *ἀδελφιδὸς* M *ἀδελφειὸς* BV *ἄλφιος* F. — *ἀδ. ὀνόματι ἔλεγεν* N. — 7 *πολὺ* ACER *πολὺν corr. ex πολὺ m. 1 ut vid.* F. — 10 *ἐδείκνυε* CE FLNR Moschus *ἐδείκνυ* ABV. — *τοὺς τῆς εὐσεβείας διδασκάλους καὶ ἀρχιερεῖς τῆς ἐκκλησίας* B (*τοὺς τῆς εὐσεβείας κήρυκας καὶ τῆς ἐκκλησίας διδασκάλους* Mosch.). — 11 *περιεσκόπουν φησίν* V *φησίν om.* BC. — 12 *καταθύμιον* CF. — *ἐμοὶ* BF. — 14 *με om.* CLN. — *μου τῆς χειρὸς* L *μου om.* RV Mosch. — 15 *με om.* FV. — *λελυπημένως* FM *et* recc. quidam *λυπούμενος* A Georg. — 16 *ἐξερχόμην* CMR. — 18 *λυπῇ σε* L *λυπῆσαι* FR *λυπήσαι* C Georg. *λύπησαι* E *λυπησαι* (*sine acc.*) A *λυπεῖσαι ut vid.* D *λελύπησε* M *λυπῇ* (*om. σε*) BV *λελύπησαι* Mur. — 19 *ἐρχόμενος* BR Mosch. — *ἔνθεν*] *ἐντεῦθεν* BF *om.* C Mosch. — 20 *ταύτῃ*] *αὕτη* B Mosch. *et* F *m. 2.* — *ἐμὸν*] *ἐμοὶ* B *om.* C

φιλέστατον Ἰωάννην, τὸν ἐπίσκοπον Κωνσταντινουπόλεως, οὐχ ἑώρακα μετὰ τῶν ἄλλων τῆς ἐκκλησίας διδασκάλων. ὁ δὲ πάλιν λέγει μοι· Ἰωάννην τὸν τῆς μετανοίας λέγεις;
498 M. λέγω αὐτῷ· ναί. ὁ δὲ ἀποκριθεὶς λέγει μοι· ἄνθρωπος
5 ἐκεῖνον ἐν σαρκὶ ὢν ἰδεῖν οὐ δύναται. ἐκεῖ γὰρ παρίσταται, ὅπου ὁ θρόνος ὁ δεσποτικός.

[ι΄. Περὶ Θεοδοσίου τοῦ μικροῦ.]

Μετὰ δὲ Ἀρκάδιον ἐβασίλευσε Θεοδόσιος υἱὸς αὐτοῦ ὁ καὶ καλλιγράφος ἔτη λγ΄. καὶ ἐξελθὼν ἱππασθῆναι ἐν τῷ Κάμπῳ
10 καὶ συμπεσὼν τῷ ἵππῳ ἐτελεύτησεν. ὃς τὸν ἐν Χαλκοπρατείοις ναὸν ἔκτισε τῆς θεοτόκου πρότερον ὄντα συναγωγὴν Ἰουδαίων, καὶ τὸ χερσαῖον τεῖχος τῆς πόλεως καταλύσας καὶ προσθεὶς ἄλλα διαστήματα δύο ᾠκοδόμησεν ἕτερον τεῖχος δι' ἡμερῶν ξ΄. ἐφ' οὗ καὶ οἱ ἐν Ἐφέσῳ μαρτυρήσαντες
15 παῖδες ζ΄ ἐπὶ Δεκίου βασιλέως ἀνέστησαν μετὰ ἔτη τοβ΄. καὶ σεισμὸς ἐγένετο μέγας ἐν Κωνσταντινουπόλει καὶ φοβερώτατος, ὥστε πεσεῖν τὰ τείχη τῆς πόλεως καὶ τὸ πολὺ μέρος
499 M. αὐτῆς ἐν διαφόροις τόποις, καὶ μέντοι καὶ χώρας ἄλλας καὶ κώμας τῆς τε Θρᾴκης καὶ Πόντου καὶ Βιθυνίας καὶ Φρυγίας
20 καὶ Γαλατίας, καὶ ἐπεκράτησεν ὁ σεισμὸς ἐπὶ μῆνας γ΄. διὸ καὶ ὁ βασιλεὺς σὺν τῷ πατριάρχῃ Πρόκλῳ καὶ παντὶ τῷ

9—10 *cf.* Mal. *p.* 366, 20 Leo Gr. *p.* 109, 4. — 10—12 *cf.* Theoph. *p.* 102, 10. — 12—14 Mal.? *cf.* Leo Gr. *p.* 108, 23. — 14—15 *cf.* Theoph. *p.* 88, 31 Leo Gr. *p.* 108, 7. — 16—*p.* 605, 6 *cf.* Mal. 363, 20 Euagr. Hist. eccl. I, 17 Theoph. *p.* 93, 5 Leo Gr. *p.* 110, 23.

4 ἀποκριθεὶς] πάλιν B *om.* F. — 6 ὅπου ἐστὶν CEFNRV Georg. ἐστὶν *om.* ABL Mosch. — 8 ὁ υἱὸς F ὁ μικρὸς υἱὸς M ὁ μικρὸς ὁ υἱὸς R. — 9 ἔτη ιγ΄ P ἔτη μβ΄ R. — 10 χαλκοπρατίοις CELMR. — 13 ἕτερον] ἄλλο N. — 16 μέγας ἐγένετο ἐν κ. RV ἐγένετο ἐν κ. μέγας L. — καὶ φοβερώτατος *om.* BF. — 18 χώρας ἄλλας καὶ κώμας ABFNP κώμας ἄλλας καὶ χώρας CE RV κώμας καὶ ἄλλας χώρας L. — 19 καὶ βιθυνίας ABP *et* recc. quidam καὶ *om.* rell.

πλήθει τῆς πόλεως ἀνυπόδετος ἐλιτάνευεν ἐπὶ πολλὰς ἡμέρας, ἐν αἷς λιτανευόντων αὐτῶν συνέβη παιδίον ἁρπαγῆναι ἐκ τοῦ λαοῦ καὶ μυηθῆναι ὑπ' ἀγγελικῆς τινος διδασκαλίας τὸν τρισάγιον ὕμνον. τοῦ δὲ παιδίου ἀπολυθέντος καὶ τὸ μυηθὲν ἀπαγγείλαντος, καὶ τοῦτο μετ' αὐτοῦ μελῳδησάντων 5 τῶν ὄχλων, παραυτίκα ἐκόπασεν ἡ ἀπειλὴ τοῦ θεοῦ. καὶ Ἀττικὸς ἐπίσκοπος Κωνσταντινουπόλεως Ἰουδαῖόν τινα παράλυτον νουθετήσας εἶτα βαπτίσας ὑγιῆ παραδόξως ἐκ τῆς κολυμβήθρας ἀνήγαγεν. καὶ ἡ τρίτη γέγονε σύνοδος τῶν σʹ πατέρων ἐν Ἐφέσῳ κατὰ Νεστορίου. 10

Τρίτη σύνοδος γέγονεν ἐν Ἐφέσῳ συνελθοῦσα τὸ πρότερον σʹ πατέρων ἔτει τῆς Θεοδοσίου τοῦ μικροῦ βασιλείας υἱοῦ Ἀρκαδίου ιγʹ, ἧς ἡγοῦντο Κύριλλος Ἀλεξανδρείας διέπων καὶ τὸν τόπον Κελεστίνου τοῦ Ῥώμης, Ἰουβενάλιος Ἱεροσολύμων, κατὰ Νεστορίου ἐπισκόπου Κωνσταντινουπόλεως 15 παρόντος καὶ αὐτοῦ ἐν Ἐφέσῳ, λέγοντος μὴ εἶναι θεοτόκον τὴν ἁγίαν Μαρίαν, ἀλλὰ χριστοτόκον, καὶ δύο υἱοὺς ἐπὶ 500 M. τοῦ ἑνὸς Χριστοῦ τοῦ θεοῦ μυθολογοῦντος καὶ δύο ὑποστάσεις, καὶ ἄλλον μὲν εἶναι τὸν λόγον τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, ἕτερον δὲ τὸν ἐκ Μαρίας τεχθέντα ἄνθρωπον, 20

6—10 Th. L.? *cf.* Cram. An. II, 99, 33 Exc. Bar. Theoph. *p.* 81, 17.

1 ἀνυπόδετος LMPRV ἀνυπόδητος CDE ἀνυπόδιτος A ἀνυπόδυτος F ἀνυποδίτως B. — 2. 3 ἐκ τοῦ λαοῦ ἁρπαγῆναι C ἐκ τοῦ λαοῦ *om.* A. — 3 μηνυθῆναι BP. — 5 μηνυθὲν B. — 8 εἶτα] καὶ FLP. — 10 κατὰ νεστορίου *om.* R. — *Post* Νεστορίου AB *add.*: ἀπὸ γοῦν τῆς βʹ ἕως τῆς τρίτης συνόδου (συν. *om.* B) ἔτη μαʹ. *et in mg.* A σύνοδος γʹ. *Similia in mg.* ELN *et* recc. nonnullorum. — 11 τρίτη — ἐν Ἐφέσῳ *om.* C τρίτη — ἐν Ἐφέσῳ *et* σʹ πατέρων *om.* RV τρίτη—πατέρων *om.* FL. — ἡ δὲ τρίτη EN. — σύνοδος *om.* AB. — τὸ *om.* AB. — 12 ἔτι AV. — 14 τοῦ *om.* LN.

2 αὐτῶν *om.* P. — ἁρπαχθῆναι P. — 4—7 καὶ πάλιν ἐπιστραφέντος ἐκ τοῦ ἀέρος τοῦ παιδίου καὶ τὸ μυηθὲν ἀπαγγ. καὶ οὕτω τοῦ λαοῦ ὑμνήσαντος ἡ ἀπ. τοῦ θεοῦ παρευθὺς ἐκόπασεν P. — 6 καὶ Ἀττικὸς — 9 ἀνήγαγεν *post* νεστορίου *v.* 10 *ins.* P. — 9 γέγονε *post* ἐφέσῳ *v.* 10 *ins.* P. — 11—*p.* 606, 22 *om.* P.

κατὰ σχέσιν δὲ ἑνωθέντα τῷ θεῷ λόγῳ, καὶ ὁμωνύμως καὶ αὐτὸν υἱὸν λεγόμενον. τοῦτον προσκληθέντα παρὰ τῆς συνόδου καὶ μὴ ἀπαντήσαντα ἐκκλησιαστικῶς καθελοῦσα ὡς μὴ θελήσαντα τοῖς ὀρθοῖς δόγμασι συνθέσθαι ἀνεθεμάτισεν, 5 *μίαν δὲ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν καθ' ἕνωσιν ὑπόστασιν καὶ δύο φύσεις σαφῶς ἐδογμάτισεν, τὸν αὐτὸν εἶναι θεὸν καὶ ἄνθρωπον, καὶ τὴν ἁγίαν Μαρίαν κυρίως καὶ ἀληθῶς θεοτόκον. Ἰωάννης δὲ ὁ Ἀντιοχείας ἐπίσκοπος μετὰ τὴν Νεστορίου καθαίρεσιν καταλαμβάνει, καὶ λυπηθεὶς ὅτι χωρὶς* 10 *αὐτοῦ καθῃρέθη Νεστόριος παραλαβὼν τοὺς συνελθόντας αὐτῷ ἐπισκόπους, ἐν οἷς ἦν καὶ Θεοδώρητος Κύρου καὶ Ἴβας Ἐδέσσης, καθαίρεσιν ὑπαγορεύει τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ Μέμνονος τοῦ Ἐφεσίων ἐπισκόπου ὡς παρὰ τὸν κανόνα τῆς ἐκκλησίας ποιησάντων τὴν σύνοδον. οἱ δὲ περὶ* 15 *Κύριλλον μέμφονται ὡς ἄθεσμα καὶ ἄτοπα τὰ παρ' αὐτῶν γενόμενα, καὶ οὕτως ἀπὸ τῆς Ἐφεσίων διαφερόμενοι ἀλλήλοις διέστησαν οἵ τε ἀνατολικοὶ καὶ οἱ Αἰγύπτιοι. μετὰ δὲ ταῦτα σπουδῇ τοῦ βασιλέως ἡνώθησαν συμφρονήσαντες καὶ οἱ ἀνατολικοὶ τῇ ἐκτεθείσῃ ἐν Ἐφέσῳ ὀρθοδόξῳ πίστει καὶ* 20 *τῇ κατὰ Νεστορίου καθαιρέσει ἔγγραφον ἐπιστολὴν τοῖς Ἀλεξανδρεῦσι διὰ Παύλου τοῦ ἐπισκόπου Ἐμέσης ἀποστείλαντες. Νεστόριος δὲ ἐξωρίσθη εἰς Ὄασιν.*

501 M. *Βλάσις ὁ τῶν Περσῶν φύλαρχος ἦλθε πολεμῆσαι Θεοδόσιον, ὁ δὲ βασιλεὺς ἀπέστειλε κατ' αὐτοῦ πατρίκιον καὶ*

23—*p.* 607, 12 *cf.* Mal. 364, 3 (*cf.* Leo Gramm. *p.* 108, 9).

11 *κύρον* AB *ἐπίσκοπος κύρου* L *κύρου ἐπίσκοπος* rell. — 12 *ἴβας* CM *ἰβὰς* V. — *ἐδέσης* (-*σις* C) CDFR *αἰδέσης* B. — 13 *μέμνωνος* BLMR *μέμονος* A. — 15 *τὰ om.* CM *in* D *spr. v. m. 1 ut vid.* — 21 *τοῦ om.* BCLR. — *ἐμέσσης* E *ἐδέσσης* R *om.* A. — 22 *ὤασιν* ACM *ὄασιν* EV *όασαν* F. — 23 *καὶ βλ.* BP *βλ. δὲ* RV *κατὰ τοὺς αὐτοὺς χρόνους βλ.* F. — *βλάσις* CPR *βλάσης* L *βλάσιος* ABDFV *βλάσι*ς* (*eras. o ut vid.*) E (*Βλάσσης* Mal.). — 24 *βασιλεὺς θεοδόσιος* LV.

23 *ἐλθὼν πολ. θεοδ. ἀπέστειλεν ὁ βασ. κατ' αὐτ.* P.

στρατὸν ἔνοπλον. τοῦ δὲ παραταξαμένου εἰς πόλεμον, δηλοῖ αὐτῷ ὁ φύλαρχος λέγων· εἰ ἔχεις ἕνα δυνατὸν ἐκ τοῦ λαοῦ σου δυνάμενον μονομαχῆσαι καὶ νικῆσαι Πέρσην ἕνα μονομάχον εὐθέως ποιῶ τὰ πάκτα τῆς εἰρήνης ἐπὶ χρόνους ν΄, εἰ δὲ ἡττηθείη λαμβάνειν με κεντηνάρια ν΄. καὶ οὕτως 5 *ὁ μὲν Πέρσην κατάφρακτον, ὁ δὲ Γότθον κόμητα ἐνόπλους μεταξὺ τοῦ πλήθους παραστήσαντες εἰς μονομαχίαν, πρῶτος ὁ Πέρσης ὥρμησε δορυφόρος. ὁ δὲ Γότθος δεξιὸν πλαγιάσας ἐσόκευσεν αὐτὸν κατὰ τὸ Γοτθικὸν ἔθος καὶ τοῦτον ἐκ τοῦ ἵππου καταγαγὼν αὐτίκα ἔσφαξεν. καὶ τούτου γεγο-* 10 *νότος ἐποίησεν ὁ Περσῶν φύλαρχος εἰρήνης πάκτα κατὰ τὴν ὑπόσχεσιν αὐτοῦ.*

Τοῦ βασιλέως κυνηγῆσαι ἐξελθόντος, τοὺς σὺν αὐτῷ πάντας διαλαθὼν ἦλθε διὰ μακρᾶς ὁδοῦ πρός τινα μοναχὸν ἐν κελλίῳ καθεζόμενον πλησίον τῶν προαστείων Κωνσταν- 15 *τινουπόλεως· ὃν ὁ γέρων ἐπέγνω μέν, ἐδέξατο δὲ ὡς ἕνα τῶν στρατιωτῶν. τοῦ δὲ βασιλέως ἐκ τῆς ὁδοῦ καὶ τοῦ καύσωνος ὀλιγωρήσαντος, ἔβρεξεν ἄρτους ὁ γέρων, καὶ βαλὼν ὄξος καὶ ἔλαιον, ἔφαγεν ὁ βασιλεὺς καὶ ἔπιεν ὕδωρ. καί φησιν ὁ βασιλεύς· οἶδας, τίς εἰμι, πάτερ; ὁ δὲ μοναχὸς* 20 *εἶπεν· ὁ θεὸς οἶδέ σε. καὶ ὁ βασιλεὺς ἔφη· ἐγώ εἰμι Θεοδόσιος ὁ βασιλεύς. καὶ ἀναστὰς εὐθὺς ὁ γέρων προσεκύνησεν αὐτόν. εἶπεν οὖν ὁ βασιλεύς· μακάριοι καὶ τρισμα-*

---

5 *ἡττηθεῖ* F *ἡττηθῇ* B. — 9 *ἐσώκευσεν* AEF *ἐσσόκευσεν ut vid.* B. — *τὸ om.* BCV. — 13 *τοῦ δὲ βασιλέως* FR *τοῦ οὖν βασ.* L *τοῦ βασ. ποτὲ θεοδοσίου* V. — 22 *εὐθὺς om.* RV.

1 *ὃς παραταξάμενος, ἐδήλωσεν ὁ φύλαρχος αὐτῷ λέγων* P. — 4 *ἐπὶ χρόνους*] *ἔτη* P (*ἐπὶ ἔτη* Mal.). — 6 *κατάπληκτον* P. — *γόθθον et sic deinceps* P. — 7 *πρῶτος μὲν ὁ* P. — 8 *δορυφόρως* P. — 10—11 *αὐτίκα καὶ σφάξας ἐποίησεν* P. — 12 *αὐτοῦ om.* P. — 13—14 *καὶ ὁ βασιλεὺς ἐξελθὼν κυνηγῆσαι καὶ τοὺς σ. αὐτ. διαλαθὼν* P. — 17 *καὶ τοῦ βασιλέως* P. — 18 *καύματος* P. — 20 *ὁ βασιλεύς om.* P. — *μοναχὸς om.* P. — 22—23 *ὁ γέρων καὶ προσκυνήσας καὶ ἐπευξάμενος αὐτῷ ὁ βασιλεὺς αὐτὸν ἀντησπάσατο* (*ἀντεσπ.* cod.) *γνησίως λέγων· μακάριοι* P.

502 M. κάριοί ἐστε ὄντως ὑμεῖς οἱ μοναχοὶ καὶ ἀμέριμνοι τοῦ κόσμου. ἐπ' ἀληθείας γὰρ λέγω σοι, πάτερ, ὅτι ἐν τῷ παλατίῳ ἐγεννήθην καὶ οὐδέποτε μεθ' ἡδονῆς ἀπήλαυσα βρώσεως καὶ πόσεως ὡς σήμερον. τοῦ δὲ λαοῦ φθάσαντος, 5 καὶ ἐνώπιον πάντων ἀξιοπρεπῶς τιμήσαντος τὸν γέροντα καὶ πάντας ἀξιωθῆναι τῆς εὐχῆς αὐτοῦ κελεύσαντος τοῦ βασιλέως, ἀνεχώρησεν εἰς τὴν ὁδὸν αὐτοῦ μετ' εἰρήνης, καὶ ἤρξατο ἀπὸ τότε τιμᾶν αὐτὸν ὁ βασιλεύς. ὁ δὲ γέρων ἀναστὰς ἔφυγε καὶ πάλιν ἦλθεν εἰς Αἴγυπτον.

10 Περὶ δέ γε τῆς γυναικὸς Θεοδοσίου τοῦ βασιλέως Εὐδοκίας οὕτω συμβέβηκεν. φιλόσοφός τις ἐν τῇ Ἑλλάδι ἔχων υἱοὺς γ' καὶ θυγατέρα μίαν τελευτῶν τοῖς μὲν υἱοῖς κατέλιπε τὴν περιουσίαν αὐτοῦ πᾶσαν, τῇ δὲ θυγατρὶ νομίσματα ρ', οὕτως εἰρηκὼς ἐνδιαθήκως· Ἀθηναΐδι τῇ ποθεινοτάτῃ μου 15 θυγατρὶ θέλω δοθῆναι νομίσματα ρ' καὶ μόνον· ἀρκεῖ γὰρ αὐτῇ ἡ αὐτῆς τύχη. ἥτις μετὰ τὴν τοῦ πατρὸς τελευτὴν μηδὲν λαβοῦσα παρὰ τῶν ἀδελφῶν ἦλθε πρὸς τὴν Πουλ- 503 M. χερίαν ἀδελφὴν Θεοδοσίου κατεγκαλοῦσα. ἡ δὲ θεασαμένη τὸ εὐπρεπές τε καὶ ἐλλόγιμον αὐτῆς καὶ μαθοῦσα παρὰ τῆς 20 θείας αὐτῆς ὅτι παρθένος ἐστὶν βαπτίζει ταύτην (ἦν γὰρ

10—*p.* 609, 6 *cf.* Mal. *p.* 353, 7 Chron. Pasch. *p.* 576, 4.

1 ὑμεῖς ὄντως οἱ μον. P ὄντως οἱ μον. ὑμεῖς A ὑμεῖς *post* μακάριοι *p.* 607, 23 *ins.* L. — 4 ὡς ABP καθὼς rell. — 5 πάντων αὐτῶν A αὐτῶν πάντων B. — τιμήσας BF τιμήσας ὁ βασιλεὺς L. — 8 ἀποτότε AL ἔκτοτε BF. — 10 γε *om.* FRV. — τοῦ βασιλέως θεοδοσίου V τοῦ βασιλέως *om.* P. — 12 κατέλειπε DPR. — 13 τὴν δὲ θυγατέρα BP. — 17 πρὸς] εἰς ABR. — 19 τε *om.* EV.

1 τοῦ ματαίου κόσμου καὶ τῆς θείας χάριτος ἔμπλεοι P. — 2 ἐν τῷ παλατίῳ ἀνατραφεὶς οὐδέποτε P. — 5—9 ἐνώπιον πάντων ὁ βασιλεὺς ἀξιοπρ. τιμήσας αὖθις τὸν γέροντα καὶ πάντας ἀξ. τῆς εὐχ. αὐτ. κελεύσας ἔφυγεν ὁ γέρων εἰς αἴγ. αἰσθόμενος τὸν βασιλέα βουλόμενον (-ος cod.) αὐτὸν εἰς τὰ βασίλεια προσκαλέσασθαι P. *Alia addit cod. seorsim edenda.* — 14 οὕτως *om.* P.

Ἑλληνὶς) καὶ Εὐδοκίαν μετωνόμασε καὶ συνῆψεν αὐτὴν τῷ ἀδελφῷ αὐτῆς πρὸς γάμον, συνευδοκοῦντος καὶ τοῦ προσφιλεστάτου καὶ συνανατρόφου αὐτοῦ Παυλίνου, ὃς καὶ γενόμενος μάγιστρος ἐτιμήθη μειζόνως ὡς συνεργὸς καὶ παράνυμφος. καὶ μέντοι καὶ τοὺς ἀδελφοὺς αὐτῆς μεταστειλαμένη ἀξιωματικοὺς ἐποίησεν. μετὰ δὲ ταῦτα συνέβη προελθεῖν τὸν βασιλέα κατὰ τὴν ἡμέραν τῶν θεοφανίων, καὶ Παυλῖνον ἀηδισθέντα μὴ εὑρεθῆναι μετὰ τοῦ βασιλέως. ἐπέδωκεν οὖν τις πένης τῷ βασιλεῖ μῆλον φρυγιάτικον μέγα σφόδρα, ὅπερ δεξάμενος ὁ βασιλεὺς καὶ θαυμάσας καὶ πᾶσα ἡ σύγκλητος, ἔδωκε τῷ πένητι νομίσματα ρν', τὸ δὲ μῆλον ἀπέστειλε τῇ βασιλίσσῃ, ἡ δὲ τῷ Παυλίνῳ, ὁ δὲ τῷ βασιλεῖ εἰσερχομένῳ ἐν τῷ παλατίῳ. καὶ τοῦτο δεξάμενος καὶ ἐπιγνοὺς ἐζήτησεν αὐτὸ παρὰ τῇ βασιλίσσῃ. ἡ δὲ εἶπεν ὅτι· ἔφαγον αὐτό. καὶ ὁρκίσας αὐτὴν κατὰ τῆς ἑαυτοῦ σωτηρίας ἠρνήσατο ἐνωμότως. τότε ὑπέδειξεν αὐτῇ τὸ μῆλον, ἡ δὲ ἰδοῦσα αὐτὸ κατῃσχύνθη καὶ ἔμεινεν ἄφωνος. ὁ δὲ βασιλεὺς ὀργισθεὶς κατ' αὐτῆς ὡς ὅτι ἐρῶσα τοῦ Παυλίνου τὸ μῆλον ἔπεμψεν αὐτῷ καὶ διὰ τοῦτο ἠρνήσατο, παραυτίκα τὸν Παυλῖνον ἀνεῖλεν. ἡ δὲ βασίλισσα Εὐδοκία ἐπὶ τούτοις λυπηθεῖσα τὸν βασιλέα παρεκάλεσεν εἰς Ἱεροσόλυμα αὐτὴν ἀποσταλῆναι εὐχῆς χάριν. ὁ δὲ εἴξας τῇ αὐτῆς αἰτήσει τὴν ἐπιθυμίαν αὐτῆς ἐξεπλήρωσεν. τῆς δὲ παραγενομένης, πολλὰ 501 M.

6—*p.* 610, 6 *cf.* Mal. *p.* 356, 17 Chron. Pasch. *p.* 584, 5 Theoph. *p.* 99, 17 Leo Gr. *p.* 106, 16.

1 *μετωνομάσασα συνῆψεν* V (*cf.* P). — *τῷ ἀδελφῷ αὐτῆς* ABP *τῷ ἰδίῳ ἀδελφῷ* rell. — 3 *ὃς καὶ γενόμενος* ABP *καὶ om.* rell. — 5 *μεταστειλάμενος* BR. — 9 *φρυγιάτικον* DLPV (Malalae cod. Oxon.) *φρύγιον* A Chron. Pasch. *φρυγιατικὸν* rell. — 14 *παρὰ τῆς βασιλίσσης* BC *et* recc. quidam. — 16 *ἐνωμώτως* F *ἐνομότως* ACLR *ἐνομώτως* BD. — 18 *ὡς* ABP *καὶ* CDELRV *om.* F. — 20 *βασίλισσα* ABCF *βασιλὶς* (-*λεὶς* L) DELRV. — 23 *παραγεναμένης* CV.

1 *μετωνομάσασα συνάπτει τῷ ἀδ.* P. — 6 *Inde a verbis μετὰ δὲ ταῦτα omnino aliter narrat* P.

καὶ μεγάλα κατορθώματα πεποίηκεν ἀνανεώσασα καὶ τὰ τείχη Ἱερουσαλήμ. εἰς λόγους δέ τινας ἐρχομένης αὐτῆς πρός τινας καὶ τοῦτο ἔλεγεν· περὶ ἐμοῦ Δαυὶδ εἴρηκεν· ἀγάθυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη 5 *Ἱερουσαλήμ. ἐν δὲ τῷ μέλλειν αὐτὴν τελευτᾶν ἐξωμολογήσατο μὴ συνειδέναι τῇ κατ' αὐτῆς περὶ Παυλίνου κατηγορίᾳ.*

[*ια'. Περὶ Μαρκιανοῦ.*]

Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσε Μαρκιανὸς ἔτη ϛ'. τοῦ γὰρ Θεοδοσίου τελευτήσαντος, καὶ μήπω τοῦτό τινι γνωσθέν, 10 *μεταστειλαμένη τοῦτον Πουλχερία ἡ τοῦ βασιλέως ἀδελφὴ στρατιώτην ὄντα καὶ γέροντα καὶ ἐν σωφροσύνῃ καὶ σεμνότητι βίου διαπρέποντά φησι πρὸς αὐτόν· ἐπειδὴ ὁ βασιλεὺς ἐτελεύτησεν, ἐγὼ δέ σε ἐξελεξάμην ἐκ πάσης τῆς συγκλήτου ὡς ἐνάρετον, δός μοι λόγον ὅτι φυλάττεις μου τὴν παρ-* 15 *θενίαν ἄσυλον, ἣν τῷ θεῷ ἀνεθέμην, καὶ ἀναγορεύσω σε βασιλέα. τοῦ δὲ συνθεμένου τοῦτο μεθ' ὅρκου, προσκαλεῖται τὸν πατριάρχην καὶ τὴν σύγκλητον καὶ ἀναγορεύει αὐτὸν βασιλέα. πολλὰ οὖν ποιήσασα κατορθώματα καὶ πολλοὺς* 505 M. *εὐκτηρίους οἴκους καὶ πτωχοτροφεῖα καὶ ξενῶνας καὶ ξενο-* 20 *τάφια καὶ μοναστήρια, ἐν οἷς καὶ τὸν τοῦ ἁγίου Λαυρεντίου ναόν, οἰκοδομήσασα ἐτελεύτησε παρθένος καταλιποῦσα Μαρκιανὸν βασιλεύειν. καὶ γὰρ ἦν ὄντως πάσης ἀρετῆς κεκοσμη-*

3 Psalm. 50 (51), 20. — 8—18 Theoph. *p.* 103, 8. — 18—22 Theoph. *p.* 106, 29 *cf.* Th. L. I, 5 Cram. An. II, *p.* 89, 28 Exc. Bar. — 22—*p.* 611, 5 Th. L. *cf.* Cram. An. l. l. Exc. Bar. Theoph. *p.* 81, 5.

9 *τινὶ τοῦτο γνωσθέντος* L *τοῦτο γνωσθέντος* (*om. τινὶ*) V *τινὶ γνωσθέντος* (*om. τοῦτο*) F *τινὶ γνωσθέν* (*om. τοῦτο*) R. — 13 *ἐξελεξάμην σε* DR. — 14 *φυλάττεις* (-*ης* P) ABP Theoph. *φυλάσσεις* (-*ης* CN -*η* E) CELNRV *φυλάξῃς* F. — 19 *πτωχοτροφία* ACLMP. — 21 *καταλειποῦσα* ACD *καταλείπουσα* E. — 22 *πάσης ἀρετῆς* CDEP *et* recc. quidam *πάσῃ ἀρετῇ* ABLV *et* recc. alii Exc. de virt. *πάσαις ἀρεταῖς* F.

15 *ἄσυλον om.* P Theoph. — *ἀναγορεύω* P Theoph.

μένη, ὡς καὶ τὸν ἀδελφὸν Θεοδόσιον ἐκπαιδεύειν εἰς πάντα οἷον ἦθός τε καὶ λόγον καὶ βάδισμα καὶ γέλωτα καὶ ἐνδυμάτων περιβολὴν καὶ σχῆμα καθέδρας καὶ στάσεως, προηγουμένως δὲ τὴν εἰς τὸ θεῖον εὐσέβειαν ἐπιμελῶς αὐτὸν ἐδίδασκεν. ὁ δὲ φύσει νωθρός τε καὶ ἀπερίσκεπτος εἰς 5 *πάντα μὲν ὑπῆρχεν, μάλιστα δὲ εἰς τοὺς ὑποβάλλοντας αὐτῷ χάρτας ἀπαραναγνώστως ὑπέγραφεν. ὅπερ ἡ σοφωτάτη γνοῦσά ποτε Πουλχερία σοφῶς ὑπῆλθεν αὐτὸν δωρεὰν ὑποβαλοῦσα δῆθεν πρὸς δουλείαν ἐκχωροῦσαν τὴν ἑαυτοῦ γαμετὴν Εὐδοκίαν. ἣν καὶ καθυπογράψας μὴ πρότερον ἀναγνοὺς* 10 *ὕστερον δεινῶς ὠνειδίζετο παρὰ τῆς Πουλχερίας.*

Ὁ μέντοι Μαρκιανὸς εὐσεβὴς ἄγαν καὶ δικαιοκρίτης ὑπάρχων ἐκέλευσεν ἄρχοντα ἐπὶ δόσει χρημάτων μὴ γίνε- 506 M. *σθαι. οὐ μὴν δὲ ἀλλὰ καὶ πολλῆς ἐλεημοσύνης ἀνάπλεως ὢν ἐν ταῖς γινομέναις ἐν τῷ Κάμπῳ λιταῖς πεζὸς ἐξήρχετο* 15 *σὺν τῷ πατριάρχῃ Ἀνατολίῳ πολλὰς δωρεὰς τοῖς πένησι παρεχόμενος. ἐφ' οὗ ἔπεσον ἐκ τοῦ οὐρανοῦ λίθοι τρεῖς ἐν τῇ Θράκῃ παμμεγέθεις, καὶ ἡ τετάρτη γέγονε σύνοδος τῶν χλ' πατέρων ἐν Χαλκηδόνι κατὰ Διοσκόρου Ἀλεξανδρείας.*

Τετάρτη γέγονεν ἐν Χαλκηδόνι σύνοδος συνελθόντων 20

5—11 Th. L.? *cf.* Theoph. *p.* 101, 13 Leo Gr. *p.* 110, 4. — 12—13 Th. L. I, 2. — 14—17 Th. L. I, 6 *cf.* Cram. An. II *p.* 101, 24 Theoph. *p.* 109, 27.

3 *προηγουμένως δὲ* ABPR Exc. *καὶ προηγ. δὲ* CDELV *καὶ προηγ.* F. — 5 *τε om.* AB. — 5. 6 *εἰς πάντα μὲν ὑπῆρχεν* ABP Exc. *ὑπῆρχε* (*ὑπάρχων* F) *μὲν εἰς πάντα* rell. — 7 *ἀπαραγνώστως* ABV *ἀπαναγνώστως* F. — 7. 8 *γνοῦσα τότε πουλχ.* F *γνοῦσα πουλχ. ποτὲ* V *ποτὲ γνοῦσα πουλχ.* R *ποτε om.* A. — 8 *αὐτῷ* ARV. — *ὑποβαλοῦσα* CDPV *ὑποβαλλοῦσα* B *ὑποβάλλουσα* AEFLR *ὑπολαβοῦσα* Exc. — 9 *ὑποχωροῦσαν* RV. — 10 *καὶ om.* PR. — 14 *ἀνάπλεος* ACEF. — 19 *χαλχηδόνι* BV. — *κατὰ διοσκ. ἀλεξ. om.* R. — *ἀπὸ γοῦν τῆς γ' συνόδου ἕως τῆς δ' ἔτη λ' add.* AB. *Similia in mg.* ELN *et* recc. quidam. — 20—*p.* 612, 20 *om.* F. — 20 *τετάρτη — p.* 612, 1 *πατέρων om.* CLR. — *καλχηδόνι* BDV. — *σύνοδος om.* AB.

1 *εἰς πάντα μὲν ἐξεπαίδευσεν* P. — 4 *αὐτὸν ἐπιμελῶς* P. — 8 *πουλχειρία et* 11 *πουλχειρίας* P. — 20—*p.* 612, 20 *om.* P.

χλ΄ πατέρων ἔτει τῆς Μαρκιανοῦ βασιλείας πρώτῳ, ἧς
507 M. *ἡγοῦντο Λέοντος μὲν τοῦ ἁγιωτάτου πάπα Ῥώμης ⟨τοποτηρηταὶ⟩ Πασχάσιος καὶ Λουκίνσιος ἐπίσκοποι καὶ Βονιφάτιος πρεσβύτερος, Ἀνατόλιος Κωνσταντινουπόλεως, Ἰουβενάλιος*
5 *Ἱεροσολύμων, κατὰ Εὐτυχοῦς τοῦ γεγονότος ἀρχιμανδρίτου καὶ Διοσκόρου γεγονότος ἐπισκόπου Ἀλεξανδρείας τότε ὑπ' αὐτῆς καθαιρεθέντος ὡς ἀντενεχθέντος τοῖς ὀρθῶς παρ' αὐτῶν ἐκφωνουμένοις, λεγόντων μὴ εἶναι τὴν σάρκα τοῦ κυρίου ὁμοούσιον ἡμῖν, ἀλλ' ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν*
10 *γενέσθαι, μίαν δὲ ἀποτελεσθῆναι μετὰ τὴν ἕνωσιν, καὶ ὡς ἐν φαντασίᾳ τὴν σάρκα φορέσαι τὸν κύριον μυθολογούντων καὶ τῇ θεότητι τὰ πάθη προσνεμόντων. οὓς καθελόντες ὡς βλασφήμους ἀνεθεμάτισαν, ἐξεφώνησαν δὲ τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν ἐν δύο φύσεσιν ἀσυγχύτως*
15 *ἀδιαιρέτως τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν. δύο δὲ εἰρήκασι φύσεις τῷ λόγῳ τῆς διαφορᾶς, οὐ τῷ λόγῳ τῆς διαιρέσεως, τήν τε τοῦ Ῥώμης πάπα Λέοντος ἐπιστολὴν πρὸς Φλαβιανὸν γραφεῖσαν ὡς στήλην ὀρθοδοξίας ἐδέξαντο. ἐπικυροῦσι δὲ καὶ τὴν Νεστορίου καθαίρεσιν, ἐδέξαντο δὲ καὶ*
20 *Θεοδώρητον καὶ Ἴβαν ὡς ἀναθεματίσαντας Νεστόριον.*

Συμεὼν ὁ θαυμάσιος ἐπιβὰς τῷ στύλῳ, ἡ σύνοδος ἐπιμεμψαμένη (πρῶτος γὰρ τοῦτο ἐπενόησεν) ἀκοινωνησίαν αὐτῷ ἔπεμψεν. εἶτα μαθόντες οἱ θεῖοι πατέρες τὸν βίον καὶ τὸ ἄτυφον τοῦ ἀνδρὸς πάλιν αὐτῷ ἐκοινώνησαν. πρὸς
25 *ὃν ὁ βασιλεὺς Μαρκιανὸς ἐν ἰδιωτικῷ σχήματι παραγενό-*
508 M. *μενος τῆς ἱερᾶς εὐχῆς αὐτοῦ καὶ θέας κατηξίωται. περὶ οὗ*

26—*p.* 615, 8 Theodoret. Hist. relig. *cp.* 26 Migne Tom. 82, 1473.

2 *τοποτηρηταὶ add.* Mur. — 5 *ἀρχιμανδρίτου* — 6 *γεγονότος om.* V. — 6 *γεγονότος om.* CL. — 11 *φορέσαι τὴν σάρκα* CM. — 15 *A verbis δύο δὲ εἰρήκασι in ordinem redit cod.* G. — 18 *ἐδέξατο* AC. — 21 *καὶ συμεὼν ὁ* P *σ. δὲ ὁ* BG *καὶ σ. δὲ ἦν ὁ* V *ἐν τούτῳ τῷ ἔτει σ. ὁ* F. — 21 *ὃν ἡ* FV *καὶ ἡ* G. — 25 *μαρκιανὸς om.* NP. — 26 *αὐτοῦ εὐχῆς* AB *αὐτοῦ om.* M. — *καταξιοῦται* FM *ἠξίωται* P.

καὶ Θεοδώρητός φησιν· ἐπειδὴ τοίνυν ἀριθμοῦ κρείττους οἱ ἀφικνούμενοι, προσψαύειν δὲ πάντες ἐπεθύμουν καί τινα εὐλογίαν ἐπεχείρουν τρυγᾶν ἀπὸ τῶν δερματίνων ἐκείνων ἱματίων, πρῶτον μὲν τῆς τιμῆς τὸ ὑπερβάλλον ἄτοπον εἶναι νομίζων, ἔπειτα δὲ καὶ τοῦ πράγματος τὸ ἐπίπονον δυσχε- 5
ραίνων τὴν ἐπὶ τοῦ κίονος ἐμηχανήσατο στάσιν, ὃν πρῶτον μὲν ἐκέλευσε γενέσθαι πηχῶν ϛ΄, εἶτα ιβ΄ καὶ μετὰ ταῦτα κβ΄, νῦν δὲ λϛ΄. ἐγὼ δὲ οὐδὲ τῆς θείας οἰκονομίας ἄνευ ταύτην ὑπολαμβάνω γενέσθαι τὴν στάσιν, οὗπερ εἵνεκα τοὺς μεμψιμοίρους παρακαλῶ χαλινῶσαι τὴν γλῶσσαν καὶ μὴ 10
ῥιψοκινδύνως φθέγγεσθαι καὶ σκοπεῖν, ὡς πολλάκις τοιαῦτα ὁ θεὸς τῶν ῥαθυμοτέρων ἕνεκεν ὠφελείας ἐμηχανήσατο. καὶ γὰρ τὸν Ἡσαΐαν γυμνὸν καὶ ἀνυπόδητον βαδίσαι προσέταξεν, καὶ τὸν Ἱερεμίαν περίζωμα τῇ ὀσφύϊ περιθεῖναι καὶ οὕτω τοῖς ἀπειθοῦσι προσφέρειν τὴν προφητείαν, καὶ ἄλλοτε δὲ 15
κλοιοὺς ξυλίνους καὶ σιδηροῦς μετὰ ταῦτα περιβαλεῖν τῷ τραχήλῳ, καὶ τῷ Ὡσηὲ γυναῖκα πόρνην λαβεῖν καὶ πάλιν ἀγαπῆσαι γυναῖκα πονηρὰν καὶ μοιχαλίδα, καὶ τῷ Ἰεξεκιὴλ ἐπὶ τοῦ δεξιοῦ πλευροῦ ἡμέρας μ΄ καὶ ἐπὶ τοῦ εὐωνύμου ρν΄ κατακλιθῆναι, καὶ αὖθις διορύξαι τὸν τοῖχον καὶ φυγόντα 20
ἐξελθεῖν καὶ αἰχμαλωσίαν ἐν ἑαυτῷ διαγράψαι, καὶ ἄλλοτε δὲ ξίφος εἰς ἀκμὴν παραθῆξαι καὶ ξυρᾶσθαι τούτῳ τὴν

---

13 Jes. 20, 2. — 14 Jer. 1, 17. — 15 Jer. 28 (35), 13. — 17 Hos. 1, 2; 3, 1. — 18 Ez. 4, 4 *sqq.* — 20 Ez. 12, 5. — 21 Ez. 5, 1.

2 καὶ — 3 τρυγᾶν *om.* C. — 3 ἐπεχείρουν] ἐπεθύμουν *repetit* D *om.* BM (*qui exhibet:* πάντες ἐπιθύμουν τρυγᾶν καί τινα εὐλ. ἀπὸ). — 9 ἕνεκα ABE. — 13 ἀνυπόδετον MRV ἀνυπόδυτον F. — 17 ὠσηὲ F *et* recc. quidam ὀσιὲ ACM. — 18 ἰεζεκιὴλ ACFMP. — 19 εὐωνύμου ABP Theod. ἀριστεροῦ rell. Ez. — 21 ἐν ἑαυτῷ BP Theod. ἐναυτῷ A ἑαυτῷ rell. — 22 παραθῆξαι A παραθῆναι CF. — ξυράσθαι F ξύρασθαι N.

2 πάντες ἐπεχείρουν καί τινα εὐλ. ἀπὸ τ. δερμ. ἐκείν. ἱματ. τρυγᾶν P Theod. — 6 ἐμηχανάτω P. — 10 χαλινῶ χαλινῶσαι P. — 15 ἀπειθέσι P Theod. — 21 καὶ *ante* ἄλλοτε *om.* P. — 22 τοῦτο P.

κεφαλὴν καὶ τετραχῇ τὰς τρίχας διελεῖν καὶ ἀπονεῖμαι τὰ μὲν εἰς τόδε, τὰ δὲ εἰς τόδε, καὶ ἵνα μὴ πάντα λέγω. γίνεσθαι δὲ τούτων ἕκαστον προσέταττεν ὁ τῶν ὅλων πρύτανις τοὺς λόγῳ μὴ πειθομένους μηδὲ προφητείας ἐπαΐειν 5 ἀνεχομένους τῷ τῆς θεωρίας παραδόξῳ συλλέγων καὶ τῶν θεσπισμάτων ἀκούειν παρασκευάζων. τίς γὰρ οὐκ ἂν ἐξεπλάγη θεῖον ἄνθρωπον γυμνὸν ὁρῶν βαδίζοντα; τίς δὲ οὐκ 509 M. ἂν ἤρετο, τί δήποτε πόρνῃ συνοικεῖν ὁ προφήτης ἀνέχεται; ὥσπερ οὖν ἐκείνων ἕκαστον ὁ θεὸς γενέσθαι προσέταξε τῆς 10 τῶν ῥαστώνῃ συζώντων προμηθούμενος ὠφελείας, οὕτω δὴ καὶ τὸ καινὸν τοῦτο καὶ παράδοξον ἐπρυτάνευσε θέαμα τῷ παραδόξῳ καὶ ξένῳ πάντας ἕλκων εἰς θεωρίαν καὶ πιθανὴν τοῖς ἀφικνουμένοις παρασκευάζων τὴν προσφερομένην παραίνεσιν. τὸ γὰρ καινὸν τοῦ θεάματος ἐνέχυρον ἀξιόχρεον 15 γίνεται τοῦ διδάγματος, καὶ ὁ εἰς θεωρίαν ἀφικνούμενος τὰ θεῖα παιδευθεὶς ἐπανέρχεται. καθάπερ γὰρ ἐπί τινος λυχνίας τεθεὶς ὁ φανώτατος οὗτος λύχνος ἡλίου δίκην πάντοθεν τὰς ἀκτῖνας ἐξέπεμψεν, καὶ ἔστιν ἰδεῖν καὶ Ἴβηρας καὶ Ἀρμενίους καὶ Πέρσας ἀφικνουμένους καὶ τοῦ θείου 20 βαπτίσματος ἀπολαύοντας, Ἰσμαηλῖται δὲ κατὰ συμμορίας παραγινόμενοι διακόσιοι κατὰ ταὐτὸν καὶ τριακόσιοι, ἔστι δ' ὅτε καὶ χίλιοι, ἀρνοῦνται μὲν τὴν πατρῴαν ἐξαπάτην μετὰ φωνῆς καὶ τὰ ὑπ' ἐκείνων σεβασθέντα εἴδωλα πρὸ τοῦ θείου κίονος ἐκείνου συντρίβοντες καὶ τοῖς ὀργίοις 25 Ἀφροδίτης ἀποταττόμενοι (τούτου γὰρ ἀνέκαθεν τοῦ δαίμονος κατεδέξαντο τὴν λατρείαν) τῶν θείων ἀπολαύουσι

1. 2 τὰς μὲν — τὰς δὲ BF Theod. τὸ μὲν — τὸ δὲ R. — 2 καὶ *abundat.* — καταλέγω V Theod. — 3 δὲ] δὴ B *om.* FM. — 5 παραδόξως FV. — 12 πιθανὴν BPV πειθανὴν (-ανεῖν CM -άνην G) rell. — 14 ἀξιόχρεων BRV. — 17 φανότατος BRV. — 21 παραγενόμενοι (-νάμενοι M *et* recc. quidam) CFMR. — κατὰ ταὐτὸν ACDEP Theod. κατ' αὐτὸν BGMV κατ' αὐτὸ FR. — 22 ἀπάτην BF.

4 τῆς προφητείας P Theod. — 17 λύχνος οὗτος P.

μυστηρίων, νόμους δὲ παρὰ τῆς ἱερᾶς ἐκείνης δεχόμενοι γλώττης τοῖς τε πατρῴοις ἤθεσι χαίρειν φράζουσι καὶ τῶν ἀγρίων ὄνων καὶ τῶν καμήλων τὴν βρῶσιν ἀποτάσσονται. καὶ τούτων αὐτόπτης ἐγενόμην ἐγὼ καὶ ἀκήκοα τὴν πατρῴαν ἀσέβειαν ἀρνουμένων καὶ τῇ εὐαγγελικῇ διδασκαλίᾳ 5 *συντιθεμένων. τοσαύτην οὖν ὁ ὑπὸ τῶν φιλοψόγων ψεγόμενος κίων ὠφέλειαν ἀνέβλυσε καὶ τοσαύτην ἀκτῖνα θεογνωσίας εἰς τὰς βαρβάρων διανοίας κατέλαμψεν. εἰκότως τοίνυν ἔλεγεν ὁ κύριος· ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει. ἧς* 10 *ἐπαγγελίας τὸ τέλος ἐναργῶς ἐθεασάμεθα. τῆς γὰρ τοῦ* 510 M. *κυρίου σκιᾶς οὐδαμοῦ θαῦμα ἐργασαμένης, ἡ τοῦ μεγάλου Πέτρου σκιὰ θάνατον ἔλυσε καὶ νόσους ἐξήλασε καὶ δαίμονας ἐφυγάδευσεν. ἀλλ' ὁ ἐκεῖνα καὶ τὰ τοιαῦτα διὰ τῶν ἀποστόλων αὐτοῦ δράσας τέρατα τότε καὶ νῦν ὁ αὐτὸς διὰ* 15 *τοῦ θεράποντος αὐτοῦ Συμεῶνος ἐνεργεῖ θαύματα τῇ τοῦ ἁγίου πνεύματος αἴγλῃ καταλαμπόμενος καὶ πανταχοῦ τὰς τῆς χάριτος ἀκτῖνας ἐκπέμπων κατὰ τὸν μέγαν Βασίλειον. φησὶ γάρ· ὥσπερ τὰ λαμπρὰ καὶ διαφανῆ τῶν σωμάτων ἀκτῖνος αὐτοῖς ἐμπεσούσης αὐτά τε γίνεται περιλαμπῆ καὶ* 20 *ἑτέραν αὐγὴν ἀφ' ἑαυτῶν ἀποστίλβει, οὕτως αἱ πνευματοφόροι ψυχαὶ ἐλλαμφθεῖσαι παρὰ τοῦ πνεύματος αὐταί τε ἀποτελοῦνται πνευματικαὶ καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσιν. ἐντεῦθεν μελλόντων πρόγνωσις, μυστηρίων σύνεσις, κεκρυμμένων κατάληψις, χαρισμάτων διανομή, τὸ* 25

8—18 Theodoret. *ib. paullo post.* — 9 Joh. 14, 12. — 19—*p.* 616, 3 Basil. de spir. sancto IX, 23 Migne Tom. 32, 109.

2 *ἔθεσι* BF Theod. — 6 *φιλοψύχων* BM. — *ψευδόμενος κίων* B *κ. ψεγόμενος* R *κ. λεγόμενος* V. — 7 *ἀνέβλυσεν ὠφέλειαν* AB. — 10 *καὶ μείζονα τούτων ποιήσει om.* FMR. — 20 *προσπεσούσης* F *ἐκπεσούσης corr. ex ἐμπ. incert. q. m.* L *ἐκπεμπούσης* BC. — 24 *προγνώσεις* EFGNRV. — 25 *συνέσις* F *et ut vid.* G *συνέσεις* N. — *καταλήψις* G *καταλήψεις* N.

8 *τὰς τῶν βαρβάρων* P. — *ἀνέλαμψεν* P (*κατέπεμψεν* Th.).

οὐράνιον πολίτευμα, ἡ μετ' ἀγγέλων χορεία, ἡ ἀτελεύτητος εὐφροσύνη, ἡ ἐν θεῷ διαμονή, ἡ πρὸς θεὸν ὁμοίωσις, τὸ ἀκρότατον τῶν ὀρεκτῶν θεὸν γενέσθαι.

[*ιβ'. Περὶ Λέοντος τοῦ μεγάλου.*]

5 *Μετὰ δὲ Μαρκιανὸν ἐβασίλευσε Λέων ὁ μέγας ἔτη ιη'*
511 M. *καὶ ἀπέθανε δυσεντερικῶς. ἐφ' οὗ σημεῖον ἐφάνη ἐν τῷ οὐρανῷ νεφέλη σαλπιγγοειδὴς ἐπὶ ἡμέρας μ'. καὶ ἔβρεξε σποδὸν ἐν Κωνσταντινουπόλει σπιθαμῆς τὸ πάχος, τῶν νεφῶν πυρακτούντων. καὶ πάντες ἐλιτάνευον λέγοντες ὅτι*
10 *πῦρ ἦν καὶ τῇ φιλανθρωπίᾳ τοῦ θεοῦ ἐσβέσθη. καὶ ζωγράφου τινὸς γράψαι τὸν Χριστὸν καθ' ὁμοιότητα τοῦ Διὸς τολμήσαντος, παραυτίκα ἡ χεὶρ αὐτοῦ ἐξηράνθη. ἰάσατο δὲ αὐτὸν Γεννάδιος ὁ πατριάρχης. φασὶ δέ τινες τῶν ἱστορικῶν ὅτι τὸ οὐλὸν καὶ ὀλιγότριχον ἐπὶ τοῦ Χριστοῦ σχῆμα*
15 *οἰκειότερόν ἐστιν. ὅς γε θεῖος ἀνὴρ Γεννάδιος Ἐλευθερίῳ τῷ μάρτυρι δι' ἕνα κληρικὸν τοῦ ναοῦ αὐτοῦ μὴ καλῶς πολιτευόμενον ἐδήλωσε φάσκων· ὁ στρατιώτης σου ἀτακτεῖ· ἢ διόρθωσαι τοῦτον ἢ ἔκκοψον. ὁ δὲ εὐθὺς ἐτελεύτησεν. ὁ αὐτὸς νυκτὸς ἐλθὼν εἰς τὸ ἅγιον θυσιαστήριον εὔξασθαι*
20 *εἶδέ τι φάσμα δαιμόνιον, ᾧ ἐπιτιμήσας ἤκουσε κράζοντος*

6—7 Theoph. *p.* 115, 1. — 7—10 Theoph. *p.* 119, 29. — 10—15 Theoph. *p.* 112, 29. — 15—18 Theod. Lect. I, 16. — 19—*p.* 617, 13 Theod. Lect. I, 26.

2 *ἡ ἐν θεῷ διαμονή om.* AR. — *διαμονή* BEP Bas. *διανομή* rell. — 6 *δυσεντερικός* BCFM. — 10 *τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ* M *τοῦ θεοῦ m. 1 spr. v.* A. — 12 *ἐλεηράνθη* A *ἐλεεινῶς ἐξηράνθη* F. — 14 *οὖλον* CDEL. — *τοῦ om.* FN *et* recc. quidam.

12 *τολμήσαντος καὶ παραυτ. τῆς χειρὸς αὐτοῦ ξηρανθείσης ἰάσ. γεννάδιος ὁ πατρ.* P. — 15 *γεννάδιος om.* P. — 17 *σου om.* P. — 18 *παρευθὺς* P. — 19 *ὁ αὐτὸς — p.* 617, 3 *ἐτελεύτησεν hic omittit* P *et p.* 618, 9 *post ἐτελεύτησαν inserit.* — *ἐφ' οὗ γεννάδιος κωνσταντινουπόλεως κατελθὼν νυκτὸς εἰς τὸ θυσ. προσεύξασθαι καὶ ἰδὼν φ. δαιμ. ὃ καὶ ἐπιτιμ.* P.

ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσιν, ὕστερον δὲ κρατήσει πάντως τῆς ἐκκλησίας. ὅπερ δείσας Γεννάδιος πολλὰ τὸν θεὸν ἱκετεύσας μετὰ μικρὸν ἐτελεύτησεν. Δανιὴλ δὲ ὁ θαυμάσιος 512 M ἐκ τῆς μάνδρας ἐλθὼν Συμεῶνος ἐν τῷ Ἀνάπλῳ ἐπέβη τῷ στύλῳ. καὶ τῆς θεοτόκου ἡ ἐσθὴς εὑρεθεῖσα ἐν Ἱεροσολύ- 5 μοις παρά τινι εὐλαβεστάτῃ γυναικὶ Ἑβραΐδι καὶ παρθένῳ ἱερῶς διαφυλαττομένη καὶ ἐν Κωνσταντινουπόλει διακομισθεῖσα ἐν Βλαχέρναις ἀπετέθη, ἔνθα ὁ βασιλεὺς ναὸν οἰκοδομήσας τῆς θεομήτορος καὶ σορὸν ἐκ χρυσοῦ καὶ ἀργύρου κατασκευάσας κατέθετο ταύτην. ἥτις ἐξ ἐρίων εὐφθάρτων 10 513 M. ἐξυφασμένη, καὶ ὁ στήμων ὁμοειδὴς καὶ ὁμόχροος, ἀδιάφθορός ἐστι καὶ ἀδιάλυτος μέχρι νῦν τὸ θαῦμα τῆς ἀειπαρθένου σαφῶς κηρύττουσα.

[ιγ'. Περὶ Λέοντος τοῦ μικροῦ.]

Μετὰ δὲ Λέοντα ἐβασίλευσε Λέων υἱὸς Ζήνωνος ἔτη β'. 15

[ιδ'. Περὶ Ζήνωνος.]

Μετὰ δὲ Λέοντα ἐβασίλευσε Ζήνων ὁ Ἴσαυρος καὶ πατὴρ αὐτοῦ ἔτη ις' καὶ ἀπέθανε δυσεντερικῶς. ὃς εὐθὺς μετὰ τὸ βασιλεῦσαι ἐπιβουλευθεὶς ὑπὸ Βερίνης πενθερᾶς αὐτοῦ, γυναικὸς Λέοντος τοῦ μεγάλου, ὡς παρὰ γνώμην αὐτῆς 20

3—5 Th. L. I, 18. — 5—13 Th. L.? (*cf.* Histor. Untersuch. Arnold Schäfer gewidmet *p.* 283). — 18—*p.* 618, 2 *cf.* Mal. *p.* 377, 5 *sqq.*

8 ὀκοδομήσας C ὠκοδομήσας AGL. — 10 ἀφθάρτων RV. — 11 στίμων codd. *praeter* BER. — 15 ὁ υἱὸς AB ὁ νέος ὁ καὶ υἱὸς V. — 18 δυσεντερικός BFLM. — 19 ὑποβουλευθεὶς ABDR. — βερήνης P βηρίνης EFM Exc. de insid.

1 πάντως *om.* P. — 2—3 ἐκκλησίας καὶ πολλὰ δεηθεὶς γ. τῷ θεῷ μὴ τὴν ταραχὴν ὄψεσθαι τῆς ἐκκλησίας μετ' ὀλίγον ἐτελεύτησεν P. — 3—4 καὶ δανιὴλ ἐκ τῆς μ. ἐλθόντος P. — 8 ὁ αὐτὸς βασιλεὺς P. — 11 ἀδιαφθόρως P. — 12 ἀειπαρθένου καὶ ἀδιαφθόρου P.

βασιλεύσαντος ἔφυγε πρὸς τὴν ἰδίαν πατρίδα. ἡ δὲ Βερίνα
514 M. *στέψασα Βασιλίσκον τὸν ἀδελφὸν αὐτῆς ἐβασίλευσεν ἔτη β', ἅπερ ἐτάγησαν εἰς τοὺς χρόνους Ζήνωνος. καὶ κτίσας παλάτιον ἐν Κωνσταντινουπόλει ἐκάλεσεν αὐτὸ εἰς τὸ ἴδιον*
5 *ὄνομα τὰ Βασιλίσκου. μετὰ δὲ ταῦτα Ζήνων ὑποστρέψας καὶ εἰσελθὼν ἐν Κωνσταντινουπόλει καὶ τοῦτον χειρωσάμενος ἐν τῇ ἐκκλησίᾳ προσφυγόντα ἐξώρισεν ἅμα γυναικὶ καὶ τέκνοις ἔν τῳ φρουρίῳ Καππαδοκίας, ἐν ᾧ βληθέντες ἐν πύργῳ καὶ τῆς θύρας ἀναφραγείσης ἐτελεύτησαν.*

10 *Ἐφ' οὗ Μαρτύριος Ἀντιοχείας διὰ τὴν τοῦ Ζήνωνος περὶ τὴν ὀρθόδοξον πίστιν διαστροφὴν ἀποταξάμενος τῆς ἐπισκοπῆς ἐπ' ἐκκλησίας ἔφη· κλήρῳ ἀνυποτάκτῳ καὶ λαῷ ἀπειθεῖ καὶ ἐκκλησίᾳ ῥερυπωμένῃ ἀποτάσσομαι φυλάττων ἐμαυτῷ τὸ τῆς ἱερωσύνης ἀξίωμα. οὗτινος ἀναχωρήσαντος*
15 *Πέτρος ὁ Κναφεὺς τυραννικῶς τῷ θρόνῳ ἐπεπήδησεν. ὃς καὶ πρῶτος ἐπενόησε τὸ μύρον ἐν τῇ ἐκκλησίᾳ ἐπὶ παντὸς τοῦ λαοῦ ἁγιάζεσθαι καὶ τὴν ἐπὶ τῶν ὑδάτων ἐν τοῖς θεοφανίοις ἐπίκλησιν ἐν ἑσπέρᾳ γίνεσθαι καὶ ἐν ἑκάστῃ εὐχῇ τὴν θεοτόκον ὀνομάζεσθαι καὶ ἐν πάσῃ συνάξει τὸ*
515 M. 20 *σύμβολον τῆς πίστεως λέγεσθαι πρότερον μὴ λεγόμενον εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ ἐν τῇ μεγάλῃ παρασκευῇ. καὶ*

3—5 Mal.? (*cf.* Untersuchungen *p.* 285). — 5—9 Mal. *p.* 379, 16. — 10—15 Theod. Lect. I, 21; 22. — 15—21 Th. L. II, 48 *et* 32. — 21—*p.* 619, 8 Th. L. II, 2 (*cf.* Untersuchungen *p.* 287).

1 *βασιλεύσαντος* AEGLNPR Exc. *βασιλεύσαντα* C *βασιλεύσας* BFV. — *βερίνα* CDGLPR *βερίνη* AB *βηρίνα* EF Exc. *βυρίνα* M. — 8 *τῷ* codd. *om.* Exc. — 9 *ἐτελεύτησεν* V *et* recc. quidam. — 12 *ἐπ' ἐκκλησία* BD. — 15 *τυραννικῶς τῷ θρόνῳ* BLP Theod. *τῷ θρόνῳ τυραννικῶς* rell. — 15. 16 *ὅστις μαρτύριος καὶ* (*καὶ om.* L) *πρῶτος* FL *ὃς καὶ πρῶτος ἤγουν ὁ μαρτύριος* R. — 18 *θεοφανείοις* AP.

5 *δὲ om.* P. — 9 *ἀναφραχθείσης* P. — *Post ἐτελεύτησαν sequitur in* P *narratio de Gennadio. cf. p.* 616, 19 *not.* — 10 *ἐφ' οὗ*] *καὶ* P. — 11. 12 *τὴν ἐπισκοπὴν* P (*debuit τῇ ἐπισκοπῇ*). — 15 *εἰσεπήδησεν* P.

Βαρνάβα τοῦ ἀποστόλου τὸ λείψανον εὑρέθη ἐν Κύπρῳ ὑπὸ δένδρον κερατέαν ἔχων ἐπὶ στήθους τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἰδιόγραφον τοῦ Βαρνάβα. ἐξ ἧς προφάσεως καὶ περιγεγόνασι Κύπριοι τοῦ ἀκέφαλον εἶναι τὴν κατ' αὐτοὺς μητρόπολιν καὶ μὴ τελεῖν ὑπὸ Ἀντιόχειαν. ὅπερ εὐαγγέλιον 5 *ἀποθέμενος Ζήνων ἐν τῷ παλατίῳ εἰς τὸν ναὸν τοῦ ἁγίου Στεφάνου κατ' ἐνιαυτὸν ἀναγινώσκεται τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ.*

[*ιε'. Περὶ Ἀναστασίου.*] 516 M.

Μετὰ δὲ Ζήνωνα ἐβασίλευσεν Ἀναστάσιος ὁ Δοραχηνὸς 10 *ἔτη κζ'. καὶ βροντῶν καὶ ἀστραπῶν περὶ τὸ παλάτιον εἰλουμένων καὶ τοῦ βασιλέως μονωτάτου καταλειφθέντος ἀδημονοῦντος, καὶ φεύγοντος ἀπὸ τόπων εἰς τόπους ἐν ἑνὶ τῶν κοιτωνίσκων κατέλαβεν αὐτὸν ἡ ὀργὴ καὶ ῥίψασα ἀπέκτεινεν, ὥστε αἰφνίδιον εὑρεθῆναι νεκρόν.* 15 518 M.

Ἐφ' οὗ Βιταλιανὸς ὁ Θρᾷξ ἀντάρας καὶ παραλαβὼν τὴν Θρᾴκην ἅμα Σκυθίᾳ καὶ Μυσίᾳ ἦλθεν ἕως τοῦ Ἀνάπλου πραιδεύων. ἀλλὰ ναυμαχήσαντος αὐτῷ Μαρίνου τοῦ ὑπάρχου μετὰ θείου ἀπύρου, οὗ κατεσκεύασε Πρόκλος ὁ φιλόσοφος, κατέφλεξε τὰς ναῦς τῶν βαρβάρων. βυθισθέντων δὲ 20 *πάντων σχεδὸν Οὔννων καὶ Γότθων καὶ Βουλγάρων καὶ τοῦ* 517 M.

11—15 *cf.* Mal. *p.* 409, 17 Leo Gramm. *p.* 120, 10 (*cf.* Untersuchungen *p.* 289). — 16—*p.* 620, 2 Mal. *p.* 402, 3 *sqq.*

2 κερατaίαν AP. — ἔχον BV (ἔχων *etiam cod. Barroc. Theodori*). — 10 δοραχινὸς (δορρ. E δωρ. M -ίνος G) EGNP δαραχηνὸς B δυραχηνὸς C δυρραχηνὸς V δυρραχινὸς AF δυρραχίτης Exc. de ins. (ἀναστασίου τοῦ δοραχ̄ή C *in nota marginali*). — 13 ἀπὸ τόπου εἰς τόπον BV Leo ἀπὸ τόπου εἰς τόπους L. — 14 αὐτὸν *om.* AB. — 15 αἰφνίδιον *om.* N Exc. — εὑρ. αὐτὸν νεκρόν BV. — 18 ἐπάρχου PRV Exc. *item p.* 620, 6; 14. — 21 οὔνων BDPRV οὔννων *ex* οὔνων *corr. m. 1 ut vid.* G οὗνων C.

7 καὶ μεγάλῃ *om.* P. — 11—15 *sic in* P: καὶ ἀρρωστήσας καὶ βροχῆς μεγάλης καὶ ἀστραπῆς μετὰ σφοδροτάτης βροντῆς γενομένης ἀπέθανε προηθεὶς αἰφνίδιον (*cf.* Mal. *p.* 409, 17).

λοιποῦ στρατοῦ ἐν τῷ Ῥεύματι, Βιταλιανὸς ἔφυγε μετὰ τῶν ὑπολειφθέντων ὀλίγων. καὶ πῦρ ἐν τῷ οὐρανῷ ἐφάνη.

Καὶ γέγονε δημοτικὴ ἐπανάστασις περὶ τοῦ χριστιανικοῦ δόγματος ἐν Κωνσταντινουπόλει ὡς βουληθέντος τοῦ βασι-
5 λέως προσθεῖναι εἰς τὸ τρισάγιον τό· ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐλέησον ἡμᾶς. τοῦ γὰρ λογοθέτου καὶ τοῦ ὑπάρχου ἀνελθόντων ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας καὶ τὴν αἵρεσιν ἀρξαμένων ἐκ βασιλικῆς ἐπιτροπῆς κηρύττειν, ἐπῆλθεν ὁ δῆμος καὶ πᾶν τὸ πλῆθος τῆς πόλεως κατ' αὐτῶν, καὶ
10 μόλις ἐξέφυγον. καὶ γέγονε τοιαύτη στάσις καὶ ταραχὴ κραζόντων· ἄλλον βασιλέα θέλομεν, ὡς καὶ τὸν βασιλέα καὶ τοὺς ἄρχοντας φεύγειν καὶ ἀποκρύπτεσθαι τὴν ὁρμὴν τοῦ λαοῦ. συναθροισθέντες οὖν οἱ στασιασταὶ καὶ εἰς τὸν οἶκον τοῦ λογοθέτου καὶ τοῦ ὑπάρχου καταδραμόντες καὶ πάντα
15 διαρπάσαντες ἐνεπύρισαν τούς τε οἴκους αὐτῶν καὶ τοὺς εὑρεθέντας ἐκεῖσε κατέσφαξαν. εἶτα γενομένης ταραχῆς μεγάλης καὶ στάσεως ἐμπρησμοὺς οἴκων πολλῶν ἐποιήσαντο καὶ φόνους μυρίους εἰργάσαντο καὶ ἄλλα τοιαῦτα φοβερά τε καὶ ἐξαίσια κατετόλμησαν ὑβρίζοντες Ἀναστάσιον μετὰ
20 κραυγῆς μεγίστης καὶ Βιταλιανὸν εὐφημοῦντες. καὶ οὕτως ἐλθόντες πλησίον τῆς ὑπ' αὐτοῦ τοῦ βασιλέως κτισθείσης κιστέρνης τοῦ ἁγίου Μωκίου εὗρον τὸν ὑπὸ τοῦ βασιλέως

---

2 Mal.? — 3—16 Mal. *p.* 406, 22 (*cf.* Exc. de insidiis a Mommseno in Hermae vol. VI *p.* 375 edita). — 16—20 Theoph. *p.* 159, 14. — 20—*p.* 621, 8 Mal. *l. l.*

3 χριστιανοῦ V χριστιανῶν R. — 4 ὡς *om.* AB. — 5 τό *ante* ὁ *om.* AB. — 7 τῆς μεγάλης ἐκκλησίας ABDFP Exc. τῆς ἐκκλησίας τῆς μεγάλης CEGLRV. — 8 ἐκ βασιλικῆς προστάξεως F ἐκ βασιλεικοῦ προστάγματος A. — 12 τὴν ὁρμὴν *desinit cod.* F τὴν ὀργὴν Exc. Mal. — 13 οὖν] δὲ C *et* recc. quidam δὲ καὶ V *et* recc. alii. — 14 τοῦ ὑπάρχου καὶ τοῦ λογοθέτου ADL. — 15 τε ABP *om.* rell. *et* Exc. — 20 μεγάλης CR. — 22 κιστέρνης EGP κινστέρνης BDLRV Exc. γιστέρνης (γηστ. C) AC.

18 καὶ φόνους μυρίους εἰργάσαντο *om.* P. — 22 ηὗρον P.

ἀγαπώμενον ἡγούμενον μοναστηρίου τοῦ ἁγίου Φιλίππου, ὃν καὶ φονεύσαντες τὴν κεφαλὴν αὐτοῦ ἐπὶ δόρατος ἀναρτήσαντες ἔκραζον· οὗτός ἐστιν ὁ φίλος τοῦ ἐχθροῦ τῆς ἁγίας τριάδος. ἐκβαλόντες δὲ καὶ γυναῖκα ἐγκλειστὴν οὖσαν πλη- 518 M. *σίον τῆς Ξηροκέρκου πόρτης, εἰς ἣν ὁ βασιλεὺς ὁμοίως εἶχε* 5 *πίστιν, καὶ ταύτην ἀνεῖλον. τὸ δὲ σῶμα αὐτῆς συνδήσαντες μετὰ τοῦ προφονευθέντος ἡγουμένου καὶ σύραντες ἔκαυσαν ἀμφότερα εἰς τὰ Στουδίου.*

Ἐφ' ὧν χρόνων καὶ Μούδαρος ὁ τῶν Σαρακηνῶν φύλαρχος βαπτισθεὶς ὑπὸ τῶν ὀρθοδόξων ἐν Συρίᾳ, Σευῆρος 10 *ἐπισκόπους ἔπεμψε πρὸς αὐτὸν δύο θέλων αὐτῷ μεταδοῦναι τῆς οἰκείας αἱρέσεως. ὧν τοῦ δόγματος τὸ ἄτοπον αἰσθόμενος ἔφη μετὰ πανουργίας· ἐδεξάμην γράμματα σήμερον ὅτι Μιχαὴλ ὁ ἀρχάγγελος ἀπέθανεν. τῶν δὲ εἰπόντων ἀδύνατον εἶναι τοῦτο, καὶ πῶς, φησίν, θεὸς γυμνὸς ἐσταυρώθη* 15 *καθ' ὑμᾶς, εἰ μὴ ἐκ δύο φύσεων ἦν ὁ Χριστός, εἴγε μηδὲ ἄγγελος ἀποθνήσκει; ὅπερ ἀκούσαντες καὶ σφόδρα καταπλαγέντες εἰς τὸ φυσικὸν φρόνημα τῆς προτάσεως αὐτοῦ ἀνεχώρησαν μετ' αἰσχύνης. καὶ ἐν Ἀλεξανδρείᾳ δὲ πλεῖστοι* 519 M. *ἄνδρες καὶ γυναῖκες καὶ παιδία πληγέντες δεινῶς ὑπὸ δαι-* 20 *μόνων ἀθρόως ὑλάκτουν. περὶ ὧν τις εἶδε καθ' ὕπνους φοβερόν τινα λέγοντα· διὰ τοὺς ἀναθεματισμοὺς τῆς συνόδου*

9—19 Theoph. *p.* 159, 19. — 19—*p.* 622, 1 Theoph. *p.* 162, 9.

5 *ξηροκέρκου* ADEGLV Exc. *ξυροκέρκου* R *ξηροκέρτου* B *ξυλοκέρκου* P *ξυλοκέρτου* C. — 7 *προλεχθέντος* RV. — 9 *μούνδαρος* RV *μούρδαρος* L (*Ἀλαμούνδαρος* Theoph.). — 10 *σευῖρος* V *σεύηρος* L *σεβῆρος* recc. quidam *σέβηρος* G. — 14 *ἐτελεύτησεν* RV.

2 *ὃν φονεύσαντες καὶ τὴν κεφ. ἐπὶ δόρατος* P. — 3 *ἁγίας om.* P. — 4 *ἐκβάλοντες* P. — *πλησίον οὖσαν* P. — 6 *ἀνελόντες καὶ τὸ σῶμα συνδήσαντες* P. — 7 *κατέκαυσαν ἀμφότερα τὰ σώματα εἰς* P. — 12 *τὴν οἰκείαν αἵρεσιν* P. — 16 *ἐκ om.* P Theoph.

ταῦτα πάσχουσι δικαίως. καὶ Οὖννοι δὲ οἱ λεγόμενοι Βῆρες περάσαντες τὰς Κασπίας πύλας πᾶσαν τὴν Ἀρμενίαν καὶ Καππαδοκίαν καὶ Γαλατίαν καὶ Πόντον ἐξήλειψαν. καὶ ἐν Νεοκαισαρείᾳ δὲ σεισμοῦ γίνεσθαι μέλλοντος ἄνθρωπός τις 5 *ὁδεύων ἐπὶ τὴν πόλιν εἶδε στρατιώτας προάγοντας καὶ ἕτερον ὄπισθεν κράζοντα· φυλάξατε τὸν οἶκον τοῦ θαυματουργοῦ Γρηγορίου. καὶ τοῦ σεισμοῦ γενομένου τὸ μὲν πλεῖστον τῆς πόλεως ἔπεσεν, ὁ δὲ ναὸς τοῦ ἁγίου διεσώθη.*

Καὶ ἐν Ἀντιοχείᾳ χρυσοχόος ἐφάνη τις πλάνος ὑπο- 10 *δεικνύων τοῖς ἀργυροπράταις χεῖρας χρυσᾶς ἀνδριάντων καὶ πόδας καὶ ἄλλα τινὰ σκεύη καὶ λέγων ὅτι· θησαυρὸν περιέτυχον μεστὸν τοιούτων εἰδῶν. καὶ πολλοὺς ἀπατήσας καὶ χρήματα πλεῖστα λαβὼν ἦλθεν ἐν Κωνσταντινουπόλει φεύ-* 520 M. *γων, ἐν ᾗ πολλοὺς ὡσαύτως δελεάσας προσῆλθε καὶ τῷ* 15 *βασιλεῖ χρυσὸν καὶ διάλιθον χαλινὸν προσοίσας. ὁ δὲ βασιλεὺς ἔφη πρὸς αὐτόν· ὄντως ἐμὲ οὐκ ἀπατᾷς. καὶ μαστιγώσας αὐτὸν πολλὰ δέσμιον εἰς τὴν Πέτραν τὸ τῆς Ἀσίας φρούριον ἐξώρισεν, ἐν ᾧ καὶ ἐτελεύτησεν.*

Καὶ Κωάδης ὁ βασιλεὺς Περσῶν ἔν τινι φρουρίῳ τῶν 20 *ἐκεῖσε μαθὼν ὡς λίθους τιμίους ἀποκεῖσθαι ἐν αὐτῷ, βου-*

1—3 Theoph. *p.* 161, 28. — 3—8 Theoph. *p.* 144, 6 Theod. L. II, 54. — 9—18 Th. L. II, 34. — 19—*p.* 623, 13 Theod. L. II, 34.

1 *οὔννοι* BL *οὖννοι ut. vid.* A *οὖνοι* CRV *οὔνοι* DEGP. — *δὲ οἱ λεγόμενοι* ABP Theoph. *καὶ οἱ λεγ.* R *δὲ καὶ οἱ λεγ.* rell. — *ἰβήρες* C *ἴβηρες* RV (*σαβὴρ et σαβῆρες* codd. Theoph.). — 4 *γίνεσθαι* ABPR Theod. Theoph. *γενέσθαι* rell. — 11 *καὶ ante λέγων om.* CV. — 11. 12 *θησαυρῷ — μεστῷ* DV. — 13 *λαβὼν πλεῖστα* B *πλεῖστα om.* D. — 15 *χρυσὸν* (-*ῶν* B) codd. *praeter* R *ὁλόχρυσον* R Theoph. — *ὃν ὁ βασιλεὺς λαβὼν ἔφη* R (*similia* Theoph.).

1 *εἰκότως* P. — 3 *ἠρήμωσαν* P. — 11 *περιέτυχον μετὰ τοιαῦτα* (*om. εἰδῶν*) P (*γέμοντα ταῦτα* Theoph. *γεμ. τοιαῦτα ζώδια* Mal.) — 14 *προσῆλθε om.* P. — 15—16 *χρυσὸν δίλιθον* (*sic*) *χαλ. προσ. ἔφη πρὸς αὐτὸν ὁ βασιλεὺς* P. — 16 *ἀπατήσεις* P. — 18 *ἐν ᾧ καὶ μετ' ὀλίγον ἀπέθανεν* P. — 20 *ἐν αὐτῷ*] *καὶ* P.

λόμενος αὐτοὺς ἀνελέσθαι διεκωλύετο παρὰ τῶν αὐτόθι δαιμόνων οἰκούντων. πᾶσαν τοίνυν μαγείαν ἐπιδειξαμένων τῶν θεραπόντων αὐτοῦ καὶ μηδὲν ἰσχυσάντων ἦλθε διὰ τῶν Ἰουδαίων. ἀποτυχὼν δὲ κἀκεῖθεν συνεβουλεύθη διὰ τῶν χριστιανῶν καταργῆσαι τοὺς δαίμονας. ὁ δὲ τῶν ἐν 5 *Περσίδι χριστιανῶν ἐπίσκοπος ἐπὶ τὸ αὐτὸ σύναξιν ἐπιτελέσας καὶ τῶν θείων μυστηρίων μεταλαβὼν καὶ τοῖς συνοῦσι χριστιανοῖς μεταδοὺς καὶ τῷ σημείῳ τοῦ σταυροῦ διώξας τοὺς δαίμονας τῷ Κωάδῃ τὸ φρούριον παρέδωκεν. ὃς καταπλαγεὶς πάνυ καὶ φόβῳ κατασχεθεὶς προκαθεδρίᾳ* 10 *τὸν ἐπίσκοπον ἐτίμησεν, ἕως τότε Ἰουδαίων καὶ Μανιχαίων προτιμωμένων, καὶ μέντοι καὶ τοὺς χριστιανοὺς ἀγαπήσας ἔκτοτε τελείαν ἄδειαν δέδωκε τοῖς χριστιανίζειν ἐθέλουσιν.*

Εὐφήμιός τις πρεσβύτερος καὶ πτωχοτρόφος Νεαπόλεως 521 M. *τῆς κειμένης ἐν τῷ Ἀνάπλῳ προχειρίζεται εἰς ἐπίσκοπον* 15 *Κωνσταντινουπόλεως, ὃς ἅμα τῇ χειροτονίᾳ πρὶν ἢ ἀνελθεῖν εἰς τὸ σύνθρονον ἐκ τῶν ἱερῶν διπτύχων ἀπήλειψε Πέτρου τοῦ Μογγοῦ τὸ ὄνομα ταῖς ἰδίαις χερσὶ καὶ οὕτως εἰς τὸν ἐπισκοπικὸν θρόνον ἐκάθισεν. οὗτος δὲ ὁ Μογγὸς Ἀλεξανδρείας μὲν ἦν ἐπίσκοπος, αἱρετικὸς δὲ διάπυρος. Εὐφήμιος* 20 *ζηλωτὴς ἦν τῆς ὀρθοδόξου πίστεως καὶ τοὺς ἐναντίους ἐδίωκεν, ὧν πρῶτος ἦν Ἀναστάσιος ὁ τότε σιλεντιάριος, ὕστερον δὲ βασιλεὺς γενόμενος. ὃν τὰ Εὐτυχοῦς μαθὼν φρονοῦντα καὶ ὀχλοποιοῦντα ἰδὼν τὴν καθέδραν αὐτοῦ τὴν ἐν τῇ ἐκκλησίᾳ ἀνέτρεψε καὶ αὐτῷ χαλεπῶς ἀπειλῶν ἐδή-* 25

14—20 Theod. L. *cf.* Theoph. *p.* 133, 14. — 20—*p.* 624, 3 *cf.* Theoph. *p.* 134, 19.

13 *ἔκτοτε τελείαν scripsi e coniect. codicis Vat. 154. ἐκτοτελείαν* P *ἔκτοτε λίαν* rell. — 20 *εὐφήμιος δὲ* EGR *εὐφ. γὰρ* V. — 25 *ἀνέτρεψε* DE Theoph. *ἀνέστρεψε* rell. — *ἐδήλωσεν ἀπειλῶν* AB.

3 *θεραπόντων*] *μάγων* P Theod. Theoph. — 10 *καὶ φόβῳ κατασχεθεὶς om.* P. Theod. Theoph. — 12 *μὴ προτιμώμενον* P. — 14—*p.* 626, 2 *om.* P.

λωσεν, ὡς, εἰ μὴ τὰ τῆς ἡσυχίας ἄγει, τὴν κεφαλὴν αὐτοῦ ἀποκείρει καὶ τοῖς δήμοις θριαμβεύει. καὶ βασιλεῖ δὲ τὰ κατ' αὐτὸν ἐγνώρισε καὶ ἐξουσίαν τὴν κατ' αὐτοῦ ἔλαβεν. Ζήνων βασιλεὺς ἐτελεύτησεν, ἀναγορεύεται δὲ εἰς βασιλέα
5 *ὑπὸ Ἀριάδνης τῆς Αὐγούστης Ἀναστάσιος ὁ σιλεντιάριος. περὶ οὗ ἀντέστη Εὐφήμιος ὁ ἐπίσκοπος αἱρετικὸν καλῶν καὶ τῶν χριστιανῶν ἀνάξιον. Ἀριάδνης δὲ καὶ τῶν τῆς συγκλήτου συναινεῖν ἀναγκαζόντων Εὐφήμιον, οὐκ ἄλλως τοῦτο ποιῆσαι ἠνέσχετο, εἰ μὴ ὁμολογίαν ἔγγραφον παρ' αὐτοῦ*
10 *ἐκομίσατο, ὡς εἰς ὅρον πίστεως δέχεται τὰ ἐν Χαλκηδόνι δογματισθέντα. τὴν δὲ ὁμολογίαν αὐτοῦ βιαίως τὸν Εὐφήμιον ἀπήτησε βασιλεύσας. Μανιχαῖοι καὶ Ἀρειανοὶ ἔχαιρον*
522 M. *Ἀναστασίῳ, Μανιχαῖοι μὲν ὡς τῆς μητρὸς αὐτοῦ ζηλωτρίας οὔσης αὐτῶν, Ἀρειανοὶ δὲ ὡς Κλέαρχον τὸν θεῖον πρὸς*
15 *μητρὸς Ἀναστασίου ὁμόδοξον ἔχοντες. πολλὰ τῶν Ἰσαύρων ἄτοπα καὶ ἀπάνθρωπα τολμώντων ἐν Κωνσταντινουπόλει, Ἀναστάσιος ἅπαντας τῆς βασιλίδος ἐξέβαλεν. οἱ δὲ ἐξελθόντες πρὸς τυραννίδα ὥρμησαν καὶ ἕως τοῦ Κοτυαείου ἐξέδραμον. καθ' ὧν ὁ βασιλεὺς στρατὸν ἐξέπεμψε καὶ Ἰωάν-*
20 *νην τὸν Σκύθην καὶ Ἰωάννην τὸν Κυρτόν. τοῦ δὲ πολέμου ἐπὶ ε' ἔτη κρατήσαντος, Ἀναστάσιος ἀποκαμὼν ἐθάρρησεν Εὐφημίῳ τῷ ἐπισκόπῳ ὡς εἰρήνης ἐφίεται, καὶ ἵνα συναγάγῃ τοὺς ἐνδημοῦντας ἐπισκόπους καὶ δόξῃ ὑπὲρ τῶν Ἰσαύρων παρακαλεῖν. Εὐφήμιος δὲ ἐξήγαγε τὸ λεχθὲν πρὸς*
25 *Ἰωάννην πατρίκιον πενθερὸν Ἀθηνοδώρου ἑνὸς τῶν ἐξαρ-*

4—*p.* 625, 6 Th. L. II, 6—10.

2 *θριαμβεύσει* BV. — 4 *ζήνων βασιλεὺς* ADE (*cf. p.* 625, 6) *ζήνων ὁ βασιλεὺς* BCV *ὅτε ζ. ὁ βασ.* R *ὁ δὲ βασ. ζ.* G. — 10 *ὡς εἰ ὅρον* G *ὡσεὶ ὅρον* C *ὡς εἴορον* L *ὡς εἰς ὅρος* B. — *καὶ δέχεται* BV. — *καλχηδόνι* DEGRV *καλχιδόνι* (*-όνι* AC) ABC. — 11 *βεβαίως* ER. — 12 *ἀπάτησε* E *ἠπάτησε vel ἐπάτησε* recc. — *μανιχαῖοι δὲ καὶ* (*οἱ add.* A) *ἀρ.* AR *οἱ δὲ μαν. καὶ ἀρ.* G. — 15 *πολλὰ δὲ τῶν* GR. — 18 *κοτυαείου* BV Theod. *κοτιαείου* D Exc. de insid. *κοτυαίου* E *κοτιαίου* CR *κοταίου* G *κουτωαίου* A (*ω m. 1 ex αι ut vid.*). — 25 *πενθερὸν*] *ἀδελφὸν* RV.

χόντων τῶν Ἰσαύρων. ὁ δὲ δραμὼν πάντα ἀπαγγέλλει τῷ βασιλεῖ, ὅπερ εἰς ἔχθραν τὸν βασιλέα κατὰ Εὐφημίου ἐξώπλισε μείζονα. Ἀναστάσιος δὲ βασιλικώτερον κινηθεὶς κατὰ τῶν Ἰσαύρων τούτους κατὰ κράτος ἐνίκησε καὶ πέμψας πρὸς Εὐφήμιον Εὐσέβιον τὸν μάγιστρον δηλοῖ αὐτῷ· αἱ εὐχαί 5 *σου, ὁ μέγας, τοὺς φίλους σου ἠσβόλωσαν. Ἀναστάσιος βασιλεὺς τὰς ἐπιβουλὰς τῶν Ἰσαύρων ἐπιγράψας Εὐφημίῳ, καὶ ὡς εἴη γράμματα πεπομφὼς τοῖς τυράννοις, συνήγαγε τοὺς ἐνδημοῦντας ἐπισκόπους, οἵτινες βασιλεῖ χαριζόμενοι ἀκοινωνησίᾳ καὶ καθαιρέσει τὸν ἄνδρα ἠμείψαντο. καὶ προ-* 10 *χειρίζεται ὁ βασιλεὺς εἰς ἐπίσκοπον Μακεδόνιον πρεσβύτερον τῆς ἐκκλησίας καὶ σκευοφύλακα. ὁ μέντοι λαὸς δι' Εὐφήμιον ἐστασίαζον, ἐν οἷς εἰς τὸ ἱπποδρόμιον ἔδραμον λιτανεύοντες. ἀλλ' οὐδὲν ὤνησαν, τοῦ γὰρ βασιλέως ἐνίκα ἡ ἔνστασις. Εὐφήμιον εἰς Εὐχάϊταν βασιλεὺς περιορισθῆναι* 15 528 M. *προσέταξεν. ὁ δὲ λόγον ᾔτησε διὰ Μακεδονίου λαβεῖν ὡς ἐπιβουλῆς χωρὶς κατὰ τὸν τόπον ἀπάγεται. ἐπιτραπεὶς δὲ τὸν λόγον δοῦναι ὁ Μακεδόνιος ἐπαινετόν τι σκεψάμενος, ἐν τῷ βαπτιστηρίῳ τοῦ Εὐφημίου ὄντος, τὸ ὠμοφόριον τὸ ἐπισκοπικὸν ἑαυτοῦ ἀφαιρεθῆναι ὑπὸ τοῦ ἀρχιδιακόνου προσ-* 20 *έταξε καὶ οὕτως εἰσῆλθε πρὸς τὸν Εὐφήμιον. δανεισάμενος δὲ καὶ χρήματα παρέσχε τῷ Εὐφημίῳ εἰς δαπάνας τῶν σὺν*

6—15 Th. L. II, 12. — 15—*p.* 626, 2 Th. L. II, 15; 14.

1 *ἀναγγέλλει* A Th. L. (*sed ἀπήγγειλε etiam* Theoph.) — 2 *τὸν βασιλέα κατὰ εὐφ.* CDEGRV Th. L. *κατὰ εὐφ. τὸν βασ.* AB Theoph. — 6 *ὁ μέγας* AB Theoph. (*in Theodori cod. haec verba interierunt*) *κῦρι* (*κύρι* codd. plerique) *ὁ μέγας* rell. — *ἀναστ. ὁ βασιλεὺς* B *ἀναστ. δὲ ὁ βασ.* GR. — 9 *ἐπιδημοῦντας* ER. — *τῷ βασιλεῖ* BGL. — 12 *καὶ om.* CDR. — 15. 16 *καὶ προσέτ. ὁ βασ. τὸν εὐφ. εἰς εὐχ. περιορισθῆναι* G. — 15 *εὐφήμιον δὲ* ABR *διὸ καὶ εὐφ.* L. — *εἰς εὐχ. βασιλεὺς περιορισθῆναι* A Theod. *ὁ βασ. εἰς εὐχ. περιορ.* CDERV *εἰς εὐχ. περιορ. ὁ βασ.* B *ὁ βασιλεὺς om.* L. — *εὐχαΐταν* AG *εὐχάϊτα** (*una litt. eras.*) D *εὐχάϊτα* V *εὐχαΐτα* E *ἀχαΐτα vel ἀχαΐται vel ἀχαΐταν* recc. — 20 *ὑπὸ τοῦ ἀρχιδιακόνου add. ex* ABV Theod. *om.* rell. — 21 *εἰσελθὼν* E *εἰσελθεῖν* R.

αὐτῷ. Μακεδόνιος ἀσκητὴς ἦν καὶ ἱερός, ὡς ὑπὸ Γενναδίου τραφείς, οὗ καὶ ἀδελφιδοῦς ὑπῆρχεν.

524 M. [ιϛʹ. *Περὶ Ἰουστίνου.*]

Μετὰ δὲ Ἀναστάσιον ἐβασίλευσεν Ἰουστῖνος ὁ Θρᾲξ
5 *ἔτη θʹ. ἐφ' οὗ ἀστὴρ ἐφάνη ἐν τῷ οὐρανῷ ἐπάνω τῆς Χαλκῆς πύλης τοῦ παλατίου ἐπὶ ἡμέρας καὶ νύκτας κϛʹ. καὶ γέγονε σεισμὸς φοβερώτατος, καὶ ἡ μὲν Κωνσταντινούπολις ἐν διαφόροις τόποις ἀπέλαβεν, ἡ δὲ μεγάλη Ἀντιόχεια*
525 M. *πάθος ἔπαθεν ἀνεξήγητον. τοσοῦτον γὰρ ἡ ὀργὴ τοῦ θεοῦ*
10 *ἐπῆλθεν αὐτῇ, ὡς καταπτωθῆναι σχεδὸν πᾶσαν τὴν πόλιν καὶ τάφον γενέσθαι τῶν οἰκητόρων. τινὰς δὲ καταχωσθέντας καὶ ἔτι ζῶντας ὑπὸ τὴν γῆν ἐξελθὸν πῦρ ἐκ τῆς γῆς τούτους κατέφλεξεν. ὁμοίως καὶ ἕτερον πῦρ ἐκ τοῦ ἀέρος κατήρχετο καθάπερ σπινθῆρες καὶ κατέκαιεν ὥσπερ ἀστραπὴ*
15 *τὸν εὑρισκόμενον. ἡ δὲ Πομπιούπολις τῆς Μυσίας διαρραγεῖσα μέσον, καὶ τὸ ἥμισυ καταποθὲν μετὰ τῶν οἰκητόρων, ἔκραζον ὑπὸ τὴν γῆν οἱ ἄνθρωποι ἐλεηθῆναι ζητοῦντες. καὶ διέμεινεν ἡ γῆ διηνεκῶς σειομένη τὸν ἐνιαυτὸν ὅλον ἐκεῖνον. καὶ γυνὴ δέ τις ἐκ τῆς Κιλικίας ἐφάνη γιγαντο-*
20 *γενὴς ὑπερέχουσα τῇ ἡλικίᾳ πάντα ἄνθρωπον μακρὸν πῆχυν ἕνα, καὶ πλατεῖα ὑπῆρχε σφόδρα.*

5—8 *cf.* Leo Gramm. *p.* 123, 16. — 8—15 Theoph. *p.* 172, 12. — 15—17 Theoph. *p.* 216, 17. — 18—19 Theoph. *p.* 172, 18. — 19—21 Theoph. *p.* 171, 29.

1 *μακεδόνιος δὲ* G *ὁ δὲ μακ.* V *ὁ γὰρ μακ. οὗτος* L. — *ἱερεύς* BC. — 2 *ὑπῆρχεν* AB Th. L. *ἐτύγχανεν* rell. — 6 *κεʹ* N *κζʹ* E. — 12 *ἐκ τῆς γῆς* EGPRV Theoph. *ἀπὸ τῆς γῆς* BCLN *ἀπὸ τὴν γῆν* A. — 15 *πομπηιούπολις* BELV. — 18 *διηνεκῶς om.* CEGNR. — 21 *καὶ πλατεῖα ὑπ. σφόδρα om.* B. — *καὶ πλατεῖα* APRV *καὶ πλατεῖα δὲ* CEGN.

17 *ἦσαν ὑπὸ τὴν γῆν κράζοντες ἐλεηθῆναι* P (Similia Theoph.). — 21 *ὑπῆρχε om.* P Theoph.

[ιζ΄. *Περὶ Ἰουστινιανοῦ.*]

Μετὰ δὲ Ἰουστῖνον ἐβασίλευσεν Ἰουστινιανὸς ἀνεψιὸς 526 M.
αὐτοῦ ἔτη λθ΄. ὃς ἀνακαινίσας τὴν μεγάλην ἐκκλησίαν
Σοφίαν εἰς κάλλος καὶ μέγεθος πρότερον κτισθεῖσαν ὑπὸ
Κωνσταντίου υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου παρέδωκε καὶ 5
τροπάριν ἐν τῇ ἐκκλησίᾳ ψάλλεσθαι, οὗ ἡ ἀρχή· ὁ μονο-
γενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ. ἐφ' οὗ ἡ Ἀντιόχεια Θεοῦ 527 M.
πόλις ἤρξατο προσαγορεύεσθαι, καὶ ἡ ὑπαπαντὴ ἔλαβεν
ἀρχὴν ἑορτάζεσθαι· ἥτις οὐκ ἔστιν ἐναρίθμιος ταῖς δεσπο-
τικαῖς ἑορταῖς. 10

Ὁ γάρ τοι θεῖος Χρυσόστομος οὕτω λέγει· ἐν ἓξ ἡμέραις
ἐποίησεν ὁ θεὸς τὰ ἔργα αὐτοῦ πάντα, καθὼς γέγραπται,
τῇ δὲ ζ΄ κατέπαυσεν. διὸ καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν
ὁ τοῦ θεοῦ λόγος ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς εὐδο-
κήσας καὶ ἐνανθρωπήσας τὸν αὐτὸν τρόπον κατὰ τὸν ἀριθ- 15
μὸν τῶν ἡμερῶν τῆς κοσμοποιΐας τὰς ἑορτὰς παρέδωκεν
ἡμῖν τῆς αὐτοῦ οἰκονομίας. πρώτη μὲν οὖν ἐστι καὶ ῥίζα
τῶν ἑορτῶν Χριστοῦ ἡ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου
Μαρίας μετὰ τὴν σύλληψιν γέννησις, δευτέρα δὲ ἡ ἐπι-

3—4 *cf.* Leo Gramm. *p.* 126, 18. — 5—7 Theoph. *p.* 216, 23. — 7—8 Theoph. *p.* 178, 7 Cram. An. II *p.* 110, 8. — 8—9 Theoph. *p.* 222, 23 Cram. An. *p.* 110, 17. — 11—*p.* 628, 12 Chrysost. or. spur. in ascens. IV. Migne Tom. 52, 799. — 11 Exod. 20, 11. — 13 Luc. 19, 10.

3 *ὃς καὶ ἀνακαινίσας* BRV. — 4 *ὑπὲρ τὸ πρότερον* Leo. — 5 *τοῦ μεγάλου κωνσταντίνου* BNP *et* recc. quidam *κωνσταντίνου τοῦ μεγάλου* ACEGV *et* recc. alii. — 6 *τροπάριν* ADP *τροπάρην* M *τροπάριον* CEGLV *τρο* (superscr. *πρ*) BR. — 7 *θεούπολις* EN *om.* B. — 11 *οὕτω om.* A (*cf. infra lect. cod.* P). — 13 *ἐπ' ἐσχάτου* CEGNP Chr. *ἐπ' ἐσχάτων* (*ἐπαισχ.* A) ABRV. — 15 *ἐνανθρωπίσας* GNV. — 17 *οὖν om.* RV. — 18 *χριστοῦ* ABP Chr. *τοῦ χριστοῦ* rell.

7 *ἐφ' οὗ καὶ ἡ* P. — 9 *τῶν δεσποτικῶν ἑορτῶν* P. — 11 *χρυσόστομός φησιν· ἐν ἓξ τοίνυν ἡμ.* P. — 17 *καὶ πρώτη μὲν οὖν* P.

φάνιος, τρίτη δὲ ἡ τοῦ σωτηρίου πάθους ἡμέρα, τετάρτη δὲ ἡ ὑπερένδοξος ἀνάστασις, καθ' ἣν καὶ ἐν τοῖς καταχθονίοις γενόμενος ὁ λυτρωτὴς συνανέστησε τοὺς δικαίους καὶ τοὺς πιστεύσαντας, πέμπτη δὲ ἡ πρὸς οὐρανοὺς αὐτοῦ ἀνά-
5 ληψις, ὡς καὶ ἐν πέμπτῃ τῆς ἑβδομάδος ἡμέρᾳ διεπράχθη, ἕκτη δὲ ἡ τῆς ἐπιφοιτήσεως ἡμέρα τοῦ ἁγίου πνεύματος, ἑβδόμη δὲ ἡ προσδοκωμένη τῆς καθολικῆς ἀναστάσεως τῶν νεκρῶν μεγάλη καὶ ἀδιάδοχος ἡμέρα. τότε γὰρ ἑορτάσουσιν ὄντως μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης οἱ μέλλοντες
528 M. 10 κληρονομεῖν ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. καὶ ταῦτα μὲν ὁ Χρυσόστομος.

Μετὰ δὲ ταῦτα ἐπὶ τῆς αὐτῆς βασιλείας Ἰουστινιανοῦ ἐξελθοῦσα ἡ θάλασσα ἐκ τῶν ὁρίων αὐτῆς ἐπὶ μίλια γ'
15 πρὸς τὰ μέρη τῆς Θρᾴκης χωρία πολλὰ καὶ προάστεια ἐξαφανίσασα, ἀνθρώπους δὲ ἀναριθμήτους ἀποπνίξασα πάλιν ὑπέστρεψεν. καὶ ὁ δῆμος ἀντάρας τὸ λεγόμενον πρασινοβένετον καὶ πολλὴν ἀταξίαν καὶ ἁρπαγὴν καὶ σφαγὴν καὶ ἐμπρησμὸν ἐν τῇ πόλει ποιήσαντες ἀναγορεύουσι βασιλέα
20 Ὑπάτιον ἐν τῷ ἱππικῷ. πολλοῦ δὲ λαοῦ συνδραμόντος, καὶ τοῦ ἱππικοῦ πληρωθέντος, προσέταξεν Ἰουστινιανὸς τὸν στρατὸν αὐτοῦ, καὶ οἱ μὲν ἄνωθεν, οἱ δὲ κάτωθεν τοῦ καθίσματος τοξεύοντες ἀπέκτειναν χιλιάδας λ', ἐν οἷς καὶ τὸν Ὑπάτιον χειρωσάμενος ἀνεῖλεν ὡς βασιλικὸν διάδημα φορέσαντα.

---

10 I. Cor. 2, 9. — 13—17 *cf.* Theoph. *p.* 224, 29. — 17—24 *cf.* Mal. *p.* 473, 5. Chron. Pasch. *p.* 620, 3 Cram. An. II *p.* 112, 19 Theoph. *p.* 181, 24 Leo Gr. *p.* 126, 6.

5 καὶ ὡς AB. — 21 τὸν λαὸν (τῷ λαῷ V) καὶ τὸν στρατὸν (τῷ στρατῷ V αὐτοῦ *add.* R) CRV.

12 καὶ ταῦτα μὲν ὁ χρ. *om.* P. — 13—17 *sic in* P: καὶ ἡ θάλασσα δὲ τῆς θρᾴκης ἐξελθοῦσα ἐπὶ μίλια τρία μέχρις ὡρῶν γ' καὶ πολλοὺς ἀποπνίξασα καὶ χωρία καὶ προάστια πλεῖστα ἐξαφανίσασα πάλιν ὑπέστρεψεν. — 20 ὑπάτιόν τινα P. — 21 πλησθέντος P.

Καὶ ἡ πέμπτη γέγονε σύνοδος τῶν ρξε' πατέρων.

Πέμπτη σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει ρξε' ἁγίων πατέρων ἔτει τῆς Ἰουστινιανοῦ τοῦ μεγάλου βασιλείας κς' ἐπὶ Βιγιλίου τοῦ ἁγιωτάτου πάπα Ῥώμης διὰ λιβέλλου τὴν ὀρθὴν πίστιν κυροῦντος, ἧς ἡγοῦντο Εὐτύχιος 5 *Κωνσταντινουπόλεως, Ἀπολινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας, Στέφανος ἐπίσκοπος Ῥαφείας, Γεώργιος ἐπίσκοπος τῆς Τιβεριωτῶν πόλεως καὶ Δαμιανὸς ἐπίσκοπος Σωζοπόλεως, τοποτηρηταὶ Εὐτυχίου Ἱεροσολύμων, κατὰ Ὠριγένους καὶ τῶν τὰ ἐκείνου ἀσεβῆ δόγματα διαδεξαμένων Διδύμου* 10 *καὶ Εὐαγρίου τῶν πάλαι ἀκμασάντων καὶ τῶν ἐκτεθέντων* 529 M. *παρ' αὐτοῖς κεφαλαίων, ἐν οἷς ἐληρώδουν προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἐξ Ἑλληνικῶν ὁρμώμενοι δογμάτων τὴν μετεμψύχωσιν δοξάζοντες, καὶ τέλος εἶναι τῆς κολάσεως, καὶ τὰ σώματα ἡμῶν μὴ ἀνίστασθαι τὰ αὐτὰ ἐν τῇ ἀνα-* 15 *στάσει, καὶ τὴν τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, τὸν παράδεισον ἀλληγοροῦντες καὶ μήτε γεγενῆσθαι μήτε εἶναι ὑπὸ τοῦ θεοῦ αἰσθητὸν παράδεισον, μήτε δὲ ἐν σαρκὶ πλασθῆναι τὸν Ἀδάμ. ἅτινα δόγματα ἕως χρόνου τὸ πλέον ἐκρύπτετο, εἰς πλῆθος δὲ ἐπιδιδοῦντα καὶ πολλοὺς τῆς ἐκ-* 20 *κλησίας λυμαινόμενα τηνικαῦτα στηλιτευθέντα ἀνεθεμάτισαν.*

---

1 *πατέρων ἐν κωνσταντινουπόλει τὸ β'* R. — *Post πατέρων* A *add. ἀπὸ γοῦν τῆς δ' ἕως τῆς ε' ἔτη ρβ' et in mg. σύνοδος ε'. Eadem fere* DEGL *et* recc. quidam *in mg., item* M *m. 2.* — 2 *πέμπτη γέγονεν ἐν κωνστ. ρξε' ἁγίων πατέρων* AB *ἡ δὲ πέμπτη σύνοδος τῶν ρξε' ἁγίων* (*ἁγίων ρξε'* C) *πατέρων γέγονεν* CEGNV *πέμπτη — πατέρων om.* LR. — 3 *βασιλέως* CG *βασί^λ* B. — 4 *βιγιλλίου* BV *γιβιλλίου* M. — 7 *ῥαφείας* AB *ῥαφίας* rell. — 9 *τοποτηρηταὶ δὲ εὐτ.* CERV. — 18 *μήτε δὲ*] *μηδὲ* AB. — 20 *ἐπιδιδόντα* AV. — 21 *τηλικαῦτα* CEGN *et* recc. quidam. — *ἀνεθεματίσθησαν* V.

1—*p.* 630, 7 *sic in* P: *καὶ ἡ πέμπτη γέγονε σύνοδος τῶν ρξε' πατέρων ἐν κωνσταντινουπόλει κατὰ ὠριγένους καὶ τῶν τὰ ἐκείνου διαδεξαμένων ἀσεβῆ δόγματα διδύμου καὶ εὐαγρίου καὶ τῶν ὁμοφρόνων αὐτοῦ καὶ κατὰ θεοδώρου μομψουεστίας διδασκάλου νεστορίου. οὓς καὶ ἀνεθεμάτισε κατὰ τοὺς τύπους τοῦ βασιλέως περιέχοντας οὕτως·*

ἔτι δὲ καὶ κατὰ Θεοδώρου τοῦ Μομψουεστίας, διδασκάλου γεγονότος Νεστορίου τοῦ ἰουδαιόφρονος, ἀνεθεμάτισε μετὰ τῆς λεγομένης Ἴβα ἐπιστολῆς καί τινων συγγραμμάτων Θεοδωρήτου τοῦ ἐπισκόπου Κύρου συγγραφέντων κατὰ τῶν ιβʹ
5 κεφαλαίων τοῦ μακαρίου Κυρίλλου.

Τὸ δὲ γράμμα τοῦ βασιλέως πρὸς τὴν ἁγίαν σύνοδον περιεῖχεν οὕτως· περὶ μὲν Ὠριγένους καὶ τῶν ὁμοφρόνων αὐτοῦ σπουδὴ γέγονεν ἡμῖν καὶ ἔστιν ἀτάραχον τὴν ἁγίαν τοῦ θεοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν διαφυλάτ-
10 τεσθαι καὶ τὰ ὁπωσοῦν ἀναφυόμενα τῇ ὀρθοδόξῳ πίστει ἐναντία κατακρίνεσθαι. ἐπεὶ τοίνυν διέγνωσται ἡμῖν, ὥς τινες ἐν Ἱεροσολύμοις εἰσὶ μοναχοὶ δήπουθεν Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ Ὠριγένει τῷ καὶ Ἀδαμαντίῳ καὶ τῇ τούτων δυσσεβείᾳ καὶ πλάνῃ κατακολουθοῦντες καὶ διδάσκοντες,
15 δεῖν ᾠήθημεν φροντίδα καὶ ζήτησιν ποιήσασθαι περὶ τούτων, ἵνα μὴ τέλεον διὰ τῆς Ἑλληνικῆς καὶ Μανιχαϊκῆς ἀπάτης αὐτῶν πολλοὺς ἀπολέσωσιν. λέγουσι γάρ, ἵνα ἐκ πολλῶν ὀλίγα μνημονεύσωμεν, ὅτι νόες ἦσαν δίχα παντὸς ἀριθμοῦ τε καὶ ὀνόματος, ὡς ἑνάδα πάντων εἶναι τῶν λογι-
20 κῶν τῇ ταυτότητι τῆς οὐσίας καὶ ἐνεργείας καὶ τῇ δυνάμει καὶ τῇ πρὸς τὸν θεὸν λόγον ἑνώσει τε καὶ γνώσει. καὶ ὡς
530 M. κόρον αὐτῶν λαβόντων τῆς θείας ἀγάπης καὶ θεωρίας κατʼ ἀναλογίαν ἐπὶ τὸ χεῖρον τῆς ἑκάστου τροπῆς λεπτομερέστερα ἢ παχυμερέστερα σώματα ἀμφιάσασθαι καὶ ὀνόματα κληρώ-
25 σασθαι, κἀντεῦθεν τὰς οὐρανίας καὶ λειτουργικὰς ὑποστῆναι

---

1 κατὰ *om.* D. — μομψουέστίας GL μόμψου ἑστίας E μουμψουεστίας M μοψουεστίας V. — 3 ἴβα *sine acc.* A ἰβᾶ V Ἴβα CM. — 4 τοῦ *om.* BN. — 7 περὶ μὲν ABCP περὶ μὲν οὖν rell. — 12 δῆθεν P δήπου R. — 13 καὶ *ante* Ἀδαμαντίῳ *om.* BN. — 16 τέλειον E *et* recc. quidam. — 17 ἐκ τῶν πολλῶν CEGMR. — 21 καὶ τῇ πρὸς ABP καὶ *om.* rell. — πρὸς θεὸν ABR. — 22 κατὰ ἀναλογίαν codd. *praeter* AEP. — 24 ἢ παχυμερέστερα ABP ἢ καὶ παχύτερα rell. — 25 οὐρανίους V *et* recc. nonnulli.

6 ἁγίαν *om.* P. — 8 ἡμῖν τε καὶ P. — 14 δυσμενείᾳ P.

δυνάμεις. ἀλλὰ μὴν καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς ἀστέρας καὶ αὐτὰ τῆς αὐτῆς τῶν λογικῶν ἑνάδος ὄντα ἐκ τῆς ἐπὶ τὰ χείρω τροπῆς τοῦτο γεγονέναι ὅπερ εἰσίν, τὰ δὲ ἐπὶ πλεῖον τῆς θείας ἀγάπης ἀποψυγέντα λογικὰ ψυχὰς ὀνομασθῆναι καὶ σώμασι παχυτέροις τοῖς καθ' ἡμᾶς ἐμβληθῆναι, τὰ δὲ ἐπὶ τὸ ἄκρον τῆς κακίας ἐληλακότα ψυχροῖς καὶ ζοφεροῖς ἐνδεθῆναι σώμασι καὶ δαίμονας γεγονέναι τε καὶ ὀνομασθῆναι. καὶ ὅτι ἐξ ἀγγελικῆς μὲν καταστάσεως ψυχικὴ γίνεται κατάστασις, ἐκ δὲ ψυχικῆς δαιμονιώδης τε καὶ ἀνθρωπίνη, ἕνα δὲ νοῦν μόνον ἐκ πάσης τῆς ἑνάδος τῶν λογικῶν ἀκλόνητον μεῖναι καὶ ἀκίνητον τῆς θείας ἀγάπης καὶ θεωρίας, ὃς καὶ Χριστὸς καὶ βασιλεὺς καὶ ἄνθρωπος γέγονεν. καὶ ὅτι παντελὴς ἔσται τῶν σωμάτων ἀναίρεσις, αὐτοῦ τοῦ κυρίου πρῶτον ἀποτιθεμένου τὸ ἴδιον σῶμα καὶ τῶν λοιπῶν ἁπάντων. καὶ ὅτι ἀνακομίζονται πάλιν ἅπαντες εἰς τὴν αὐτὴν ἑνάδα καὶ γίνονται νόες, καθὰ καὶ ἐν τῇ προϋπάρξει ἐτύγχανον, ἀποκαθισταμένου δηλονότι καὶ αὐτοῦ τοῦ διαβόλου καὶ τῶν λοιπῶν δαιμόνων εἰς τὴν αὐτὴν ἑνάδα καὶ τῶν ἀσεβῶν καὶ ἀθέων ἀνθρώπων μετὰ τῶν θείων καὶ θεοφόρων ἀνδρῶν καὶ τῶν οὐρανίων δυνάμεων καὶ τὴν αὐτὴν ἑξόντων ἕνωσιν πρὸς τὸν θεόν, ὁποίαν ἔχει καὶ ὁ Χριστός, καθὼς καὶ προϋπῆρχον, ὡς μηδεμίαν εἶναι διαφορὰν τῷ Χριστῷ πρὸς τὰ λοιπὰ λογικὰ παντελῶς οὔτε τῇ οὐσίᾳ οὔτε τῇ γνώσει οὔτε τῇ δυνάμει οὔτε τῇ ἐνεργείᾳ. ὁ γάρ τοι Πυθαγόρας ἀρχὴν τῶν πάντων ἔφησεν εἶναι τὴν μονάδα, καὶ πάλιν Πυθαγόρας καὶ Πλάτων δῆμόν τινα ψυχῶν ἀσωμάτων εἰπόντες καὶ τὰς ἁμαρτάδι τινὶ περι-

25—26 Theodoret. Graec. aff. cur. II Migne Tom. 83, 833 A. 26—*p.* 632, 3 Theod. *ib.* V Migne 928 C.

9 *ψυχικῆς* ABPV *τῆς ψυχικῆς* rell. — 10 *μόνον νοῦν* N *μόνον om.* R. — 15 *πάλιν om.* A *post γίνονται ins.* B. — 16 *πάντες* A *om.* B. — 17 *ἐν τῇ*] *ἐν ᾗ* R *ἐνὶ* C. — 20 *ἀνδρῶν*] *ἀνθρώπων* V *πατέρων* C.

9 *τε om.* P

πεσούσας τιμωρίας χάριν εἰς σώματα καταπέμπεσθαι λέγουσιν, ὅθεν ὁ Πλάτων δέμας τὸ σῶμα καὶ σῆμα κέκληκεν, ὡς ἐν τούτῳ τῆς ψυχῆς οἱονεὶ δεδεμένης καὶ τεθαμμένης.
581 M. εἶτα περὶ τῆς ἐσομένης κρίσεως καὶ ἀνταποδόσεως τῶν
5 ψυχῶν αὖθίς φησιν· ἡ μὲν παιδεραστήσαντος καὶ κακῶς βιώσαντος μετὰ φιλοσοφίας ψυχὴ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ ἐῶνται κολασθεῖσα, καὶ οὕτω πτερωθεῖσα τῷ χιλιοστῷ ἔτει ἐκβάλλεται καὶ ἀπέρχεται, αἱ δὲ ἄλλαι, ὁπόταν τόνδε τὸν βίον τελευτήσωσιν, αἱ μὲν εἰς τὰ ὑπὸ τῆς γῆς δικαιωτήρια
10 ἐλθοῦσαι δίκην ἅμα καὶ λόγον τίσουσιν, αἱ δὲ εἰς τοῦ οὐρανοῦ τινα τόπον ὑπὸ τῆς δίκης κουφισθεῖσαι διάξουσιν ἀξίως καθὼς ἐβίωσαν. οὗ τὴν ἀτοπίαν τοῦ λόγου καταμαθεῖν ῥᾴδιον. τίς γὰρ αὐτὸν ἐδίδαξε τὰς τῶν ἐτῶν περιόδους καὶ χιλιάδας; καὶ ὅτι χιλίων διεληλυθότων ἐτῶν τότε
15 τῶν ψυχῶν ἑκάστη εἰς ἴδιον ἀπέρχεται χῶρον; τὰ δὲ μεταξὺ τούτων οὐδὲ τοῖς ἄγαν ἀσελγεστάτοις ἥρμοττε λέγειν, μήτι γε φιλοσόφῳ τοιούτῳ. τοῖς γὰρ τὴν ἀκραιφνῆ φιλοσοφίαν κατωρθωκόσι τοὺς ἀκολάστους καὶ παιδεραστὰς συνέζευξε καὶ τούτους κἀκείνους τῶν αὐτῶν ἄθλων ἔφησεν ἀπολαύ-
20 σεσθαι. Πυθαγόρας τοίνυν καὶ Πλάτων καὶ Πλωτῖνος καὶ

---

2 Plato Cratyl. *p*. 400 B. — 4—19 Theod. Graec. aff. cur. XI Migne 1108 C. — 5 Plato Phaed. *p*. 248 E. — 20—*p*. 633, 6 Theodoret. Haeret. fabul. compendium V, 9 Migne 480 C.

2 *κέκληκεν* ABP Theod. *ἐκάλεσεν* rell. — 4 *ἐπομένης* (*ἐπ*. D) N. — 6 *ψυχὴ μετὰ φιλοσοφίας* N. — *χιλιετῆ* ABDG *χιλιέτη* C (*χιλιετίᾳ* Theod.). — 7 *ἐῶνται* DEV *ἔωνται* P *ἐῶνται* G *ἔωντε* A *ἐώντε* C *ἐᾶται* BMR. — 9 *τελευτήσωσιν* ABP Theod. *τελέσωσιν* rell. — *ὑπὸ τὴν γῆν* BRV. — *δικαιοτήρια* BCDGV *δικαιότερα* R. — 10 *τὸν οὐρανὸν* CV *οὐράνιον* R. — 11 *ὑπὸ τῆς δίκης κουφισθεῖσαι* P Theod. *κουφ. ὑπὸ τῆς δίκης* ABCR *ὑπὸ τῆς δίκης* *om*. EGN *in* E *alia manu in mg. add.* — 12 *οὗ*] *οὐ* AGR. — 16 *μήτι γε* ABPV *μήτοι γε* rell. (*μήπου γε* Theod.). — 17 *φιλοσοφίαν* ABPV Theod. *πολιτείαν* rell. — 18 *κατορθωκόσι* codd. *praeter* AP. — *παιδεραστὰς* BV *παιδεράστας* DE *παιδαράστας* (*πεδ*. A) AGMP (*et* R *qui τοῖς—παιδαράσταις exhib.*) *παιράστας* C. — 19 *ἀπολαύσασθαι* R *ἀπολαύεσθαι* C *ἀπολαύειν* B.

οἱ τῆς ἐκείνων συμμορίας ἀθανάτους εἶναι τὰς ψυχὰς συνομολογήσαντες προϋπάρχειν ταύτας ἔφησαν τῶν σωμάτων καὶ δῆμον εἶναι ψυχῶν, καὶ τὰς πλημμελούσας εἰς σώματα καταπίπτειν, ὡς ἔφην, καὶ τοὺς μὲν πικροὺς καὶ πονηροὺς εἰς παρδάλεις, τοὺς δὲ ἁρπακτικοὺς εἰς λύκους, τοὺς δὲ 5 δολεροὺς εἰς ἀλώπεκας, τοὺς δὲ θηλυμανεῖς εἰς ἵππους. ἡ δὲ ἐκκλησία τοῖς θείοις ἑπομένη λόγοις φάσκει τὴν ψυχὴν συνδημιουργηθῆναι τῷ σώματι καὶ οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, κατὰ τὴν Ὠριγένους φρενοβλάβειαν. διὰ ταῦτα οὖν τὰ πονηρὰ καὶ ὀλέθρια δόγματα, μᾶλλον δὲ ληρή- 10 ματα, προτρέπομεν τοὺς ὁσιωτάτους ὑμᾶς εἰς ἓν συνηγμένους ἐπιμελῶς ἐντυχεῖν τῇ ὑποτεταγμένῃ ἐκθέσει καὶ ἕκαστον τῶν αὐτῶν κεφαλαίων κατακρῖναί τε καὶ ἀναθεματίσαι μετὰ 532 M. τοῦ δυσσεβοῦς Ὠριγένους καὶ πάντων τῶν τὰ τοιαῦτα φρονούντων ἢ φρονησάντων εἰς τέλος. 15

Ἅπερ δὴ λοιπὸν ἡ σύνοδος ἀκούσασα, καὶ πάντα βασανίσαντες οἱ θεῖοι πατέρες ἐξεβόησαν· ἀναθεματίζομεν ὅλα ταῦτα μετὰ πάντας τοὺς τὰ τοιαῦτα φρονοῦντας ἢ φρονήσαντας μέχρι τέλους.

Ὡσαύτως δὲ καὶ περὶ Θεοδώρου τοῦ Μομψουεστίας καὶ 20 τῶν λοιπῶν οὕτω πάλιν φησὶν ὁ βασιλικὸς τύπος· σπουδὴ γέγονε τοῖς ὀρθοδόξως καὶ εὐσεβῶς προβεβασιλευκόσιν, τοῖς ἡμετέροις πατράσιν, τὰς κατὰ καιρὸν ἀναφυομένας αἱρέσεις

7—8 Theod. *ib.* Migne 481 C. — 20 *sqq. cf.* Rescriptum Justiniani ad patriarchas in actis Synodi quintae apud Mansi Tom. IX, 178 *sqq.*

5 εἰς παρδάλεις — εἰς λύκους *om.* R. — εἰς παρδάλεις] εἰς ὄφεις V (εἰς ἑρπετά Theod.) *om.* C. — 8 οὐ τὸ] οὕτω CM *et ut vid. m. 1* B *in quo* οὐ τὸ *in lit.* — 9 φρενοβλαβείαν AN φρενοβλαβίαν CGP. — 13 μετὰ πάντων τῶν — φρονούντων ἢ φρονησάντων BNV. — τὰ *om.* AG. — 20 τοῦ *om.* PR. — μομψουέστίας ACGM μόμψου ἑστίας EP μοψουεστίας V. — 22 βεβασιλευκόσι (*om.* προ) BR. — 23 κατὰ καιροὺς N.

4 κατὰ πίστιν P. — 17 ἀναθεματίζωμεν P.

διὰ συνόδων ὁσιωτάτων ἱερέων ἐκκόπτειν καὶ τῆς ὀρθῆς πίστεως καθαρῶς κηρυττομένης ἐν εἰρήνῃ τὴν ἁγίαν ἐκκλησίαν τοῦ θεοῦ διαφυλάττειν. διόπερ καὶ Κωνσταντῖνος ὁ μέγας Ἀρείου βλασφημοῦντος καὶ λέγοντος μὴ εἶναι τὸν 5 *υἱὸν ὁμοούσιον τῷ θεῷ καὶ πατρί, ἀλλὰ κτίσμα καὶ ἐξ οὐκ ὄντων γεγονέναι, συναγαγὼν ἐν Νικαίᾳ τοὺς τιη΄ πατέρας καὶ αὐτὸς ἐκεῖσε παραγενόμενος, καὶ τοῦ Ἀρείου καταδικασθέντος καὶ ἀναθεματισθέντος, ἐσπούδασε τὴν ὀρθόδοξον κρατῦναι πίστιν, δι' ἧς ὁμολογήσαντες οἱ θεῖοι πατέρες ὁμο-* 10 *ούσιον εἶναι τὸν υἱὸν τῷ θεῷ καὶ πατρί, μέχρι νῦν ᾄδεται καὶ πιστεύεται. καὶ Θεοδόσιος δὲ ὁ πρεσβύτης, Μακεδονίου ἀρνουμένου τὴν θεότητα τοῦ ἁγίου πνεύματος, καὶ Ἀπολιναρίου τοῦ μαθητοῦ αὐτοῦ βλασφημοῦντος εἰς τὴν οἰκονομίαν τοῦ θεοῦ λόγου καὶ φάσκοντος νοῦν ἀνθρώπινον μὴ* 15 *εἰληφέναι τὸν τοῦ θεοῦ λόγον, ἀλλὰ σαρκὶ ἑνωθῆναι ψυχὴν ἄλογον ἐχούσῃ, συναγαγὼν ἐν Κωνσταντινουπόλει τοὺς ρν΄ πατέρας καὶ μετασχὼν καὶ αὐτὸς τῆς συνόδου, καὶ τῶν εἰρημένων καθαιρεθέντων καὶ ἀναθεματισθέντων αἱρετικῶν μετὰ καὶ τῶν ἀσεβῶν αὐτῶν δογμάτων καὶ ὁμοφρόνων,* 20 *παρεσκεύασε τὴν ὀρθόδοξον πίστιν κηρύττεσθαι. καὶ Θεο-* 533 M. *δόσιος δὲ ὁ νέος, τοῦ ἀσεβοῦς Νεστορίου λέγοντος ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστόν, καὶ τὸν μὲν φύσει υἱὸν τοῦ θεοῦ καὶ πατρός, τὸν δὲ χάριτι υἱὸν ἀσεβῶς εἰσάγοντος, καὶ τὴν ἁγίαν Μαρίαν εἶναι θεοτόκον* 25 *ἀρνουμένου, συναγαγὼν τὴν προτέραν ἐν Ἐφέσῳ τῶν σ΄ ἁγίων πατέρων σύνοδον καὶ ἀποστείλας ἄρχοντας ὀφείλοντας παρεῖναι τῇ συνόδῳ προσέταξε καὶ Νεστόριον παραγενέσθαι καὶ κρίσιν ἐπ' αὐτῷ γενέσθαι. καὶ δὴ γενομένης ἀκριβοῦς ἐξετάσεως, κατεδίκασαν Νεστόριον καὶ ἀνεθεμάτισαν σὺν τοῖς*

---

2 *τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν* BCV *τὴν τοῦ θεοῦ ἁγ. ἐκκλ.* R. — 7 *ἐκεῖσε* (*-σαι* A) AP *ἐκεῖ* rell. — 13 *βλασφημούντων* RV. — 28 *γεναμένης* AN. *In* D *lit. corr.*

8 *ἐσπούδαζε* P.

ὁμόφροσιν αὐτοῦ. τούτων δὲ οὕτω προελθόντων, ἐπαναστάντες Κυρίλλῳ τῷ ὁσιωτάτῳ οἱ τῆς ἐξαγίστου Νεστορίου μερίδος ἐσπούδασαν τό γε ἐπ' αὐτοῖς ἀνατρέψαι τὴν κατὰ Νεστορίου γενομένην κρίσιν. ἀλλ' οὖν γε Θεοδόσιος ὁ βασιλεὺς ἀντιλαμβανόμενος τῶν ὄντως ὀρθῶς κατὰ Νεστορίου 5 *καὶ τῶν πονηρῶν αὐτοῦ δογμάτων κριθέντων παρεσκεύασε κρατεῖν βεβαίως τὴν ἐπ' αὐτῷ γενομένην κρίσιν. καὶ γὰρ πρὸς τούτοις καὶ ἄλλα τινὰ κατὰ τοῦ θείου Κυρίλλου πρὸς τὸν βασιλέα καταφλυαρήσαντες, γράφει πρὸς αὐτὸν Κύριλλος τοιάδε· ἐπειδήπερ ἐπυθόμην, ὦ εὐσεβέστατε βασιλεῦ, τῶν* 10 *φιλοψογεῖν εἰωθότων τινὰς ἀγρίων σφηκῶν δίκην περιβομβεῖν καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους ὡς ἐξ οὐρανοῦ κατακομισθὲν καὶ οὐκ ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ θεῖον σῶμα Χριστοῦ, καὶ μέντοι καὶ δύο υἱοὺς κατὰ Νεστόριον ὁμολογεῖν ἡμᾶς κατεφλυάρησαν, δεῖν ᾠήθη-* 15 *μεν ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν οὕτως· ὦ ἀνόητοι καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν, πῶς εἰς τοῦτο παρήχθητε γνώμης καὶ τοσαύτην νενοσήκατε μωρίαν. ἔδει γὰρ ἔδει σαφῶς ἐννοεῖν, ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ ὑπὲρ τῆς πίστεως ἀγὼν συγκεκρότηται διαβεβαιουμένοις ὅτι θεοτόκος ἐστὶν* 20 *ἡ ἁγία Μαρία. ἀλλ' ἐπείπερ ἐξ οὐρανοῦ καὶ οὐκ ἐξ αὐτῆς τὸ θεῖον γεγενῆσθαι σῶμα τοῦ κυρίου λέγομεν, ὥς φασιν, πῶς ἂν νοοῖτο θεοτόκος; τίνα γὰρ ὅλως τέτοκεν, εἰ μὴ ἔστιν ἀληθὲς ὅτι γεγέννηκε κατὰ σάρκα τὸν Ἐμμανουήλ;* 534 M. *γελάσθωσαν τοίνυν οἱ ταῦτα καὶ τὰ τοιαῦτα κατ' ἐμοῦ* 25 *πεφλυαρηκότες. οὐ γὰρ ψεύδεται λέγων ὁ θεσπέσιος Ἡσαΐας·*

---

1 *προσελθόντων* CMPR. — 4 *γενομένην* MPRV *γεγενημένην* rell. — 15 *δεῖν ὠήθην* BP *διενοήθημεν* C. — 16 *περιτουτον* A *περὶ τούτων* B. — 17 *τὸ om.* CEV. — *παρηνέχθητε* P *προήχθητε* B. — 22 *γεγεννῆσθαι* (*-εἶσθαι* A) AE *et* D *m. 2.* — *τοῦ κυρίου σῶμα* P *σῶμα χριστοῦ* R. — 24 *γεγένηκε* CD *et* recc. quidam. *In* D *m. 2 corr.* — 25 *ταῦτα καὶ τὰ om.* B *et* recc., *qui οἱ κατ' ἐμοῦ τοιαῦτα exhibent.*

5 *οὕτως* P. — 14 *καὶ ante δύο om.* P. — 16 *ὀλίγιστα* P.

ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθ' ἡμῶν ὁ θεός. ἀληθεύει δὲ πάντως καὶ ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τὴν παρθένον εἰπών· μὴ φοβοῦ, Μαριάμ, εὗρες γὰρ 5 *χάριν παρὰ τῷ θεῷ, καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. ὅταν δὲ λέγωμεν ἄνωθεν καὶ ἐξ οὐρανοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐχ ὡς ἄνωθεν ἐξ οὐρανοῦ κατενεχθείσης τῆς* 10 *ἁγίας αὐτοῦ σαρκὸς τοῦτό φαμεν, ἀλλ' ὡς ἑπόμενοι τῷ ἱερῷ Παύλῳ φάσκοντι· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἐξ οὐρανοῦ. μεμνήμεθα δὲ καὶ αὐτοῦ τοῦ κυρίου λέγοντος· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. καίτοι γεγέν-* 15 *νηται κατὰ σάρκα, ὡς εἴρηται, ἐκ τῆς ἁγίας παρθένου. ἐπειδὴ δὲ ὁ ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταφοιτήσας θεὸς λόγος κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖναι ὃ ἦν, τοῦτ' ἔστι θεός, (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστὶν) ὡς* 20 *εἷς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκὸς ἐξ οὐρανοῦ λέγεται κατελθεῖν. ὠνόμασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ τέλειος ὢν ἐν θεότητι καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι*

---

1 Jes. 7, 14. — 4 Luc. 1, 30; 31. — 6 Matth. 1, 21. — 11 I. Cor. 15, 47. — 13 Joh. 3, 13. — 17 Phil. 2, 7.

3 *δὲ*] *γὰρ* BM. — *ὁ om.* EG. — 6 *καλέσῃς* AGNP *καλέσουσι* V. — 8 *ἄνωθεν καὶ ἐξ οὐρ.* ABPV *καὶ om.* rell. — 8 *τὸν κύριον* — 9 *οὐρανοῦ om.* B. — 9 *ἄνωθεν καὶ ἐξ οὐρ.* AV. — 11 *ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ* BPR (*ex* I. Cor. 15, 47). — 12 *δὲ om.* EM *καὶ om.* recc. quidam. — 14 *γεγένηται* GNV *et* recc. nonnulli. — 15 *κατὰ σάρκα* ABPV *κατὰ om.* rell. — 16 *ἄνωθεν καὶ ἐξ οὐρ.* ABPV *καὶ om.* rell. — 18 *υἱὸς ἀνθρώπου* ABPV *υἱὸς υἱὸς* (*sic*) M *ἀνθρώπου υἱὸς* rell. — 19. 20 *ὡς ἴδη* (*om. εἷς*) C *ὃς εἷς εἴδει* V *ὃς εἰς εἴδη* R.

4 *μαρία* P. — 18 *μετ' αὐτοῦ μεῖναι* P.

καὶ ὡς ἐν ἑνὶ προσώπῳ νοούμενος. εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν τῶν φύσεων ἡ διαφορὰ μὴ ἀγνοῆται, ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσίν φαμεν πεπρᾶχθαι. τοιγαροῦν ὁμολογοῦμεν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ καὶ λόγον θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος, 5 *πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν* 535 M. *θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα δύο* 10 *γὰρ φύσεων ἕνωσις γέγονεν, ὅθεν ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην οὖν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον ἀληθῶς θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς συλλήψεως ἑνῶσαι αὐτῷ τὸν ἐξ αὐτῆς* 15 *ληφθέντα ναόν. καὶ εἰ δοκεῖ δεξώμεθα εἰς παράδειγμα τὴν καθ' ἡμᾶς αὐτοὺς σύνθεσιν, καθ' ἥν ἐσμεν ἄνθρωποι. συντεθείμεθα γὰρ ἐκ ψυχῆς καὶ σώματος, καὶ ὁρῶμεν φύσεις δύο, ἑτέραν μὲν τοῦ σώματος, ἑτέραν δὲ τῆς ψυχῆς, ἀλλ' εἷς ἐξ ἀμφοῖν καθ' ἕνωσιν ἄνθρωπος. καὶ οὐχὶ τὸ ἐκ* 20 *δύο φύσεων συντεθεῖσθαι δύο ἀνθρώπους τὸν ἕνα νοεῖσθαι παρασκευάζει, ἀλλ' ἕνα τὸν ἄνθρωπον κατὰ σύνθεσιν, ὡς ἔφην, τὴν ἐκ ψυχῆς καὶ σώματος. ἐὰν γὰρ ἀνέλωμεν τὸ ὅτι ἐκ δύο καὶ διαφόρων φύσεων ὁ εἷς καὶ μόνος ἐστὶ Χριστὸς ἀδιάσπαστος ὢν μετὰ τὴν ἕνωσιν, ἐροῦσιν οἱ δι' ἐναν-* 25 *τίας· εἰ μία φύσις τὸ ὅλον, πῶς ἐνηνθρώπησεν, ἢ ποίαν ἰδίαν ἐποιήσατο σάρκα; τοὺς δὲ λέγοντας, ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἐγένετο τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα καταξιωσάτω σου ἡ θεοσέβεια προδήλως ἐπιστομίζειν.*

---

1 *ἐν om.* AC. — 2 *ἀγνοεῖται* AMP. — 4 *καὶ λόγον* ABPV *καὶ om.* rell. — 9 *ὁμοούσιον* — 10 *θεότητα om.* recc. quidam. — 10 *καὶ ὁμοούσιον* — *ἀνθρωπότητα om.* CR. — 17 *αὐτοὺς*] *αὐτοῦ* CERV. — 22 *κατὰ τὴν σύνθεσιν* RV.

25 *ἀδιασπάστως* P. — 26 *τὸν ὅλον* P.

Μετὰ δὲ ταῦτα Κυρίλλου τελευτήσαντος ἐπιφύεται μοναχός τις καὶ ἀρχιμανδρίτης Εὐτυχὴς ὀνομαζόμενος καὶ ἀποσπᾷ κατόπιν αὐτοῦ μέρος οὐκ ὀλίγον τοῦ λαοῦ κυρῶν τὰ Νεστορίου καὶ τὸ ἑαυτοῦ πονηρὸν δόγμα φάσκων μὴ εἶναι τὴν 5 σάρκα τοῦ κυρίου ἡμῖν ὁμοούσιον. καὶ δὴ πάλιν μετ' ὀλίγον διὰ βασιλικῆς ἰσχύσαντος χειρὸς ἑτέρα σύνοδος ἐν Ἐφέσῳ λῃστρική τις καὶ οὐχ ὁσία συνάγεται, παραπεμφθέντος ἐκεῖσε καὶ Φλαβιανοῦ Κωνσταντινουπόλεως, τὴν πᾶσαν ἐξουσίαν Διοσκόρου Ἀλεξανδρείας ἔχοντος. καὶ φονεύεται μὲν Φλα-10 βιανὸς ὁ θεῖος ὑπερμαχῶν τῆς ὀρθοδόξου πίστεως, ἀνατρέπεται δὲ ἡ ἐν Ἐφέσῳ πρώτη σύνοδος, ὑπογραψάντων φονικῇ βίᾳ τινῶν ἐπισκόπων, ἐξ ὧν ὑπῆρχε Βασίλειος ὁ Σελευκείας. κἀντεῦθεν τῶν τοῦ Νεστορίου καὶ Διοσκόρου 536 M. καὶ Εὐτυχοῦς δημοσιευομένων πονηρῶν δογμάτων, καὶ πολ-15 λῆς ταραχῆς γινομένης καὶ ζάλης μάλιστα ἐν τῇ ἀνατολῇ, φονεύεται Προτέριος ὁ μέγας ἱερεὺς καὶ ἕτεροι πλεῖστοι. τούτων οὖν οὕτως ἐχόντων ἀνίσταται θεόθεν Μαρκιανὸς ὁ βασιλεύς, καὶ συναγαγὼν ἐν Χαλκηδόνι τὴν τῶν χλ' πατέρων σύνοδον, παρόντων Διοσκόρου καὶ Εὐτυχοῦς, μεθ' ὧν καὶ 20 αὐτὸς παρευρεθείς, καταδικάζονται μὲν Διόσκορος καὶ Εὐτυχὴς καὶ Νεστόριος καὶ πάλιν ἀναθεματίζονται, Θεοδώρητον δὲ καὶ Ἴβαν καὶ Βασίλειον Σελευκείας ἐδέξαντο καθυπογραψάντων, καὶ τῆς λῃστρικῆς συνόδου ἀνατραπείσης καὶ ἀναθεματισθείσης εἰς μίαν συμφωνίαν ἤγαγον πάντας οἱ θεῖοι 25 πατέρες.

Τούτων δὲ τῶν δ' συνόδων οὕτω γενομένων καὶ ἐπιβεβαιωθέντων καὶ κρατούντων ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, οἱ

---

4 *τὴν σάρκα*] *τὸ σῶμα* RV. — 7 *συνάγεται* (*in* A *m. 1 corr. ex* *συνέχεται*) ABP *γίνεται* rell. — 13 *σελευκίας* CGN *σελευ* B. — 15 *γενομένης* BEM. — 18 *καλχηδόνι* (*-ηδόνη* V *-ιδόνη* A) ABV. — *τὴν om.* CM. — 20 *παρευθείς* G *πορευθείς* BRV. — *καταδικάζεται* B *et* recc. nonnulli. — 22 *σελευκίας* CGNP.

21 *καὶ ante πάλιν om.* P.

τὰ Νεστορίου φρονοῦντες ἐσπούδασαν αὖθις τὴν αἵρεσιν αὐτῶν κρατῦναι διὰ τῆς Θεοδώρου τοῦ Μομψουεστίας ἀφορμῆς πολλῷ χείρονα τοῦ μαθητοῦ αὐτοῦ Νεστορίου βλασφημήσαντος. ὅθεν τοίνυν καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς ἡμετέροις πατράσι καὶ βουλόμενοι τὴν ὀρθὴν πίστιν ἀλώβητον 5 *διαφυλάττεσθαι προτρέπομεν καὶ τούτου τὰς βλασφημίας διεξετάσαντες κατ' αὐτοῦ καὶ τῶν ὁμοφρόνων αὐτοῦ ἀποφήνασθαι. πρὸς γὰρ ταῖς ἄλλαις αὐτοῦ ἀναριθμήτοις δυσφημίαις εἰς Χριστὸν τὸν θεὸν ἡμῶν γενομέναις ἄλλον εἶναι τὸν θεὸν λόγον ἔφη καὶ ἄλλον τὸν Χριστὸν ὑπὸ τῶν τῆς* 10 *ψυχῆς παθῶν καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον καὶ τῶν χειρόνων κατὰ μικρὸν ἀφιστάμενον πρὸς τὰ κρείττονα τῇ προκοπῇ τῶν ἔργων ἐληλυθέναι καὶ τῇ ἀρίστῃ πολιτείᾳ γενόμενον ἄμωμον, καὶ ὡς ψιλὸν ἄνθρωπον ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθῆναι καὶ διὰ* 15 *τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος εἰληφέναι καὶ υἱοθεσίας ἠξιῶσθαι καὶ καθ' ὁμοίωσιν βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ θεοῦ λόγου τὸν Χριστὸν προσκυνεῖσθαι καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ ἀναμάρτητον γεγενῆσθαι. καὶ πρὸς τούτοις εἶπε τοιαύτην γενέσθαι* 20 *τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὸν Χριστόν, ὁποίαν ὁ ἀπόστολος ἔφη περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός· ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ἔτι δὲ προτρέπομεν ὑμᾶς ἐξετάσαι καὶ* 537 M. *τὰ κακῶς γραφέντα παρὰ Θεοδωρήτου καὶ Ἴβα κατὰ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδου καὶ ὁμοίως τὰ κατ' αὐτῶν* 25 *ἀποφήνασθαι.*

Καὶ ταῦτα πάλιν ὡσαύτως οἱ θεῖοι πολυπραγμονήσαντες πατέρες ἀπεκρίθησαν· ἡ μὲν ἐν Χαλκηδόνι θεία σύνοδος

---

22 Eph. 5, 31.

2 *μομψονέστίας* AC *μόμψου ἑστίας* EP *μοψουεστίας* V. — 8 *αὐτοῦ ἀναριθμήτοις* NP *ἀναριθμήτοις αὐτοῦ* rell. — 9 *ἡμῶν om.* RV. — *γενομέναις* PV *γινομέναις* (-*νας* B) rell. — 20 *γενέσθαι* ABP *γεγενῆσθαι* rell. — 28 *καλχηδόνι* BV.

2 *τοῦ om.* P. — 3 *χεῖρον αὐτοῦ μαθ.* P.

Θεοδώρητον καὶ Ἴβαν πολλὰ καταβοήσασα οὐκ ἄλλως αὐτοὺς ἐδέξατο, εἰ μὴ πρότερον ἀνεθεμάτισαν τὰ ἴδια πονηρὰ συγγράμματα καὶ Θεόδωρον καὶ Νεστόριον. ἡμεῖς δὲ κατακρίνομεν καὶ ἀναθεματίζομεν πρὸς τοῖς ἄλλοις ἅπασιν αἱρε-
5 *τικοῖς τοῖς κατακριθεῖσι καὶ ἀναθεματισθεῖσιν ὑπὸ τῶν εἰρημένων ἁγίων δʹ συνόδων καὶ Θεόδωρον τὸν γενόμενον ἐπίσκοπον Μομψουεστίας καὶ τὰ δυσσεβῆ συγγράμματα αὐτοῦ, καὶ μέντοι καὶ τὰ κακῶς παρὰ Θεοδωρήτου συγγραφέντα κατά τε τῆς ὀρθῆς πίστεως καὶ τῶν ιβʹ κεφαλαίων τοῦ ἐν*
10 *ἁγίοις Κυρίλλου καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἱερᾶς συνόδου καὶ ὅσα ὑπὲρ συνηγορίας Θεοδώρου καὶ Νεστορίου αὐτῷ γέγραπται. πρὸς τούτοις ἀναθεματίζομεν καὶ τὴν ἀσεβῆ ἐπιστολὴν τὴν λεγομένην παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην τὴν ἀρνουμένην τὸν θεὸν λόγον ἐκ τῆς ἁγίας*
15 *Μαρίας τῆς θεοτόκου σαρκωθέντα ἄνθρωπον γεγενῆσθαι καὶ τὸν θεσπέσιον Κύριλλον ὡς αἱρετικὸν διαβάλλουσαν, καὶ μεμφομένην μὲν τὴν ἐν Ἐφέσῳ πρώτην ἁγίαν σύνοδον ὡς χωρὶς κρίσεως καὶ ζητήσεως Νεστόριον καθελοῦσαν καὶ τὰ ιβʹ κεφάλαια τοῦ μακαρίου Κυρίλλου διαπτύουσαν, ἐκδικοῦ-*
20 *σαν δὲ Νεστόριον καὶ Θεόδωρον καὶ τὰ θεοστυγῆ αὐτῶν συγγράμματά τε καὶ δόγματα. διὸ δὴ τοίνυν τὰς μὲν τῶν αἱρετικῶν τούτων καὶ πάντων ἀθυροστόμους γλώσσας καὶ τὰς τούτων ἀσεβεστάτους συγγραφὰς αὐτούς τε τοὺς αἱρετικοὺς τοὺς μέχρι τέλους ἐμμείναντας τῇ οἰκείᾳ κακοδοξίᾳ*
25 *καὶ πονηρίᾳ μετὰ τοῦ πατρὸς τοῦ ψεύδους εἰκότως διαβόλου συναριθμοῦντες ἐροῦμεν· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογί, ᾗ ἐξεκαύσατε.*

---

26 Jes. 50, 11.

6 *τεσσάρων ἁγίων συνόδων* B *ἁγίων συνόδων δʹ* E. — 7 *μομψουέστίας* AM *μόμψου ἑστίας* CEP *μοψουεστίας* V. — 13 *μάρην* NV. — 17 *μὲν om.* AM *et* recc. nonnulli. — *πρώτην om.* N. — 19 *τοῦ μακαρίου om.* N. — 21 *δὴ om.* BV *et* recc. quidam. — 23 *ἀσεβεστάτας* AB. — 26 *πορεύεσθαι* AGMP.

14 *ἐκ τῆς ἁγίας θεοτόκου μαρίας σαρκ.* P.

Ἐφ' ὧν χρόνων καὶ θανατικὸν ἀνθρώπων γέγονεν ἐν Κωνσταντινουπόλει εἰς ἐξάλειψιν καὶ τοιοῦτον, ὥστε μένειν ἀτάφους τοὺς ἀποθνήσκοντας ἐπὶ ἡμέρας τρεῖς διὰ τὸ μὴ ἐξαρκεῖν τοὺς κραβάτους τῶν ἐκκλησιῶν καὶ τῶν οἴκων πρὸς τὸ ἐκφέρειν τοὺς τελευτῶντας. ὅθεν ποιήσας ὁ βασιλεὺς κραβάτους χιλίους, καὶ μηδ' οὕτως ἐξαρκούντων, ἁμάξας προσέταξε πλείστας εὐτρεπισθῆναι καὶ ἄλογα, καὶ ἐπιστοιβάζοντες ἐν αὐτοῖς τοὺς νεκροὺς ἐξωδίαζον. ἐπιτεινομένης δὲ τῆς θνήσεως ἔρριπτον τοὺς πλείονας εἰς τὸν αἰγιαλόν, καὶ ἔμενον ἄταφοι ἕως ἡμερῶν ϛ' διὰ τὸ μηδὲ τὰ πλοῖα ἐξαρκεῖν διαπερᾶν καὶ θάπτειν. οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν τοῖς οἴκοις καὶ τοῖς ἐμβόλοις καὶ ταῖς ἐκκλησίαις οὐκ ἦν τόπος, ἐν ᾧ οὐ κατέκειντο νεκροὶ ἀπόζοντες. πολλοὶ δὲ καὶ ἀδιάθετοι τελευτῶντες, εἰς πρόσωπα ξένα τὰ ἑαυτῶν ἤρχοντο διὰ τὸ πάντας ἄρδην τελευτᾶν τοὺς συγγενεῖς αὐτῶν καὶ οἰκείους. ἐκράτησεν οὖν ἡ θνῆσις αὕτη μῆνας β', Ἰούλιον καὶ Αὔγουστον. ἐγένοντο δὲ καὶ βρονταὶ μεγάλαι σφόδρα καὶ ἀστραπαὶ φοβεραὶ λίαν, ὥστε καὶ ἀνθρώπους καθεύδοντας ἐκ τῶν ἀστραπῶν καυθῆναι. καὶ μέντοι καὶ σεισμὸς

538 M. — 5 — 10 — 15

1—*p.* 642, 22 *cf.* Leo Gramm. *p.* 127, 17 *sqq.* — 1—17 *cf.* Mal. *p.* 482, 4. — 17—19 *cf.* Mal. *p.* 483, 22 Theoph. *p.* 226, 11. — 19—*p.* 642, 7 *cf.* Mal. *p.* 485, 8 Theoph. *p.* 227, 21.

1 ἀνθρώπων *om.* V *post* κωνσταντινουπόλει *ins.* D. — 4 κραβάτους CELP *et* recc. quidam κραβάττους A *et* recc. alii κραββάτους BGV κραββάττους D. — 5 τοὺς *om.* EG. — ποιήσας *post* κραβάτους *ins.* AB. — ὁ βασιλεὺς ἰουστινιανὸς ER. — 6 κραβάτους CE κραβάττους ADR κραββάτους BGLPV. — 7 ἐπιστυβάζοντες V ἐπιστιβάζοντες AER. — 8 ἐξοδίαζον AP. — 12 καὶ ἐν τοῖς ἐμβόλ. ADL. — 13 οὐκ ἀπέκειντο (οὐ καπ. G) ADG. — 15 τοὺς συγγενεῖς αὐτῶν καὶ οἰκείους ABP τοὺς οἰκείους καὶ συγγενεῖς L τοὺς συγγενεῖς καὶ τοὺς οἰκείους rell.

1. 2 γέγονεν εἰς ἐξάληψιν ἐν κωνστ. τοιοῦτον P. — 5 τοὺς τελευτῶντας *om.* P. — 7 εὐτρεπισθῆναι *om.* P. — 8 ἐν αὐτοῖς *om.* P. — 10 ἕως ἡμερῶν ἓξ ἄταφοι P. — 13 ἀνάρπαστοι καὶ ἀδιάθετοι P. — 16 *Post* οἰκείους P *add.*: καὶ τὸν θάνατον ἀλλήλων ἢ τὴν ταφὴν μὴ βλέπειν (*cf.* Mal. *p.* 482, 10). — 19 βλαβῆναι καὶ καυθῆναι P (βλαβῆναι Mal. Theoph.).

γέγονε μέγιστος καὶ παγκόσμιος ὥστε πᾶσαν τὴν οἰκουμένην σχεδὸν πτωθῆναι, καὶ τὴν θάλασσαν ἀναριχάναι μίλια β', καὶ ἀπολέσθαι πλοῖα ἐν τῇ τοῦ ὕδατος ἀναχαιτίσει διαπλέοντα πάμπολλα καὶ ἀναρίθμητα. καὶ ἐν μὲν τῇ Ἀραβίᾳ
539 M 5 καὶ Παλαιστίνῃ καὶ Μεσοποταμίᾳ καὶ Ἀντιοχείᾳ κατεπτώθησαν πόλεις πολλαὶ καὶ κῶμαι, καὶ συνελήφθησαν ἀνθρώπων πλήθη καὶ ἀλόγων, ἐν δὲ Κωνσταντινουπόλει ἐκκλησίαι καὶ οἶκοι πολλοὶ πεπτώκασι καὶ τὸ πλεῖστον μέρος τοῦ τείχους τῆς πόλεως, καὶ ἀπέθανεν ἐν τοῖς συμπτώμασιν ἀν-
10 θρώπων πλῆθος ἄπειρον, καὶ ἐπεκράτησεν ὁ σεισμὸς ἡμέρας καὶ νύκτας μ'. καὶ πῦρ ἐφάνη ἐν τῷ οὐρανῷ ὡς εἶδος λόγχης ἀπὸ ἄρκτου ἐπὶ δυσμὰς ἕλκον. καὶ γέγονε σεισμὸς πάλιν, ὥστε παθεῖν τὰ δύο τείχη Κωνσταντινουπόλεως τὸ ἀνατολικὸν καὶ τὸ δυτικόν, καὶ πολλαὶ ἐκκλησίαι καὶ οἶκοι
15 ἕως ἐδάφους κατέπεσαν, ἀλλὰ μὴν καὶ τὰ προάστεια καὶ τὸ Ῥήγιον ἠδαφίσθησαν, καὶ πολλοὶ ἀπώλοντο, καὶ διεφθάρησαν οἱ τόποι ὡς μηδὲ γνωρίζεσθαι αὐτοὺς εὐχερῶς. καὶ ἐπεκράτησεν ἡ γῆ σειομένη διηνεκῶς ἡμέρας καὶ νύκτας ι'. διὸ καὶ λυπούμενος ὁ βασιλεὺς εἰς τὰ γενέθλια καὶ τὰ θεο-
20 φάνια χωρὶς τοῦ στέμματος προῆλθε καὶ τὰ ἐξ ἔθους ἀριστόδειπνα τῆς δωδεκαημέρου οὐκ ἐποίησεν, ἀλλὰ πάντα πτωχοῖς διένειμεν. ἔτι μὴν αὖθις ἐπεγένετο θανατικὸν ἐκ

7—11 *cf.* Mal. *p.* 486, 23 Theoph. *p.* 229, 5. — 11—12 *cf.* Mal. *p.* 488, 15 Theoph. *p.* 230, 33. — 12—22 *cf.* Mal. *p.* 488, 20 Theoph. *p.* 231, 14. — 22—*p.* 643, 3 *cf.* Mal. *p.* 489, 15 Theoph. *p.* 232, 13.

2 πτοηθῆναι AR. — 12 ἕλκων CDGV. — 13 τὸ ἀνατολικὸν ABDGP τὸ ἀνατολ. μέρος CELRV. — 15 κατέπεσαν AEGPR κατέπεσον BCLV *et* D *corr. ex* κατέπεσαν *incert. q. m.* — καὶ *ante* τὰ *om.* CV *et* recc. quidam τὰ *om.* L. — 16 ῥίγιον ADG ῥήγειον BL ῥίγειον V ῥίγιν P. — ἠφανίσθησαν ELR. — 17 οἱ τόποι ABP οἱ *om.* rell. — 19 τὰ *ante* θεοφ. *om.* BP. — θεοφάνεια APR.

1 μέγιστός τε πάνυ καὶ παγκόσμ. P. — 10 ἀπεκράτησεν P. — 11 νύκτας μ' πᾶσαν τὴν γῆν καταστρέφων P. — 22 ἔτι μὴν αὖθις γενόμενος *(sic corr. ex* γενόμενον, *m. 1 ut vid.)* ἀνθρώπων

νοσήματος τοῦ λεγομένου βουβῶνος μῆνας δ΄ καὶ οὐχ ἧττον διέφθειρε τοῦ προτέρου θανατικοῦ πᾶσαν τὴν πόλιν καὶ τὰ πόρρω ταύτης.

Ἐν δὲ Ἀντιοχείᾳ γενομένου πάλιν σεισμοῦ μεγάλου ἐπὶ ὥραν μίαν, ἠκούσθη βρυγμὸς ἐκ τοῦ οὐρανοῦ φοβερώτατος, 5 *καὶ ἀπέθανον ἐν τῇ συμπτώσει χιλιάδες ε΄. λιτανευόντων οὖν πάντων καὶ τρεμόντων, ἐφάνη ἐν ὁράματι ἀνθρώπῳ τινὶ ὥστε εἰπεῖν τοῖς ἐν τῇ πόλει, ἵνα ἐπιγράψωσιν εἰς τὰ ὑπέρθυρα αὐτῶν· Χριστὸς μεθ' ἡμῶν, στῆτε. καὶ τούτου γενομένου παραυτίκα ἔπαυσεν ἡ ὀργὴ τοῦ θεοῦ. καὶ ἀστὴρ* 10 540 M. *ἐφάνη μέγας εἰς τὸ δυτικὸν μέρος κομήτης ἐπὶ τὰ ἄνω πέμπων τὰς ἀκτῖνας, ὃν ἔλεγον Λαμπαδίαν. καὶ διαμείνας ἐπὶ ἡμέρας καὶ νύκτας κ΄ φαίνων οὕτως, ἐγένοντο κοσμικαὶ δημοκρατίαι καὶ φόνοι πολλοί. καὶ μετὰ χρόνον τινὰ γέγονεν ἀστέρων δρόμος ἀφ' ἑσπέρας ἕως πρωΐ, ὥστε πάντας ὑπερ-* 15 *εκπλήττεσθαι καὶ λέγειν ὅτι πίπτουσιν οἱ ἀστέρες. καὶ μετ' ὀλίγον πάλιν ὁ ἥλιος χωρὶς ἀκτίνων ἐφαίνετο ὥσπερ ἡ σελήνη. πόλεμοι δὲ καὶ νόσοι καὶ θάνατοι τοῖς ἀνθρώποις οὐκ ἐπέλειπον.*

Ἦλθε δὲ καὶ ἐκ τὴν δύσιν ἄνθρωπος κωμοδρόμος ἐν 20

4—10 *cf.* Mal. *p.* 442, 18 Theoph. *p.* 177, 22. — 10—14 *cf.* Mal. *p.* 454, 5 Theoph. *p.* 181, 14. — 14—16 *cf.* Mal. *p.* 477, 10 Theoph. *p.* 186, 3. — 16—19 *cf.* Theoph. *p.* 202, 10. — 20—*p.* 644, 12 *cf.* Mal. *p.* 453, 15 Theoph. *p.* 224, 15 Leo Gr. *p.* 130, 1.

1 *βομβῶνος* BL *βομβόνος* A. — 5 *A verbo φοβερώτατος deficit* A *quattuor foliis intercisis.* — 11 *κομίτης* DGPRV. — 13 *δημοκρατεῖαι* (*-είαι* CP) BCP. — 17 *ἀκτίνως* C *ἀκτῖνος* P. — *ἔφαινεν* V *ἔφεγγεν* B. — 19 *οὐκ ἐπέλιπον* BL *οὐδ' ὅλως ἔλιπον* V *οὐ διακατέλιπον* R. — 20 *ἐκ τὴν δύσιν* DEGP *ἐκ τῆς δύσεως* BCMR *ἀπὸ τῆς δύσεως* V. — *κομοδρόμος* GNP.

ἐκ βουβόνων θανατικὸν μῆνας δ΄ οὐχ ἧττον P. — 3 *ταύτης εἰς ἐξάλειψιν* P. — 10 *παρευθὺ* P. — 13 *φαινόμενος* P. — *ἐγίνοντο* P. — 14 *πλεῖστοι* P. — 15 *δρόμος πολὺς ἀφ'* P Mal. Theoph. — 17 *ἐφαίνετο*] *ἐστύγναζεν* P Theoph. — 17—19 *ὥσπερ ἡ σελήνη τὸν ἐνιαυτὸν ὅλον ἐκεῖνον, ἐν ᾧ οὔτε πόλεμος οὔτε νόσος καὶ θάνατος ἐπιφερόμενος τοῖς ἀνθρώποις ἐπέλειπεν* P Theoph.

Κωνσταντινουπόλει ἔχων κύνα ξανθὸν καὶ τυφλόν, ὅστις κελευόμενος παρὰ τοῦ κωμοδρόμου ἐποίει θαύματα παράδοξα. παρεστῶτος γὰρ ὄχλου παμπόλλου, καὶ τοῦ κωμοδρόμου λαμβάνοντος δακτυλίδια χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ χαλκᾶ καὶ
5 *σιδηρᾶ, καὶ πάντα μίσγων καὶ περισκέπων χώματι καὶ τῷ κυνὶ ἐπιτρέπων, ἐλάμβανε διὰ τοῦ στόματος καὶ ἐδίδου ἑκάστῳ τὸ ἴδιον. ὡσαύτως καὶ νομίσματα παρεῖχε κατ' ὄνομα. καὶ πρὸς τούτοις ἐπερωτώμενος ἐπεδείκνυε τὰς ἐν γαστρὶ ἐχούσας νομίμως καὶ τὰς παρανόμως, τοὺς μοιχοὺς καὶ τὰς*
10 *πόρνας, τοὺς εὐπροαιρέτους καὶ ἐλεήμονας, τοὺς ἀδιακρίτους*
541 M. *καὶ ἀνελεήμονας, μετὰ ἀληθείας πάντα κατεμήνυεν. ὅθεν ἔλεγον ὅτι πνεῦμα Πύθωνος ἔχει.*

Γέγονε δὲ καὶ διαστροφὴ περὶ τοῦ πάσχα, καὶ ὁ μὲν πλεῖστος λαὸς ἐποίησε τὴν ἀπόκρεων πρὸ τοῦ βασιλέως. ὁ
15 *δὲ βασιλεὺς προσέταξεν ἑτέραν ἑβδομάδα πραθῆναι κρέα, καὶ πάντες οἱ κρεοπῶλαι σφάξαντες, οὐδεὶς ἠγόραζεν· οὐδὲ γὰρ ἤσθιον. τὸ δὲ πάσχα γέγονεν, ὡς ὁ βασιλεὺς ἐκέλευσεν, καὶ εὑρέθη νηστεύων ὁ λαὸς ἑβδομάδα περισσοτέραν.*

13—18 *cf.* Mal. 482, 19 Theoph. *p.* 225, 5.

2 *κομοδρόμου* CGNP *item v.* 3. — 4 *δακτύλια* NP. — 4. 5 *καὶ σιδηρᾶ καὶ χαλκᾶ* RV. — 5 *σμίγων* CER *μιγνύων* V. — 6 *ἑκάστου* CM. — 10 *τοὺς ἀδιακρίτους καὶ ἀνελεήμονας om.* CM. — *καὶ τοὺς ἀδιακρίτους* B. — 11 *ὅθεν καὶ ἔλεγον* RV. — 12 *πύθονος* CP *πείθονος* M. — 14 *ἀπόκρεων* BER *ἀπόκρεον* NPV *ἀπόκρεαν* L *ἀποκρέαν* C *ἀπ^{ο'}* G. — 15 *βασιλεὺς om.* N. — *ἐκέλευσε* RV. — *πραθῆναι* BP Mal. Theoph. *παραθῆναι* CEGLN *παραθεῖναι* RV. — 16 *κρεοπώλοι* G *et* D *sed -οι lit. ex -αι. κρεωπῶλοι* recc. nonnulli *et* B *item lit. corr. ex -αι.* — 17 *ἤσθιεν* L *ἤσθιέ τις* R. — 18 *ηὑρέθη* EP.

3 *παμπόλλου om.* P Mal. Theoph. Leo. — 3. 4 *λαμβ. ἐκ πολλῶν δακτύλια* P. — 7 *νομίσματα διαφόρων βασιλέων μιγνύμενα παρ.* P Mal. Theoph. Leo. — 8 *καὶ πρὸς τούτοις παρεστῶτος λαοῦ ἀνδρῶν τε καὶ γυναικῶν ἐπερωτ.* P Mal. Theoph. Leo. — 9. 10 *καὶ τοὺς μοιχοὺς — καὶ τοὺς εὐπροαιρ. — καὶ τοὺς ἀδιακρ.* P. — 16 *οὐδὲ*] *οὐ* P.

Καὶ διεβλήθησαν τότε τινὲς ὡς ἀρρενοφθόροι. ὁ δὲ βασιλεὺς διάταξιν ἐξεφώνησεν ἔχουσαν οὕτως· πάντας τοὺς εὑρισκομένους τοὺς μὲν καυλοτομεῖσθαι, τῶν δὲ καλάμους ὀξεῖς ἐμβάλλεσθαι εἰς τοὺς πόρους τῶν αἰδοίων αὐτῶν, καὶ οὕτω κατὰ τὴν ἀγορὰν γυμνοὺς θριαμβεύεσθαι. διὸ καὶ 5 *πολλοὶ τῶν μεγιστάνων εὑρέθησαν, τῶν δὲ ἀρχιερέων οὐκ ὀλίγοι, καὶ οὕτω περιαγόμενοι οἰκτρῶς ἐτελεύτησαν. καὶ γενομένου φόβου μεγάλου οἱ λοιποὶ ἐσωφρονίσθησαν. καὶ μάλα εἰκότως· ὀλολυζέτω, γάρ φησιν, πίτυς ὅτι πέπτωκε κέδρος, τοῦτ' ἔστι τῶν ἰσχυρῶν καὶ μεγάλων πιπτόντων τὰ* 10 *ἀσθενέστερα παιδευέσθωσαν. οὕτω γε μὴν καὶ ὁ σοφὸς λέγει· τῶν ἀσεβῶν πιπτόντων δίκαιοι κατάφοβοι γίνονται. καί· λοιμοῦ μαστιγουμένου ἄφρων πανουργότερος γίνεται.*

Ἡ τοίνυν μυσαρωτάτη καὶ λυσσώδης αὕτη καὶ παρὰ φύσιν ἁμαρτία πρώην ὑπὸ Σοδόμων διαπραττομένη καὶ 15 512 M. *ὥσπερ τις φωνὴ ἀνερχομένη καὶ βοῶσα τὸ μέγεθος τῆς ἀσεβείας εἰς τὰ ὦτα κυρίου Σαβαώθ, ἔφασκεν ὁ πολλὰ πρῶτον*

1—8 *cf.* Mal. *p.* 436, 3 Theoph. *p.* 177, 11 Leo Gr. *p.* 128, 17. — 9 Zach. 11, 2. — 12 Prov. 29, 16. — 13 Prov. 19, 25.

1 *καὶ διεβλήθ.* (*δὲ add.* E) *τότε τινὲς* (*τινες τότε* C) CENR *τότε* (*δὲ add.* G) *διεβλήθησάν τινες* BGV *διεβλήθησαν δέ τινες* (*om. τότε*) L. — 2 *τοὺς τοιούτους εὑρισκομένους* L *τοὺς εὑρ. ἀρρενοφθόρους* B *τοὺς εὑρ. εἰς τὴν τοιαύτην βδελλυρὰν καὶ παρὰ φύσιν ἐσχρὰν πρᾶξιν* G. — 5 *τὴν ἀγορὰν — p.* 647, 22 *ἐτέχθη om.* G. — 5 *γυμνοῦσθαι καὶ θριαμβεύεσθαι* V *et* recc. nonnulli *γυμνοῦσθαι καὶ om.* recc. rell. — 9 *φησιν om.* NR. — 13 *μαστιγομένου* CV *μαστιγωμένου* N *μαστιζομένου* Suid. *v. ὀλολυζέτω πίτυς.* — 17 *πρότερον* N.

1—9 *sic in* P: *τινὲς δὲ διαβληθέντες ὡς ἀρρενοφθ. διάταξιν ἐξεφώνησε τοὺς εὑρισκομένους οὕτω τοὺς μὲν καυλοτομ. τοὺς δὲ καλ. ὀξ. εἰς τοὺς πόρους ἐμβάλλεσθαι τῶν αἰδοίων αὐτῶν καὶ οὕτω κ. τ. ἀγ. θριαμβ. διὸ πολλοὶ καὶ τῶν ἐνδόξων καὶ μεγιστ. εὑρεθέντες καὶ τῶν ἀρχ. καὶ οὕτω τιμωρηθέντες περιαγόμενοι δεινῶς ἐτελ. καὶ γενόμενος φόβος μέγας ἐσωφρόνησε τοὺς λοιπούς· καὶ μ. εἰκ.* — 13 P *add.*: *πανουργος δὲ ἰδὼν πονηρὸν τιμωρούμενον κραταιῶς αὐτὸς παιδεύεται* (Prov. 22, 3).

μακροθυμήσας καὶ ὕστερον διὰ τὸ ἀμετανόητον αὐτῶν καὶ ἀνεπίστροφον τῆς ἀδιακρίτου καὶ ἀκολάστου γνώμης ἐπάξας μάλα δικαίως τὴν τιμωρίαν· κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα.
5 *καὶ ἐπάγει λέγουσα ἡ γραφή· καὶ ἔβρεξε κύριος πῦρ, καὶ θεῖον παρὰ κυρίου ἐπὶ Σόδομα καὶ Γόμορρα, καὶ κατέστρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίοικον καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσιν. εἰ δέ τις τῶν μὴ τὴν γῆν ἐκείνην ἑωρακότων ἀπιστοίη μὴ οὕτως ἔχειν, ἀκουέτω τῆς*
10 *θείας γραφῆς διηγουμένης καὶ λεγούσης· αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο φυγόντα καταβάσιον πῦρ Πενταπόλεως· ἧς ἔτι μαρτύριον τῆς πονηρίας καπνιζομένη*
543 M. *καθέστηκε χέρσος καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά. ὡσαύτως γε καὶ Ἰούδα Ἰακώβου φάσκοντος· ὡς Σόδομα καὶ*
15 *Γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.*

Λέγει δὲ καὶ ὁ θεῖος Χρυσόστομος· ἀπιστεῖ τις τῇ γεέννῃ; τὰ Σόδομα διαλογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν
20 *γεγενημένην τιμωρίαν καὶ ἔτι μένουσαν καὶ τοῦ διαιωνίζειν τὴν κόλασιν ἐναργὲς τεκμήριον παριστῶσαν. καὶ γὰρ οὐ μόνον ἡ γῆ, ἀλλὰ καὶ αὐτὸς ὁ ἀὴρ καὶ τὰ ὕδατα μετέσχε*

---

3 Gen. 18, 20. — 5 Gen. 19, 24; 25. — 9—17 *cf.* Anastas. Sin. Quaest. 8 Migne Tom. 89, 393 A. — 10 Sap. 10, 6; 7. — 14 Ep. Jud. 7. — 18—*p.* 647, 10 Chrysost. Hom. in I. Thess. 8, *cp.* 3 Migne Tom. 62, 442 *fin. ordine inverso.*

3 *μάλα δικαίως* BP Suid. *v. κραυγὴ Σοδόμων. μάλα καὶ δικαίως* CDERV *καὶ μάλα δικαίως* M. — 5. 6 *πῦρ παρὰ κυρίου καὶ θεῖον* V *καὶ θεῖον om.* R. — 8 *ἐν αὐταῖς ταῖς πόλεσιν* N. — *μὴ τὴν γῆν ἐκείνην* BP *τὴν γῆν ἐκείνην μὴ* CERV *et m. 2* D *μὴ om.* N. — 18 *ἀπιστῇ* C *εἰ ἀπιστεῖ* RV Chrys.

8 *Post πόλεσιν alia add.* P *seorsim edenda.* — 10 *διηγουμένης περὶ τῆς σοφίας καὶ λεγούσης* P. — 17 P *add.: καὶ οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται* (Ep. Jud. 13. *cf.* Anast. Sin. *l. l.*).

τῆς συμφορᾶς. καὶ καθάπερ σώματος ἐμπρησθέντος τὸ μὲν σχῆμα μένει καὶ ὁ τύπος ἐν τῇ τοῦ πυρὸς ὄψει καὶ ὁ ὄγκος καὶ ἡ ἀναλογία, ἡ δὲ δύναμις οὐκέτι, οὕτω δὴ κἀκεῖσε γῆν ἔστιν ἰδεῖν, ἀλλ' οὐδὲν ἔχουσαν γῆς, ἀλλὰ πάντα τέφρα, πάντα σποδός· δένδρα καὶ καρπούς, ἀλλ' οὐδὲν δένδρων 5 οὐδὲ καρπῶν· ἀέρα καὶ ὕδωρ, ἀλλ' οὐδὲν ὕδατος οὐδὲ ἀέρος, ἐπειδὴ καὶ ταῦτα τετέφρωνται. τοιγαροῦν οὐδὲν ἕτερον ἢ κάμινός ἐστιν ὁ ἀήρ, κάμινος τὸ ὕδωρ, πάντα ἄκαρπα, πάντα ἄγονα, πάντα πρὸς τιμωρίαν τῆς προλαβούσης ὀργῆς καὶ εἰκόνες τῆς μελλούσης κολάσεως. ἐννόησον τοίνυν ἡλίκον 10 ἐστὶ τὸ ἁμάρτημα ὡς βιάσασθαι πρὸ καιροῦ τὴν γέενναν φανῆναι. καὶ γὰρ παράδοξος ἦν ὁ ὑετὸς ἐκεῖνος, ἐπειδὴ καὶ παρὰ φύσιν καὶ παράνομος ἡ μίξις, καὶ κατέκλυσε τὴν γῆν, ἐπειδὴ καὶ τὰς ἐκείνων ψυχὰς ἡ χαλεπὴ καὶ ἐπάρατος ἐπιθυμία. ἀλλ' ὢ τῆς παραπληξίας τῶν τοῦτο κατεργαζο- 15 μένων. καὶ γὰρ ἀλόγων ἀνοητότεροι καὶ κυνῶν ἀναιδέστεροι. οὐδαμοῦ γὰρ τοιαύτη μίξις παρ' ἐκείνοις, ἀλλ' ἐπιγινώσκει τοὺς ἰδίους ὅρους ἡ φύσις. τούτους καὶ ἀνδροφόνων χείρους εἶναι λέγω, καὶ ὅπερ ἂν εἴποις ἁμάρτημα, οὐδὲν ἴσον ἐρεῖς τῆς παρανομίας ταύτης. ὁ μὲν γὰρ ἀνδροφόνος τὴν 20 544 M. ψυχὴν ἀπὸ τοῦ σώματος ἐχώρισεν, οὗτος δὲ τὴν ψυχὴν μετὰ τοῦ σώματος ἀπώλεσεν. πόθεν οὖν ἐτέχθη τὸ μέγα τοῦτο

10—15 Chrysost. Hom. in Rom. 4 *cp.* 3. Migne Tom. 60, 420 *med.* — 15—18 *ibid. paullo post.* — 18—22 *ib. cp.* 2 *fin.* Migne 419 *med. ordine inverso.* — 22—*p.* 648, 5 *ib. cp.* 3 *fin.* Migne 420 *med.*

6 ὕδατος καὶ ἀέρος RV. — 7 ἐπειδὴ καὶ ταῦτα BD (ἐπειδὴ γὰρ καὶ ταῦτα P καὶ γὰρ καὶ ταῦτα Chr.) ἐπειδὴ ταῦτα CMRV ἐπειδὴ πάντα V ἐπεὶ ταῦτα E. — 7. 8 ἕτερόν ἐστιν ὁ ἀὴρ ἢ κάμινος N ἕτερόν ἐστιν ἡ κάμινος ὁ ἀήρ V. — 13 κατέλυσε BCNR. — 16 καὶ γὰρ ἀλόγων BPR καὶ γὰρ καὶ ἀλ. rell. — 19 εἴπης BP. — ἴσον BCDRV.

5 πάντα σποδός *om.* P Chr. — 16 *Post* κατεργαζομένων *alia quaedam add.* P. — 18 τούτους ἐγὼ καὶ P Chr.

κακόν; ἀπὸ τρυφῆς καὶ σπατάλης καὶ ἀπὸ τοῦ μὴ φοβεῖσθαι τὸν θεὸν καὶ τὴν μέλλουσαν κρίσιν. ὅταν γὰρ ἐκβάλωσί τινες τὸν τοιοῦτον φόβον ἐκ τῆς καρδίας αὐτῶν, ἐγκαταλιμπάνονται εἰς τέλος καὶ οὕτως ἔρχονται εἰς ἐπιθυ-
5 μίας ἀνοήτους καὶ βλαβερὰς καὶ εἰς πάθη ἀτιμίας. ὥσπερ γὰρ πολλοὶ πολλάκις τὴν τῶν σιτίων ἐπιθυμίαν ἀφέντες γῆν σιτοῦνται καὶ λίθους μικράς, καὶ ἕτεροι δὲ ὑπὸ δίψους κατεχόμενοι σφοδροῦ καὶ βορβόρου πολλάκις ἐπιθυμοῦσιν, οὕτω κἀκεῖνοι καταλειφθέντες διὰ τὰς προειρημένας αἰτίας πρὸς
10 τὸν ἄθεσμον τοῦτον ἐξεκαύθησαν ἔρωτα. εἰ δὲ οὐκ αἰσθάνονται, ἀλλ' ἥδονται, μὴ θαυμάσῃς. καὶ γὰρ οἱ μαινόμενοι καὶ φρενίτιδι κατεχόμενοι νόσῳ τὰ πολλὰ ἑαυτοὺς ἀδικοῦντες καὶ ἐλεεινὰ πράσσοντες, ἐφ' οἷς αὐτοὺς ἕτεροι δακρύουσιν, γελῶσι καὶ τοῖς γινομένοις αὐτοῖς ἐντρυφῶσιν. πόσαι λοιπὸν
15 γέενναι τοῖς τοιούτοις ἀρκέσωσιν, καὶ πόσα κολαστήρια; εἰ δὲ καταγελᾷς γεέννης ἀκούων καὶ ἀπιστεῖς ἐκείνῳ τῷ πυρί, ἀναμνήσθητι πάλιν τὸν ἐν Σοδόμοις θεῖον ἐμπρησμὸν καὶ τὴν φοβερὰν ἐκείνην φλόγωσιν. εἰ οὖν τοιαῦτα πράττων καὶ σὺ δίκην οὐ δίδως, μὴ θαυμάσῃς. ἐκεῖνοι μὲν γὰρ ὡς
20 μὴ τὴν γέενναν εἰδότες ἐκολάσθησαν παρὰ πόδας, σὺ δὲ

5—10 Chrys. *ib. cp.* 1 *fin.* Migne 417 *fin.* — 10—14 *ib. cp.* 2 Migne 418 *fin.* — 14—18 *ib. cp.* 3 Migne 420 *post. init.* — 18—*p.* 649, 7 Chrysostomi verba in Hom. in I. Thess. 8 *cp.* 3 Migne 443 *fin.* 444 *init.* in breviorem formam redacta et mutata.

2 ἐκβάλλωσι BCD *et* recc. quidam ἐκβάλουσι G *et* recc. alii. — 7 μικρούς BMRV Chr. — 8. 9 οὕτω δὴ κἀκεῖνοι codd. *praeter* BP Chr. — 9 καταληφθέντες CD. — 10 τούτον C τούτων EP. — ἐξεκάμφθησαν B κατεκάμφθησαν R. — 13 ἐφ' οἷς αὐτοῖς RV. — 14 γενομένοις BR λεγομένοις P. — 15 ἀρκέσωσιν DEGPR ἀρκέσουσιν BCMV Chr. — καὶ πόσα BP καὶ *om.* rell. — 16 ἀπιστῇς CGM. — 17 ἐμπρισμὸν CGM ἐμπυρισμὸν EP.

1 καὶ σπατάλης καὶ ἐγκαταλείψεως θεοῦ καὶ ἀπὸ τοῦ μὴ φοβ. αὐτὸν καὶ P (*cf.* Chrys. *l. l. cp.* 1 Migne 418 *init.*). — 10 ἔρωτα καὶ πρὸς τὴν μιαρὰν ὄρεξιν μανίαν τε καὶ λύσσαν P. — 12 τὰ *om.* P Chr. — 15 γέεναι τοὺς τοιούτους P.

ὅσα ἂν ἁμάρτῃς, κἂν μηδεμίαν δίκην δῷς ἐνταῦθα, ἐκεῖ πάντα χαλεπωτέρως ἀποτίσῃ καὶ κολασθήσῃ. διὰ τί; ὅτι πλείονος ἀπηλαύσαμεν χάριτος. ὅταν δὲ καὶ πλείονα καὶ μείζονα πταίωμεν ἐκείνων, ποίας συγγνώμης τύχωμεν ἐκ προγόνων τὰ σωτηριώδη παραλαβόντες διδάγματα, ἅπερ 5 *ἐκεῖνοι παντελῶς οὔτε ἤκουσαν οὔτε ἔμαθον, ὥστε διὰ τοῦτο μειζόνως κολασθησόμεθα, κἄν τε μικρὰν δίκην ἐνταῦθα δῶμεν, κἄν τε μὴ δῶμεν. οὐκοῦν μηδεὶς ὁρῶν πονηροὺς εὐπραγοῦντας θορυβείσθω. οὐ γάρ ἐστιν ἐνταῦθα ἡ ἀνταπόδοσις οὔτε τῆς ἀρετῆς οὔτε τῆς πονηρίας. εἰ δέ που* 10 *καὶ γίνεται τῆς ἀρετῆς καὶ τῆς πονηρίας, ἀλλ' οὐχὶ κατ' ἀξίαν, ἀλλ' ἁπλῶς ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα οἱ τῇ* 545 M. *ἀναστάσει διαπιστοῦντες τοῖς γοῦν ἐνταῦθα σωφρονίζονται. ὅταν οὖν εὐπραγῇ ὁ πονηρός, ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς· ἵνα γὰρ ὧν ἔπραξεν ἴσως ἀγαθῶν τὴν ἀντίδοσιν ἐν-* 15 *ταῦθα λαβὼν ἐκεῖ λοιπὸν τέλεον κολάζηται. ὅταν δὲ πάσχῃ ὁ ἀγαθός, μακάριος ὄντως ἐστίν· ἵνα γὰρ ἀποθέμενος πάντα καὶ τὰ μικρὰ ἁμαρτήματα εὐδόκιμος καὶ καθαρὸς ἀπίῃ καὶ ἀνεύθυνος. ἐκεῖ γάρ εἰσιν οἱ τέλειοι στέφανοι τῶν ἀγαθῶν καὶ ἐκεῖ αἱ σφοδρότεραι καὶ ἀπέραντοι κολάσεις τῶν πονη-* 20 *ρῶν. καὶ ὥσπερ ὁ σηπεδόνα ἔχων, κἂν μὴ τέμνηται, ἀρρωστεῖ καὶ τότε μᾶλλόν ἐστιν ἐν κακοῖς, ὅταν μὴ τέμνηται, οὕτω καὶ ὁ ἁμαρτάνων, κἂν μὴ κολάζηται, πάντων ἐστὶν ἀθλιώτερος. καὶ καθάπερ οἱ σπλῆνα καὶ ὕδερον ἔχοντες, ὅταν ἀπολαύσωσι τραπέζης δαψιλοῦς καὶ ψυχροποσίας καὶ* 25

---

1 *κἂν*] *καὶ* CERV. — *δίδως* CNV *et* recc. nonnulli. — 3 *ἀπελαύσαμεν* V Chr. *ἀπολαύσαμεν* M. — 4 *πταίομεν* CGMP. — 11 *καὶ γίνεται* BP *γίνεται καὶ* rell. — 12 *οἱ* BGNP *μὴ* CRV *μὶ* E. — 15 *ἴσως post ἔπραξεν om., post λαβὼν v.* 16 *ins.* RV *utroque loco exhibet* E. — 16 *λοιπὸν om.* E *et* recc. quidam. — *τέλεον* BP *πλεῖον* E *πλέον* rell. — *κολάζεται* CN. — *πάσχει* CGM. — 18 *ἀπείῃ* CNR *ἀπήει* P. — 21 *καὶ ὥσπερ ὁ* B *ὥσπερ οὖν ὁ* P *ὥσπερ καὶ ὁ* rell. — 22 *τέμνεται* C *τέμνῃ* V.

23 *καὶ ante ὁ om.* P.

πολυτελῶν ἐδεσμάτων καὶ καρυκευμάτων, τότε μάλιστα πάντων εἰσὶν ἐλεεινότεροι τῇ τρυφῇ τὸ νόσημα προσαύξοντες, ἂν δὲ ἄγχωνται λιμῷ καὶ δίψει κατὰ τοὺς ἰατρικοὺς νόμους, ἐλπίδα τινὰ σωτηρίας ἔχουσιν, οὕτω καὶ οἱ ζῶντες ἐν πονη-
5 *ρίᾳ, εἰ μὲν κολάζονται, χρηστὰς ἔχουσι τὰς ἐλπίδας, εἰ δὲ μετὰ τῆς πονηρίας ἀπολαύουσι τρυφῆς καὶ ἀδείας, τῶν ἐν ὑδέρῳ γαστριζομένων ἐλεεινότεροι σφόδρα ἂν εἶεν, καὶ τοσούτῳ πλέον, ὅσῳ ψυχὴ σώματός ἐστι βελτιώτερον. εἰ τοίνυν ἐκεῖνοι μήτε νόμον ἔχοντες τὸν κωλύοντα αὐτοὺς τῆς*
10 *ἀθεμίτου πράξεως μήτε προφήτας εἰδότες οὐδεμιᾶς ἔτυχον συγγνώμης, ἀλλὰ πυρὸς καὶ θείου παρανάλωμα γεγόνασιν, πόσης μᾶλλον ἡμεῖς ἐσμεν ἄξιοι τιμωρίας καὶ χαλεπωτέρας ὑπεύθυνοι καταδίκης, οἱ νόμον καὶ προφήτας καὶ εὐαγγελιστὰς καὶ διδασκάλους ἀναγινώσκοντες καὶ χείρονα ποιοῦν-*
15 *τες; τίνος δὲ ἕνεκεν τοιαῦτα δρώντων ἡμῶν οὐκ ἐπάγει καὶ ἡμῖν ὁ θεὸς τοιαύτην πανωλεθρίαν; ἐπειδὴ ἄλλη κόλασις ἀργαλεωτέρα καὶ ἀτελεύτητος καὶ ἕτερον πῦρ ἄσβεστον ἡμᾶς ἐκδέχεται δεινότερον καὶ σφοδρότερον. ὁ σκώληξ, γάρ φησιν, αὐτῶν οὐ τελευτήσει καὶ τὸ πῦρ οὐ σβεσθήσεται. διὰ δὴ*
20 *τοῦτο καὶ ὁ παλαιὸς καὶ θεῖος νόμος ἀναστέλλων τὴν ἐξάγιστον αἰσχρουργίαν ταύτην καὶ ὀλέθριον ἔφασκεν· οὐ κοι-*
546 M. *μηθήσῃ μετὰ ἄρσενος κοίτην γυναικείαν, βδέλυγμα γάρ ἐστιν. καί· ὃς ἂν κοιμηθῇ μετὰ ἄρσενος κοίτην γυναικείαν θανάτῳ θανατούσθωσαν ἀμφότεροι. ἐπικατάρατος γὰρ ὁ τοιοῦτος.*
25 *λίθοις λιθοβολήσατε αὐτούς.*

8—19 *cf.* Anastas. Sin. Quaest. 8 Migne 89, 393 B. — 18 Jes. 66, 24. — 21 Levit. 18, 22. — 23 Levit. 20, 13; 27.

3 *ἄγχονται* CGMP *ἄγωνται* R. — *δίψει* EPRV *δίψη* BC GN. — 5 *ἔχωσι* CDG. — 6 *ἀδίας* P *ἀηδίας* (*ἀειδ.* M) MR. — 8 *πλεῖον* ERV. — *ὅσον* ER. — 16 *πανολεθρίαν* CGNV. — 17 *ἀργαλαιωτέρα* P *ἀργαλαιοτέρα* CGNR. — 18. 19 *γὰρ αὐτῶν φησιν* R *φησιν om.* CD.

16 *ἐπειδὴ γὰρ* P. — 18 *δεινότερόν τε καὶ* P. — 25 *λίθοις om.* P. — *λιθοβολήσεται* P. — *Post αὐτούς alia eiusdem argumenti ins.* P.

Ταύτην τοίνυν τὴν ἀκόλαστον καὶ ἀκάθαρτον γνώμην καὶ πρᾶξιν τῶν αὐθαιρέτως πασχόντων θριαμβεύων εὖ μάλα καὶ στηλιτεύων ὁ μέγας Κύριλλος οὕτω φάσκει· ἀκολασίας γὰρ ἕνεκεν οἱ τάλανες τοῦτο δρῶσι τὰ τῶν γυναικῶν πάσχειν ἄνδρες ὄντες βουλόμενοι. οὐδενὸς γὰρ χρησίμου χάριν τὴν 5 *φύσιν μετατιθέντες ἢ ἀσελγείας ἕνεκεν τὴν θεόπλαστον καὶ ἀνδροπρεπῆ μορφὴν διαφθείρουσιν ἑκουσίως πολλάκις, ἢ ὑπ' ἄλλων ὑπομένειν ἀναγκαζόμενοι τοῦτο ὡς λοιμοὶ τῆς φύσεως καὶ τοῦ γένους πολέμιοι καὶ σπῖλοι πολιτείας καὶ ζωῆς ἐφύβριστοι γίνονται. δίκην μαινάδων πορνευθέντες ἀμέτρως* 10 *ἐν τοῖς αἰσχίστοις ὀρχοῦνται πάθεσι μιαρᾷ πολιτείᾳ καὶ πεφθαρμένῃ τὴν ἀθλίαν ζωὴν συγκεράσαντες, ἀμφίβολα καὶ μεμισημένα πρόσωπα περιφέροντες καὶ γράμμα νενοθευμένον. ἱερῶν περιβόλων μακρὰν ἀποιχέσθωσαν καὶ ἁγίων συνόδων ὡς ἐβδελυγμένον ἄγος καὶ θεοστυγὲς ἐλαυνέσθωσαν. ἐπειδὴ* 15 *γὰρ αἰσχίστῃ καὶ κακίστῃ γνώμῃ τὸ καλὸν καὶ θεῖον ἔργον εἰς τὸ κακὸν καὶ διαβεβλημένον δόγμα παραλλάξαντες καὶ μεταποιήσαντες καὶ τὴν πνευματικὴν εὐνουχίαν ἀπηγορευμένῃ πράξει λειτουργεῖν ἀναγκάσαντες οὐ μόνον ἄξιοι νομικῆς ψήφου λαμβάνειν τιμωρίαν, ἀλλὰ καὶ ἐξ εὐαγγελικῆς καὶ* 20 *ἀποστολικῆς ἀποφάσεως εἰς τὸ λεγόμενον ἐξώτερον σκότος ἄρδην ἀπελαύνεσθαι. περὶ γὰρ τῶν τοιούτων ἔφη Μωϋσῆς· θλαδίας καὶ ἀπόκοπος οὐκ εἰσελεύσεται εἰς ἐκκλησίαν κυρίου. ἔστι γοῦν ἰδεῖν πεπληρωμένας οἰκίας τῶν μεγιστάνων τοι-*

---

23 Deuteron. 23, 1.

7 *ὑπ' ἄλλων* BP Suid. *v. σπάδων. ὑπὸ ἄλλων* rell. — 9 *σπίλοι* CEGN *σπίλοις* P. — 13 *περιφέρουσι* RV. — 14 *καὶ ἁγίων* — 15 *ἐλαυνέσθωσαν om.* B Suid. — 17 *καὶ ante διαβεβλημένον om.* MV. — 16 *ἔργον καὶ δόγμα* N. — 20 *ἐξ ἀγγελικῆς* B Suid. *εὐαγγελικῆς* (*om. ἐξ*) GPR. — 23 *εἰς οἶκον κυρίου* BNR Suid.

1 *τὴν τοίνυν ἀκόλ.* P. — *γνώμην τε καὶ* P. — 2 *πασχόντων καὶ φθειρομένων* P. — 7 *παραφθείρουσι* P. — 17 *διαβδελυγμένον* P. — 19 *λειτουργεῖαν* P. — 24 *τῶν μεγιστάνων οἰκίας* P.

οὔτων τερατομόρφων προσώπων, χρυσοῦς μηνίσκους ἐπὶ τραχήλου φοροῦντας, φύσιν μὲν ἄρρενος, θηλείας δὲ ὄψιν ἔχοντας καὶ κεκλασμένως βαδίζοντας καὶ τεθρυμμένως φθεγγομένους. ὥσπερ ἑταιρίδες ἀπρεπῶς ὧδε κἀκεῖσε τὴν κεφαλὴν
5 περισείουσι καὶ γελῶσιν ἀκρατῶς τε καὶ ἀναιδῶς οἰστρηλασίαν πρόδηλον ὑπεμφαίνοντες. ὅθεν μετ' ἀνδρῶν μὲν ὡς γυναῖκες μαλακῶς εὐναζόμενοι καὶ μαλακιζόμενοι φθείρονται,
547 M. μετὰ γυναικῶν δὲ ὡς φύλακες ἅμα καὶ σωφροσύνης δῆθεν ἰνδάλματα καθεύδοντες ἀναισχύντως καὶ ἀπερυθριασμένως
10 αἰσχροπραγοῦσιν. καὶ οὗτοι μὲν οὕτως ὑπ' ἀνδρῶν ἀνοσίων καὶ βεβήλων φθειρόμενοι μαλακίζονται καὶ καταμιαίνονται διὰ τῆς παρὰ φύσιν ἀνοσιουργίας καὶ βδελυρίας, αὐτοὶ δὲ γυναικάρια ταλαίπωρα καὶ σεσωρευμένα κατὰ τὸ εἰρημένον ἁμαρτίαις καταμολύνουσι καὶ καταβλάπτουσιν οἷα λυσσώδεις
15 κύνες, καὶ τὸ δὴ χαλεπώτερον καὶ ἐλεεινότερον, ἐντεῦθεν αἴτιοι γίνονται καὶ πρόξενοί τε καὶ μέτοχοι τῆς ἀπεράντου κολάσεως οἵ τε φθείροντες καὶ οἱ φθειρόμενοι. ἀλλ' ὢ τῆς ἀφροσύνης, ὢ τῆς ἀπάτης καὶ παραπληξίας. τούτους γὰρ ἄνθρωποι καὶ μάλιστα προύχοντες ὡς σώφρονας παραδεχό-
20 μενοι πιστεύουσι καὶ εἰσοικίζουσιν, οἵ γε εἰσοικιζόμενοι καὶ παρρησίας τυγχάνοντες τοὺς ὄντως δικαίως ἀρετῆς ἐπιμελου-

---

13 II. Timoth. 3, 6.

3 κεκλασμένον N. — 4 καὶ ὥσπερ ἑτ. B ὥσπερ γὰρ ἑτ. V ὥσπερ αἱ ἑτ. C ὥσπερ αἱ τερίδες GP. *In* D ὥσπερ *om. et* ὡς *m. 1 spr. vers.* — 9 ἀπερυθριασμένως (ἀπεριθρ. M) GNPR ἀπηρυθριασμένως BCE ἀπηρυθριωμένως V. — 13 καὶ σεσωρευμένα BP καὶ σεσοβημένα Suid. καὶ *om.* rell.

17 *Post* φθειρόμενοι P *add.*: καὶ τῆς οὐρανίου βασιλείας ἔκπτωτοι κατὰ τὴν ἀποστολικὴν ἀπόφασιν (I. Cor. 6, 9; 10), ἥ φησι κατὰ συζυγίαν· οὔτε ἀρσενοκοῖται οὔτε μαλακοὶ βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. μαλακοὺς γὰρ τοὺς φθειρομένους καὶ μαλακιζομένους εἰκότως ἀποκαλέσας ἐκ μεταφορᾶς τῶν ἐξ ἀρρωστίας φθειρομένων ὡς οὗτοι παρὰ τῶν μαλακιζόντων αὐτοὺς καὶ φθειρόντων. — 18 ἀποπληξίας P. — 19 σώφρονα P. — 20 εἰσοικιζόμενοι — 21 ἐπιμελουμένους *om.* P.

μένους σώφρονας ἄνδρας κατὰ μικρὸν δελεάσαντες εἰς τὸ τῶν Σοδόμων αἰσχρὸν βάραθρον κατηκόντισαν ἐλεεινῶς καὶ τῷ αἰωνίῳ πυρὶ παρέπεμψαν. διὸ δὴ λοιπὸν ἀραρότως πάνυ γε τούτους καὶ νόμος καὶ λόγος εὐαγγελικὸς καὶ ἄριστος βίος καὶ εὐσεβὴς πολιτεία βδελύττεται λίαν ὡς θεομισεῖς καὶ 5 *ἀκαθάρτους. οὗτοι γὰρ τοιαύτην ἐξάγιστον ζωὴν προτιμήσαντες καὶ ποθήσαντες ὅσον ἧκεν ἐπ' αὐτοῖς πόλεις μὲν ἠφάνισαν τὸν σπερματικὸν τῆς φύσεως λόγον παραφθείροντες φθειρόμενοι, εὐανδροῦσαν δὲ ῥώμην ἀνδρὸς καὶ ἡλικίαν καὶ τὴν ἀρρενοπρεπῆ γενναίαν ἰσχὺν δεινῶς ἐξανάλωσαν* 10 *καὶ ἁπλῶς τὴν σύντονον καὶ σφρίγουσαν ἀκμὴν τῆς νεότητος λυμηνάμενοι φανερῶς ἀθλίους καὶ καταγελάστους ἐποίησαν τοὺς ἁλόντας. οὓς γε φευκτέον προτροπάδην καὶ βδελυκτέον ἐνδίκως ὡς ψυχοκτόνους καὶ σωματοφθόρους καὶ ἐναγεῖς ὄντως καὶ τῆς φύσεως παραχαράκτας. οὐδὲν γὰρ* 15 *ἀληθῶς μυσαρώτερον ἢ ἀκαθαρτότερον τῶν οὕτω πορνευομένων τε καὶ πορνευόντων. εἰώθασι γάρ, ὡς ἀληθῶς καὶ ἀκριβῶς μεμαθήκαμεν, οὐ μόνον οἱ σπάδοντες καὶ τὰ μόρια τῆς αἰσχρουργίας ποσῶς ἔχοντες ἀσελγαίνειν ἀμέτρως καὶ*

---

2 *αἰσχρὸν* *om.* CDEGR. — 5 *λίαν* BP Suid. *om.* V *τούτους* rell. — *ὡς θεομισεῖς καὶ ἀκαθάρτους* *om.* DG. — 9 *καὶ φθειρόμενοι* RV Suid. — 10 *καὶ γενναίαν* V Suid. — *ἐξηνάλωσαν* BR — 11 *σφρίγουσαν* EGPR *σφριγῶσαν* rell. Suid. — 13 *ἁλῶντας* DGPR. — *γε* *om.* DG. — 17 *ἀληθῶς καὶ* *om.* Suid. (*cf infra* P). — 18 *σπάδονες* E Suid. *et* recc. quidam.

1 *σώφρονας ὄντως καὶ δικαίους ἄνδρας ἐσθότε δελεάσαντες* P. — 2 *αἰσχρωβόθρωι* (*sic*) P. — 3 *παρέπεμψαν, ὥσπερ δὴ καὶ γυναῖκας, ἄμφω κοινὸν γενόμενοι πτῶμα χαλαιπὼν καὶ ὀλέθριον.* — 4 *εὐαγγελικῶς μυσαττόμενος ἄριστος βίος* P. — 6 *τοιαύτην αἵρεσιν δαιμονιώδη καὶ τοιαύτην ἐξαγ. ζωὴν* P. — 7 *πόλεις*] *πολλοὺς* P. — 12 *φανερῶς ἐλεεινοὺς καὶ ἀθλίους τε καὶ καταγ.* P. — 14 *σωματοφθ. τε καὶ* P. — 16 *μυσαρ. ἢ βδελυκτότερον τῶν οὕτω φθειρομένων καὶ πορν. τε καὶ πορν. μάλιστα κἀκείνων πολλάκις ἐξ ὑπερβολῆς ἀκολάστου γνώμης καὶ λυσσώδους μανίας. εἰώθασι γάρ, ὡς ἀκριβῶς ὄντως μεμαθ.* P. — 19 *ποσῶς*] *πασῶν* P.

ἀκολασταίνειν ἀκορέστως, ἀλλά γε καὶ οἱ τέλεον ἀπόκοποι καὶ ἐκτετμημένοι. καθάπερ οὖν καὶ οἱ ἐκ γεννητῆς ἐστερημένοι ταῦτα — φεῦ τῆς ἐσχάτης ἀτοπίας καὶ φρενοβλαβείας
548 M. *— διὰ χειρὸς καὶ δακτύλου φθείρειν τὰς ἀθλίας γυναῖκας*
5 *καὶ τὴν ἀνοσιουργίαν οὕτως ἐμμανῶς οἱ ἀνόσιοι κατεργάζεσθαι ⟨πεφύκασιν⟩. καὶ τοῦτο δηλῶν ὁ σοφὸς ἀριδήλως ἔφη· μακάριος εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα, καὶ παρθένος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι. εἰκότως οὖν ἄθηλοι, ἄνανδρες, ἀνδρόγυννοι, σιδηροκατάδικοι*
10 *καὶ γυναικομανεῖς προσηγορεύθησαν. ἀκουέτωσαν τοίνυν οἱ καθαροὺς καὶ σώφρονας τούτους ὑποτοπάζοντες μάτην καὶ μὴ πιστευέτωσαν τῷ ψεύδει καὶ τῇ κατεσχηματισμένῃ καθαρότητι καὶ σωφροσύνῃ. ἀπὸ γὰρ ἀκαθάρτου τί καθαρισθήσεται, καὶ ἀπὸ ψεύδους τί ἀληθεύσει;*

15 [ιη′. Περὶ Ἰουστίνου.]

550 M. *Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσεν Ἰουστῖνος ἀνεψιὸς αὐτοῦ ἔτη ιγ′. ὃς κτίσας παλάτιον ἔξω τῆς πόλεως καὶ λιμένα ἐν τῇ πόλει τὸ μὲν ἐκάλεσε Σοφιανάς, τὸν δὲ Σοφίας εἰς ὄνομα τῆς ἑαυτοῦ γυναικὸς Σοφίας. ἐφ' οὗ καὶ Ἰου-*

---

7 Sap. 3, 13; 14. — 13 Sir. 31 (34), 4. — 16—19 *cf.* Theoph. *p.* 243, 10; *p.* 250, 9. — 19—*p.* 656, 11 *cf.* Eug. Wolter, Der Judenknabe, in Bibliotheca Normannica *vol.* II.

1 *ἀλλά γε καὶ* BP Suid. *γε om.* rell. — 2 *γενητῆς* CDG *γενετῆς* E Suid. — 6 *πεφύκασιν add. e* P *om.* rell. Suid. — 9 *ἄνανδροι* V Suid. — 18 *τὸν δὲ* GLP *τὸ δὲ* rell. — 19 *τῆς ἑαυτοῦ γυναικὸς* CEGLP *τῆς αὐτοῦ γυν.* BN *τῆς γυναικὸς αὐτοῦ* RV.

4 *γυναῖκας om.* P. — 6 *καὶ τοῦτο μυστικῶς ὑπεμφαίνων ὁ σοφὸς καὶ ἀναστέλλων ἄμφω τὴν παράνομον ἀρρητοποιΐαν ἔφη·* P. — 8 *εἰκότως οὖν σφόδρα καὶ μάλα καιρίως ἄθηλυ, ἄνανδρες, ἀνδρογ. καὶ σιδηρ. τε καὶ γυν.* P. — 13 *ἀκαθάρτου φησὶν τί* P. — 14 *Post ἀληθεύσει alia add.* P. — 16 *In mg.* P: *ἰστέον ὅτι ὁ αὐτὸς ἰουστῖνος κτίζει τὴν ἐκκλησίαν τῶν ἁγίων ἀποστόλων πέτρου καὶ παύλου ἐν τῷ ὀρφανοτροφίῳ* (*cf.* Theoph. *p.* 244, 7).

δαῖός τις ἐν Κωνσταντινουπόλει ὑελοψικὴν τέχνην ἔχων παιδίον ἐκέκτητο μονογενές, ὃ καὶ παρέδωκε μανθάνειν γράμματα πλησίον τῆς μεγάλης ἐκκλησίας. ἧς ὁ σκευοφύλαξ ἔχων λείψανα πολλὰ τῆς ἁγίας τραπέζης ἐξ ἱκανοῦ χρόνου προσεκαλέσατο παῖδας πρὸς τὸ δαπανῆσαι αὐτά. μεθ' ὧν συν- 5 ῆλθε καὶ τὸ Ἰουδαϊκὸν παιδίον. ἀπολυθὲν δὲ καὶ πρὸς τοὺς γονεῖς ἐλθόν, φησὶν ὁ πατὴρ αὐτοῦ· ἵνα τί ἐβράδυνας, τέκνον; ὁ δὲ παῖς ἀποκριθεὶς εἶπεν· μετὰ τῶν χριστιανῶν παιδίων ἀπελθὼν εἰς τὴν μεγάλην ἐκκλησίαν ἔφαγον κἀγώ, 551 M. πάτερ, καὶ διὰ τοῦτο ἐβράδυνα. ὁ δὲ δόλιος ἐκεῖνος θὴρ 10 σφόδρα μανεὶς ἔσχε παρ' ἑαυτῷ τὸν λόγον καὶ μετὰ τὸ ἄριστον συμπαραλαβὼν μεθ' ἑαυτοῦ τὸν υἱὸν αὐτοῦ καὶ πρὸς τὸ ἐργαστήριον ἀπελθὼν ἔρριψεν αὐτὸν εἰς τὴν κάμινον, καὶ κλείσας τὴν θύραν ἀνεχώρησεν. ἡ δὲ γυνὴ αὐτοῦ γινώσκουσα τὴν τοῦ ἀνδρὸς κατὰ τοῦ παιδὸς μανίαν εἰς τὸ 15 ἐργαστήριον ἐν σπουδῇ παρεγένετο καὶ παρακύψασα διὰ τῆς ὀπῆς τῆς θύρας ἤκουσε τῆς φωνῆς τοῦ παιδὸς ἔσωθεν τῆς καμίνου, καὶ τὴν θύραν κλάσασα καὶ εἰσελθοῦσα ἐξέβαλε τὸν υἱὸν αὐτῆς ἄφλεκτον ἐκ τῆς καμίνου. λεγούσης δὲ αὐτῆς· τίς ἐνέβαλέ σε, τέκνον, εἰς τὴν κάμινον, καὶ πῶς 20 οὐκ ἐκάης; φησὶν ὁ παῖς· ὁ μὲν πατήρ μου ἐνέβαλέ με, γυνὴ δὲ πορφυροφοροῦσα ἦλθε καὶ τὴν φλόγα κατέσβεσε

7 ἐλθόν PV ἐλθὼν CEGLNR ἀπελθόν B. — 9 ἀπελθὸν BV. — μεγάλην *om.* LRV. — 16 ἐν *om.* BLM. — 22 δέ τις πορφυροφ. LV.

1 ὑέλωψ τὴν τέχνην ἔχων γυναῖκα καὶ παιδίον μονογενῆ ὃν καὶ παρέδ. P. — 5 παῖδας ὡς εἰώθη παρὰ τοῦ διδασκάλου πρὸς τὸ δαπ. τὰ λείψανα, μεθ' ὃν συν. P. — 6 ἀπολυθὲν δὲ] καὶ συνδαπανῆσαν P. — 7 ἐλθὸν τῇ ὥρᾳ τοῦ ἀρίστου διατί, φησὶν ὁ πατήρ, ἐβράδυνας τέκνον. ὁ δὲ λέγει P. — 9—14 *sic in* P: ἀπελθὼν κἀγὼ εἰς τ. μεγ. ἐκκλ. ἔφαγον. ὅπερ ἀκούσας ὁ πατὴρ καὶ σφόδρα μανεὶς καὶ μετὰ τὸ ἀριστῆσαι πρὸς τὸ ἐργαστήριον ἀπελθὼν σὺν αὐτῷ ἔβαλεν αὐτὸ εἰς τὴν κάμινον καὶ κλ. τ. θύραν μηδενὸς εἰδότος (*in mg.*: γρ. παρόντος) ἀνεχώρησεν. — 15 εἰς τὸ ἐργ. ἐλθοῦσα καὶ παρακύψασα P. — 17 τῆς θύρας *om.* P. — 19. 20 ἐκ τ. καμ. λέγουσα· τίς P. — 21 ὁ δέ φησιν· P.

λέγουσα· μὴ φοβοῦ, παιδίον. ἡ δὲ μήτηρ αὐτοῦ ταῦτα ἀκούσασα καὶ καταπλαγεῖσα, τὸν υἱὸν παραλαβοῦσα πρὸς τὸν πατριάρχην Μηνᾶν ἔφθασε καὶ πάντα ἀναγγείλασα αὐτῷ παρεκάλει χριστιανὴ γενέσθαι μετὰ τοῦ υἱοῦ αὐτῆς. ὃς αὐ-
5 τίκα τῷ βασιλεῖ προσαγαγὼν ἀμφοτέρους, ἐκέλευσεν ὁ βασιλεὺς παραστῆναι καὶ τὸν πατέρα τοῦ παιδίου· καὶ τοῦτον μετὰ τὴν ἐξέτασιν πολλὰ παραινέσας καὶ παρακαλέσας χριστιανὸν γενέσθαι οὐκ ἔπεισεν. ὅθεν προσέταξεν ἀνασκολοπισθῆναι αὐτὸν ὡς φονέα τοῦ ἰδίου τέκνου γενόμενον, τὴν
10 δὲ γυναῖκα καὶ τὸ παιδίον ὁ πατριάρχης βαπτίσας τὴν μὲν ἐποίησεν ἀσκήτριαν, τὸν δὲ ἀναγνώστην.

[ιθ΄. Περὶ Τιβερίου.]

Μετὰ δὲ Ἰουστῖνον ἐβασίλευσε Τιβέριος ὁ Θρᾷξ ἔτη δ΄.

[κ΄. Περὶ Μαυρικίου.]

554 M. 15 Μετὰ δὲ Τιβέριον ἐβασίλευσε Μαυρίκιος Ἀρμένιος καὶ γαμβρὸς αὐτοῦ ἔτη κ΄. ὃς ἔκτισε τὸν ναὸν τῶν ἁγίων μ΄ ἐν Κωνσταντινουπόλει. ἐφ᾽ οὗ καὶ γυνὴ παιδίον ἔτεκεν ἐν
555 M. Κωνσταντινουπόλει χωρὶς ὀφθαλμῶν καὶ χειρῶν, πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος οὐρὰ προσφυὴς αὐτῷ ὑπῆρχεν, ὀστρακοδέρμῳ
20 ἰχθύϊ ἐμφερές. καὶ κύων ἑξάπους κεφαλὴν ἔχων λεοντώδη

16—17 *cf.* Theoph. *p.* 267, 29. — 17—20 *cf.* Theoph. *p.* 268, 19.

1 *λέγουσα* PRV *λέγουσά μοι* rell. — 4 *υἱοῦ*] *παιδίον* V *et* recc. quidam (*παιδὸς vel παιδ* alii). — 9 *A verbo τέκνον in ordinem redit* A. — 13 Sequitur in V de regno Tiberii narratio seorsim edenda. — 15 *ἀρμένιος γαμβρὸς* P *ἀρμένιος ὁ γαμβρὸς* R. 20 *ἐμφερής* BCR.

1—4 *sic: ἡ δὲ καταπλαγεῖσα καὶ τοῦτον εὐθὺς ἁρπάσασα καὶ πρὸς τὸν πατρ. μ. ἐλθοῦσα καὶ ἀναγγ. πάντα παρεκάλει* P. — 5—9 *ὁ βασιλεὺς τὸν πατέρα τοῦ παιδίου παραστῆναι καὶ τοῦτον μετὰ τ. ἐξ. πολλὰ παραινέσας χριστ. γεν. καὶ μὴ πεισθέντα προσέτ. ἀνασκολ. ὡς* P. — 9 *γενόμενον om.* P. — 13 *Alia add.* P *seorsim edenda.*

γεννηθεὶς ἐγένετο παμμεγέθης σφόδρα. ὡσαύτως καὶ ἐν τῇ Θρᾴκῃ δύο παιδία ἐγεννήθησαν, τὸ μὲν τετράπουν, τὸ δὲ δικέφαλον. λέγουσι δέ τινες τῶν ἱστορικῶν μὴ προσημαίνειν ἀγαθὰ ταῖς πόλεσιν, ἐν αἷς ἂν τεχθῶσι τοιαῦτα. ἐφάνησαν δὲ καὶ ἐν τῷ Νείλῳ ποταμῷ ἡλίου ἀνατέλλοντος ἀν- 5 θρωπόμορφα ζῶα δύο, ἀνὴρ καὶ γυνή, ἅπερ σειρῆναι προσαγορεύονται ἡδύφθογγα πάνυ καὶ θανατηφόρα. τὴν δὲ μορφὴν ἔχουσι τὸ μὲν ἥμισυ ἀπὸ κεφαλῆς μέχρις ὀμφαλοῦ ἀνθρώπου, τὸ δὲ λοιπὸν πετεινοῦ. καὶ ὁ μὲν ἀνὴρ εὔστερνος ἦν καὶ κατάπληκτος τὴν ὄψιν καὶ τὴν κόμην ξανθός, 10 ἡ δὲ γυνὴ ὁμοίως ὁρωμένη τούς τε μαζοὺς εἶχε καὶ τὴν ὄψιν ἄτριχον καὶ τὴν κόμην βαθεῖαν. ὁ δὲ λαὸς μετὰ τοῦ ὑπάρχου θαυμάζοντες ὅρκοις ἔβαλλον ἐκεῖνο τὸ ἀνδρόγυνον μὴ καταλῦσαι τὴν θεωρίαν, πρὶν ἂν πάντες ἐμφορηθῶσι τῆς παραδόξου ταύτης θέας. καὶ δὴ μέχρις ὥρας θ´ πᾶς 15 ὁ λαὸς ἐθαύμαζεν ὁρῶν τὰ ζῶα ταῦτα, καὶ οὕτω πάλιν εἰς τὸν ποταμὸν κατέδυσαν. τούτων δὲ καταδυσάντων κορκό- 556 M. δηλοι ἀναδύσαντες καὶ ἐκπηδήσαντες πολλοὺς τῶν ἀνθρώπων διέφθειραν. ὁ γάρ τοι κορκόδηλος θηρίον ἐστὶν ὁμοῦ

1—4 *cf.* Theoph. *p.* 272, 31. — 4—6 *et* 9—17 *cf.* Theoph. *p.* 280, 20. — 19—*p.* 658, 17 Eustath. Antioch. in Hexaemeron. Migne Tom. 18, 726 B *ordine inverso.*

1 ὡσαύτως καὶ ABP ὡσαύτως δὲ καὶ rell. — 6 ζῶα δύο ABP δύο ζῶα rell. — σιρῆναι D *m. 1* σιρῆναι AG σιρίναι LP σειρῆνες C. — 8 τὸ μὲν ἥμισυ *om.* RV. — ὀφθαλμοῦ DG. — 10. 11 κατάπληκτος, ἡ δὲ γυνὴ τὴν ὄψιν καὶ τὴν κόμην ξανθή, ὁμοίως καὶ ὁ ἀνήρ, τούς τε μαζοὺς εἶχε RV. — 13 ἐπάρχου PRV. — ἔβαλον BLR. — 14 πρὶν ἂν πάντες ABP πρὶν πάντες V πρὶν ἅπαντες rell. — 16 θεωρῶν RV. — 17 κορκόδηλοι AGLP (περὶ τοῦ κορκοδήλου *mg.* C) κροκόδειλοι (-δηλοι CD) rell. *item v.* 19 *et p.* 658, 13. — 18 ἀναδύσαντες καὶ *om.* L (*cf. infra* P). — 19 θηρίον ἐστὶ μέγα ὁμοῦ καὶ ἰχθὺς ἀπὸ RV.

1 παμμεγέθης] μέγας P. — 6 σιρ. μὲν προσαγορεύονται P. — 9 τὸ δὲ κάτωθεν ἥμισυ πετεινοῦ P. — 10 *Post* ξανθός P *add.*: καὶ μιξοπόλιος τὸν πώγωνα καὶ μέχρι τῆς ὀσφύος γεγυμνωμένος καὶ ὑπεράνω τοῦ ὕδατος φαινόμενος (*cf.* Theoph. *l. l.*). — 17—18 κατέδυσαν. ἐξ οὗ καὶ κορκ. ἐκπηδήσαντες πολλοὺς P.

καὶ ἰχθὺς μέγας ἀπὸ κεφαλῆς μέχρις οὐρᾶς. καὶ ἡ μὲν χροιὰ τοῦ νώτου αὐτοῦ πέτρᾳ μελαίνῃ προσέοικεν, ἡ δὲ γαστὴρ λευκή, καὶ πόδες αὐτῷ εἰσι δ΄, καὶ οὐρὰ μεγίστη καὶ τραχεῖα. τῆς ῥάχεως γάρ ἐστιν ἑνὸς ὀστέου τελευτὴ καὶ 5 *ἐντέτμηται ἄνωθεν εἰς ἀκάνθας ὥσπερ αἱ τῶν πριόνων ἀκμαί, καὶ τύπτει ἐν αὐτῇ πρὸς οὓς ἂν μάχεται, καὶ πολλὰ ποιεῖ τραύματα. ἡ δὲ κεφαλὴ αὐτοῦ προσηρμοσμένη τοῖς ὤμοις καὶ ἐξισουμένη ἐφ᾽ ὅσον μὲν οὐ κέχηνε θηρίου κεφαλή ἐστιν, ἐπειδὰν δὲ χάνῃ, ὅλη γίνεται στόμα μέχρι τῶν* 10 *ὤμων τὸ χάσμα ποιοῦσα. ἀναιρεῖ δὲ τοῦτον πολλάκις ἡ ὑδρὶς λεγομένη ἐν τῷ αὐτῷ ποταμῷ τυγχάνουσα καὶ μορφὴν ἔχουσα κυνὸς τοιούτῳ τρόπῳ· τὸ γὰρ στόμα διανοίγων ὁ κορκόδηλος καὶ οὕτω καθεύδων, ἡ ὑδρὶς εἰς πηλὸν ἐγκυλισαμένη καὶ διὰ τοῦ στόματος αὐτοῦ πρὸς τὴν γαστέρα χω-* 15 *ροῦσα καὶ ταύτην διαρρήξασα θᾶττον ἐξέρχεται διὰ τῆς ἕδρας νεκρὸν αὐτὸν καταλιμπάνουσα. καὶ ταῦτα μὲν ὧδε, πρὸς δὲ τὰ ἑξῆς ὁ λόγος βαδισάτω.*

Πολέμου ποτὲ συγκροτηθέντος μεταξὺ Ῥωμαίων τε καὶ βαρβάρων ἐπὶ τὴν Μυσίαν, ὑπέθετο Μαυρίκιος ὁ βασιλεύς, 20 *ὥς φασιν, τῷ στρατηγῷ τῷ καταπιστευθέντι τὸ Ῥωμαϊκὸν στράτευμα παραδοῦναι τούτους τοῖς πολεμίοις διὰ τὴν ἀνταρσίαν αὐτῶν, ὅπερ τοῦ στρατηγοῦ ὑπακούσαντος καὶ γέ-*

18—*p.* 659, 1 *cf.* Theoph. *p.* 278, 30.

1 *καὶ μέγας ἰχθὺς* E (*καὶ ἰχθὺς καὶ μέγα* Eust.). — 3 *μεγίστη καὶ τραχεῖα* ABPV (*μεγ. καὶ παχεῖα* Eust.) *καὶ om.* rell. — 4 *τελευτὴ* GPR Eust. *τελετὴ* rell. — 5 *ἄνωθεν εἰς* ABP Eust. *ἄνωθεν om.* rell. — 6 *ὁρμαὶ καὶ ἀκμαί* RV. — *μάχηται* ERV. — 11 *ὕδρις* CE *ὑδριῆς* A. — 13 *ὕδρις* E *ὑδριὴς* A. — *ἐγκυλισαμένη εἰς πηλὸν* RV. — 18 *ποτὲ*] *δὲ* P *δὲ τότε* RV. — *τε om.* B *et* Exc. de insid. — 22 *ὅπερ καὶ γέγονε τοῦ στρατ. ὑπακούσ.* B *τοῦ στρατ. ὑπακούσαντος om.* P Exc. — *καὶ*] *οὕτω* V *om.* R.

1 *ἄχρις* P Eust. — 16 *καὶ ταῦτα* — 17 *βαδισάτω om.* P. — 19—21 *μαυρίκιος, ὥς φασιν, τῷ στρατηγῷ ἵνα τὸ ῥωμ. στρατ. παραδῷ τοῖς πολ.* P (*cf.* Theoph.). — 21 *ἀνταρσίαν*] *ἀταξίαν* P Theoph.

γονεν. συνελήφθη οὖν λαὸς πολύς. τῆς δὲ συγκλήτου 557 M.
παρακαλεσάσης τὸν βασιλέα τοῦ ἀγορασθῆναι αὐτούς, εἴξας
ὁ βασιλεὺς ἀπέστειλε πρέσβεις πρὸς τὸν ἄρχοντα τῶν βαρ-
βάρων, ἵνα τοὺς ὑπ' αὐτοῦ κρατηθέντας ἀπολύσῃ. ὁ δὲ
ἐδήλωσεν· ἀποδίδωμι πάντας κατὰ ψυχὴν νόμισμα κομιζό- 5
μενος. ὁ δὲ βασιλεὺς μὴ ἀνασχόμενος δοῦναι, πάλιν ὁ
βάρβαρος ἀνὰ ἥμισυ λαβεῖν ἠξίωσεν. τοῦ δὲ βασιλέως μηδὲ
τοῦτο καταδεξαμένου, θυμωθεὶς ὁ βάρβαρος ἀπέκτεινε πάν-
τας ὁμοῦ χιλιάδας ιβ'. ὅθεν ἐκ τούτου μισηθεὶς Μαυρί-
κιος, ἤρξαντο πάντες λοιδορεῖν αὐτὸν καὶ διαβάλλειν. ὁ δὲ 10
μεταμεληθεὶς καὶ εἰς ἑαυτὸν ἐλθὼν καὶ τὸ μέλλον κριτήριον
ἐννοήσας ἐξελέξατο μᾶλλον ἐνταῦθα τὴν ἁμαρτίαν ἀπολαβεῖν
καὶ μὴ ἐκεῖσε ἐπὶ τοῦ φοβεροῦ δικαστηρίου. καὶ ποιήσας
δεήσεις ἐγγράφους ἀπέστειλεν εἰς τοὺς πατριαρχικοὺς θρό-
νους πάντας καὶ εἰς τὰ ἐν Ἱεροσολύμοις ἀσκητήρια καὶ 15
μοναστήρια πολλὰ χρήματα καὶ θυμιάματα καὶ κηρούς, ὅπως
εὔξωνται περὶ αὐτοῦ, ἵνα τὴν ἁμαρτίαν ὧδε ἀπολάβῃ. προ-
εσκανδαλίζετο δὲ καὶ εἰς Φιλιππικὸν τὸν γαμβρὸν αὐτοῦ ὡς
εἰς τὸ φῖ γράμμα ὀνομαζόμενον. ὃς καὶ διαφόρως αὐτὸν
δι' ὅρκων ἐπληροφόρει καθαρὸς εἶναι τῆς ὑποψίας ταύτης. 20
τοῦ δὲ Μαυρικίου τὸν θεὸν ἱκετεύοντος περὶ τῆς ἁμαρτίας

1—10 *cf.* Theoph. *p.* 279, 26. — 10—*p.* 661, 12 *cf.* Theoph. *p.* 284, 21.

1 *συνελήφθη γὰρ* V *καὶ συνελήφθη* R Exc. — 5 *ἐδήλωσεν* AB (*τοῦ δὲ δηλώσαντος* Exc.) *ἀντεδήλωσεν* rell. — *νόμισμα κομιζόμενος κατὰ ψυχήν* V *νομ. κατὰ ψ. κομιζόμενος* R. — 9 *ὁ μαυρίκιος* AC *et* recc. quidam. — 12 *ἐνταῦθα τὴν ἁμαρτίαν* ACDEGP *τὴν ἁμαρτίαν ἐνταῦθα* BMV *τὴν ἁμαρτίαν om.* R. — 13 *καὶ μὴ* ABP Theoph. *ἢ* rell. — *δικαστηρίου* ABP *κριτηρίου* rell. — 18 *τὸν om.* AB.

1—5 *συλληφθὲν οὖν πλῆθος πολὺ καὶ τῆς σ. παρακαλ. τὸν βασ. καὶ ἀποστείλας εἰς τὸν ἄρχ. τῶν βαρβ. πρέσβεις ἵνα — ἀπολύσῃ, φησὶν ὁ βάρβαρος.* P. — 5—6 *κομιζόμενος παρὰ τοῦ βασιλέως. ὁ δὲ μὴ* P. — 7 *καὶ τοῦ βασιλέως* P. — 9 *ὁμοῦ*] *εὐθὺς* P. — 13 *ἐκεῖ* P. — 18 *καὶ om.* P. — 19—20 *διαφόρως αὐτῷ ἐπώμνυτο καθαρὸς* P Theoph.

τῶν σφαγέντων, εἶδεν ἐνύπνιον τοιοῦτον, ὡς ὅτι, λαοῦ πλείστου παρεστῶτος τῇ εἰκόνι Χριστοῦ ἐν τῇ χαλκῇ πύλῃ τοῦ παλατίου, φωνὴ ἐγένετο ἐκ τῆς εἰκόνος λέγουσα· δότε Μαυρίκιον. ὃν καὶ κρατήσαντες παρέστησαν κατενώπιον τῆς
5 εἰκόνος. καί φησιν ἡ θεία φωνή· ποῦ θέλεις, ὦ Μαυ-
558 M. ρίκιε, ἀποδώσω σοι, ἐνταῦθα ἢ ἐν τῷ μέλλοντι αἰῶνι; ὁ δὲ ἀκούσας καὶ γενόμενος ἔντρομος εἶπεν· φιλάνθρωπε κύριε, ὧδε καὶ μὴ ἐκεῖ. καὶ εὐθὺς ἐκέλευσεν ἐκδοθῆναι αὐτὸν καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ πᾶσαν τὴν συγγένειαν
10 αὐτοῦ Φωκᾷ τῷ στρατηλάτῃ. διυπνισθεὶς οὖν ὁ βασιλεὺς ἀπέστειλε παραυτίκα τὸν παρακοιμώμενον ἀγαγεῖν Φιλιππικὸν τὸν γαμβρὸν αὐτοῦ διὰ τάχους. ὃς θεασάμενος τὸν παρακοιμώμενον ἐν τοιαύτῃ ὥρᾳ καὶ τῆς ἑαυτοῦ ζωῆς ἀπογνοὺς ᾐτήσατο κοινωνῆσαι, καὶ οὕτως ἀπῄει πρὸς τὸν βασιλέα
15 καταλιπὼν τὴν ἰδίαν γυναῖκα ἐπὶ σάκκου καὶ σποδοῦ κειμένην καὶ κλαίουσαν. εἶτα εἰσελθὼν ἐν τῷ βασιλικῷ κοιτῶνι ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς κελεύσας ἐξελθεῖν ἔξω τὸν παρακοιμώμενον ἀναστὰς ἔπεσεν εἰς τοὺς πόδας Φιλιππικοῦ λέγων· συγχώρησόν μοι,
20 ἀδελφέ, διὰ τὸν θεὸν ὅτι ἥμαρτόν σοι. ἕως ἄρτι γὰρ ὑπενόουν σε μέλλοντα νεωτερίζειν κατ' ἐμοῦ, ἀλλὰ νῦν ἀσφαλῶς ἔγνων ἀθῷον εἶναί σε τῆς ὑπονοίας ταύτης. παρακαλῶ οὖν σε εἰπεῖν μοι, τίνα γινώσκεις ἐν τοῖς ἡμετέροις τάγμασι Φωκᾶν στρατηλάτην. ὁ δὲ Φιλιππικὸς ἀναλογισάμενος ἔφη·

1 πολλοῦ RV. — 2 τοῦ χριστοῦ AM Exc. — 4 ἐνώπιον BR. — 5 ὦ *om.* R Exc. — 6 ἔνθα CR. — 7 εἶπεν CEGNP (ἔφη Theoph.) ἀποκριθεὶς εἶπεν ABV Exc. — 9 τὰ τέκνα αὐτοῦ R. — καὶ πᾶσαν τὴν συγγ. αὐτοῦ *om.* AR. — 10 ὁ βασιλεὺς μαυρίκιος R ὁ μαυρίκιος P. — 13 τῆς ζωῆς (*om.* ἑαυτοῦ) N τῆς αὐτῆς ζωῆς *vel* τῆς ζωῆς αὐτοῦ recc. — 18 ἐξελθεῖν κελεύσας AB. — 20 διὰ τὸν θεόν, ἀδελφέ B ἀδελφέ *om.* P Theoph. — 23 τόποις καὶ τάγμασι RV. — 24 φωκάν, φωκάς *ubique fere* AGN.

1 σφαγέντων] αἰχμαλώτων P. — 3 γέγονε P Theoph. — 4 ὃν κρατήσαντες καὶ παρέστ. κατεν. τῆς εἰκόνος φησίν P. — 8 ἐκεῖσε P. — 15 σάκκου καὶ *om.* P. — 24 ἀναλογισάμενος ἕνα, φησίν, γινώσκω P.

ἕνα γινώσκω, ὅστις πρὸ καιροῦ πεμφθεὶς ἐκ τοῦ στρατοῦ ἀντέλεγε τῷ κράτει σου. καὶ ὁ βασιλεὺς εἶπεν· ποίας ἐστὶν ἕξεως; ὁ δὲ Φιλιππικὸς λέγει· νεώτερος, δειλὸς καὶ θρασύς. καὶ ὁ βασιλεύς φησιν· εἰ δειλός, καὶ φονεύς. καὶ ἐξηγήσατο αὐτῷ τὸ ἐνύπνιον. ἐν αὐτῇ δὲ τῇ νυκτὶ ἐφάνη ἀστὴρ 5 κομήτης. καὶ τῇ ἐπαύριον ἔφθασεν ὁ ἀποσταλεὶς μαγιστριανὸς φέρων ἀπόκρισιν τοιαύτην· γίνωσκε, φησίν, ὦ βασιλεῦ, ὅτι δεξάμενος ὁ θεὸς τὴν μετάνοιάν σου τὴν μὲν ψυχήν σου διασώζει καὶ μετὰ τῶν ἁγίων κατατάττει, τῆς δὲ βασιλείας καὶ τῆς παρούσης ζωῆς μετὰ πολλῆς θλίψεως καὶ 10 559 M. κινδύνων ἐκπίπτεις. ἅπερ ἀκούσας Μαυρίκιος ἐδόξασε τὸν θεὸν μεγάλως.

Τῆς τοίνυν μετοπωρινῆς ὥρας καταλαβούσης, καὶ τοῦ βασιλέως προστάξαντος Πέτρῳ τῷ στρατηγῷ ἐν τῇ τῶν Σκλάβων χώρᾳ τὸν λαὸν παραχειμάσαι, ἀντεῖπεν ὁ λαὸς μὴ 15 καταδεχόμενος τοῦτο. ὅθεν οἱ ἐπίσημοι τῶν ἀρχόντων φυγόντες, καὶ εἰς ἓν τὰ πλήθη συναθροισθέντα προβάλλονται εἰς τὸ βασιλεύειν αὐτοῖς Φωκᾶν τὸν στρατηλάτην. τοῦ δὲ Πέτρου καὶ τῶν λοιπῶν ἀρχόντων ἐν τῇ πόλει παραγενομένων, Μαυρίκιος τὸ κατ' αὐτοῦ μῖσος τῶν πολιτῶν εἰδὼς 20

13—18 *cf.* Theoph. *p.* 286, 14. — 18—*p.* 662, 8 *cf.* Theoph. *p.* 288, 21.

2 εἶπεν] ἔφη P *et* recc. nonnulli. — 5 δὲ *om.* AB Exc. — 7 ὦ *om.* B φησὶν ὦ *om.* Exc. — 10 μετὰ πολλῶν θλίψεων R Exc. — 13 μετοπωρινῆς (μετοπορ. C μετωπωρ. R) BCPR μεθοπωρινῆς (μεθοπορ. EN) rell. Exc. — 18 αὐτῶν V Exc. αὐτοῖς *om.* B. — 19 ἐν τῇ πόλει *om.* A Exc. — παραγεναμένων AR.

4 ὁ βασιλεύς] ὁ μαυρίκιος P. — καὶ ἐξηγησάμενος αὐτῷ τὸ ἐνύπν. εὐθὺς ἐν αὐτῇ τῇ νυκτὶ P. — 6 μαγιστριανὸς πρὸς τοὺς ἐν τῇ ἐρήμῳ πατέρας φέρων P Theoph. — 7 τοιαύτην] παρ' αὐτῶν οὕτως P (παρ' αὐτῶν ἀπόκρ. τοιαύτην Theoph.). — 9 ἁγίων σε κατατάττει P Theoph. — 13 τοῦ βασιλέως] μαυρικίου P. — 16 τοῦτο καὶ ἐστασίασεν P (καὶ στάσιν ἐμελέτησαν Theoph.). — 17—18 προβάλλονται ἄρχοντα φωκᾶν τὸν κένταρχον P Theoph. — 20 εἰδὼς ἀπέγνω καὶ δὴ μεσούσης P.

μεσούσης νυκτὸς ἀποδυσάμενος τὴν βασιλικὴν ἐσθῆτα καὶ ἰδιωτικὴν ἐνδυσάμενος εἰσῆλθεν εἰς δρόμωνα σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις αὐτοῦ φεύγων τὴν ἐπανάστασιν τοῦ λαοῦ. πᾶσα γὰρ ἡ πόλις δι' ὅλης νυκτὸς αἰσχίσταις ὕβρεσι καὶ 5 *ἀπειλαῖς αὐτὸν ἔβαλλον. ἀνέμου δὲ μεγάλου πνεύσαντος, καὶ μετὰ κινδύνων μεγίστων εἰς τὸν ἅγιον Αὐτόνομον διασωθεὶς παραδόξως, εὐθὺς ἐπιτίθενται αὐτῷ σφοδρότατοι πόνοι ἀρθρίτιδες, ἃς ποδαλγίας καὶ χειράγρας καλοῦσιν.*

560 M. [*κα'. Περὶ Φωκᾶ.*]

10 *Μετὰ δὲ Μαυρίκιον ἐβασίλευσε Φωκᾶς ὁ Καππαδόκης καὶ τύραννος ἔτη η'. ἐλθὼν γὰρ εἰς τὸ Ἕβδομον σὺν τοῖς ὁμόφροσιν αὐτοῦ, καὶ τῶν πολιτῶν ἐκεῖσε πάντων συναθροισθέντων, ἀναγορεύεται βασιλεὺς εἰς τὸν ναὸν τοῦ προδρόμου, καὶ οὕτως εἰσῆλθε τὸ κακὸν εἰς τὰ βασίλεια. μετὰ* 15 *δὲ ταῦτα στασιάσαντες οἱ δῆμοι καὶ κράζοντες· ὁ Μαυρίκιος οὐκ ἀπέθανεν, ἀλλὰ καλῶς ἔχει, πρὸς τὸν φόνον κινεῖται Μαυρικίου ὁ ἀλάστωρ, καὶ δὴ κελεύσας, ἤχθη δέσμιος εἰς τὸν Εὐτροπίου λιμένα. προκολάζων δὲ αὐτὸν ὁ μιαιφόνος τῇ θεωρίᾳ ἀναιρεθῆναι τοὺς πέντε ἄρρενας υἱοὺς αὐτοῦ* 20 *ἔμπροσθεν αὐτοῦ ἐπιτρέπει. ὁ δὲ Μαυρίκιος φιλοσοφῶν*

10—14 *cf.* Theoph. *p.* 289, 12. — 14—*p.* 663, 10 *cf.* Theoph. *p.* 289, 29.

1 *τὴν* — 2 *ἐνδυσάμενος om.* G *et* recc. quidam. — 2 *δρόμονα* ACGN *δρόμονας* R. — 4 *αἰσχίσταις* ABP Exc. *αἰσχίστοις* rell. — 6 *μεγίστων κινδύνων* C *κινδύνων μεγάλων* V *κινδύνου μεγίστου* Exc. — 8 *ἀρθρήτιδες* P *ἀθρίτιδες* EGV *ἀθρήτιδες* A. — *ποδαλγίας* P Theoph. *ποδάλγας* AEGV *ποδάγρας* BCNR Exc. — *χειράλγας* A. — 12 *ἀθροισθέντων* V *et* recc. nonnulli. — 15 *καὶ om.* AB. — 17 *μαυρικίου* ABP *τοῦ μαυρικίου* rell. — 20 *ἔμπροσθεν αὐτοῦ om.* BV.

2 *ἀμφιασάμενος* P. — 5 *ἔβαλλεν* P. — 8 *τινὲς καλοῦσιν* P. — 13 *ἐν τῷ ναῷ* P. — 17—20 *μαυρ. παρευθὺς ὁ ἀλάστωρ, ὃν ἐν χαλκηδόνι δέσμιον ἀγαγὼν εἰς τὸν εὐτροπίου λιμένα, προαναιροῦνται οἱ πέντε ἄρρενες αὐτοῦ παῖδες, προκολάζων αὐτὸν ὁ μιαιφόνος τῇ θεωρίᾳ ταύτῃ. ὁ δὲ μ.* P (*Similia* Theoph.).

τὸ δυστύχημα συνεχῶς ἐπεφθέγγετο· δίκαιος εἶ, κύριε, καὶ δικαία ἡ κρίσις σου. τῆς δὲ τιθηνῆς ὑποκλεψάσης ἓν ἐκ τῶν πέντε βασιλικῶν παιδίων καὶ τὸ ἴδιον αὐτῆς πρὸς ἀναίρεσιν ἀντιδιδούσης, ὁ Μαυρίκιος οὐ κατεδέξατο, ἀλλὰ τὸ ἴδιον ἐπεζήτησεν ἐλθεῖν καὶ αὐτὸ ἀναιρεθῆναι. οὕτω 5 561 M. τοίνυν καὶ νόμῳ φύσεως καὶ τρόπῳ κρείττονι καὶ ἀκροτάτῃ μετανοίᾳ ὑψηλότερος γεγονὼς Μαυρίκιος ὁ βασιλεὺς ὑπαλλάττει καὶ αὐτὸς ὁμοίως τὸν βίον μετὰ πολλῆς ὑπομονῆς καὶ εὐχαριστίας, ὅθεν καὶ κληρονόμος γέγονε τῶν αἰωνίων ἀγαθῶν. τοῦ δὲ ἀθλίου Φωκᾶ προστάξαντος τεθῆναι τὰς 10 τούτων κεφαλὰς ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου, ἐξήρχοντο οἱ τῆς πόλεως καὶ ἐθεώρουν αὐτὰς ἕως ἐπώζεσαν, καὶ τότε συνεχώρησεν αὐτὰς τοῖς ποθοῦσιν ἀποδοθῆναι. οἱ δὲ δεξάμενοι κατέθεντο αὐτὰς ἐν τοῖς πρέπουσι τόποις. τὴν δὲ Μαυρικίου γυναῖκα σὺν ταῖς τρισὶ θυγατράσιν αὐτῆς ἐν 15 μοναστηρίῳ καθεῖρξεν.

Καλλιγράφος δέ τις εὐλαβὴς ἐν Ἀλεξανδρείᾳ ἐκ παννυχίδος οἴκαδε πορευόμενος μεσούσης νυκτός, καθ' ἣν ἡμέραν ἀνῃρέθη Μαυρίκιος, ὁρᾷ τοὺς ἀνδριάντας ἐκ τῶν βωμῶν καθελκυσθέντας καὶ βοῶντας· ἀνῃρέθη Μαυρίκιος καὶ τὰ 20 τέκνα αὐτοῦ. ὅπερ σημειωσάμενος ὁ καλλιγράφος, ἦλθεν

10—13 *cf.* Theoph. *p.* 291, 2. — 14—16 *cf.* Theoph. *p.* 293, 20. — 17—*p.* 664, 2 *cf.* Theoph. *p.* 291, 17.

1 *τῷ δυστυχήματι* N. — 2 *τιθήνης* E *τιθινῆς* DGP *τηθινῆς* B *τιθηνοῦ* V. — 8 *τὸν βίον ὁμοίως* B *ὁμοίως m. 1 spr. v.* G *om.* D. — 17 *ἐν ἀλεξανδρείᾳ εὐλαβὴς* A *εὐλαβὴς om.* CLN.

2. 3 *ἕνα τῶν πέντε βασιλ. μειρακίων καὶ τὸ ἑαυτῆς πρὸς* P Theoph. — 4 *ἀντιδούσης* P (*ἐπιδωσάσης* Theoph.). — 5 *ἐλθεῖν — ἀναιρεθῆναι om.* P Theoph. — 6—10 *οὕτω τοίνυν καὶ νόμου* (*νόμων* Theoph.) *φύσεως ὑψηλότερος γεγονὼς μαυρίκιος καὶ τρόπῳ κρείττ. καὶ ἀκροτ. μεταν. τῶν μελλόντων ἀγαθῶν κληρονόμος ὑπαλλ. καὶ αὐτὸς ὁμ. τ. βίον μετὰ π. ὑπομ. τε καὶ εὐχαριστείας. ὁ δὲ φωκᾶς προστάξας τεθῆναι* P. — 11 *κεφαλὰς* ϛ̄ P. — 12 *καὶ τότε* — 14 *τόποις om.* P Theoph.

ἄνθρωπος μεθ' ἡμέρας δέκα μηνύων τὴν Μαυρικίου τελευτήν. ὁ δέ γε ἀλάστωρ Φωκᾶς μετ' ὀλίγον χρόνον καὶ τὴν γυναῖκα Μαυρικίου ἅμα ταῖς τρισὶ θυγατράσιν αὐτῆς ἀνεῖλεν ἐν τῷ μόλῳ τῶν Εὐτροπίου, οὐ μὴν δὲ ἀλλὰ καὶ 5 *πᾶσαν τὴν συγγένειαν Μαυρικίου διώλεσεν ὁ παράνομος εἰς πλείονα τῶν χριστιανῶν ὄλεθρον. οὐ γὰρ διέλειπε τῇ τῶν Ῥωμαίων ἔκτοτε βασιλείᾳ δυστυχήματα ποικίλα τε καὶ ἐπάλ-* 562 M. *ληλα. ὅ τε γὰρ Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς τὴν εἰρήνην διέλυσεν, καὶ Ἄβαροι τὴν Θρᾴκην ἐδῄωσαν, καὶ* 10 *ἄμφω τὰ στρατόπεδα τῶν Ῥωμαίων διέφθειραν καὶ ἐξήλειψαν διὰ τὸ τὸν ἀνόσιον καὶ βέβηλον προτιμῆσαι τοῦ ἐννόμου καὶ εὐσεβοῦς βασιλέως. πρὸς δὲ τούτοις καὶ θνῆσις ἀνθρώπων τε καὶ κτηνῶν καὶ ἀφορία τῆς γῆς πολλὴ γέγονε καὶ χειμὼν βαρύτατος, ὥστε παγῆναι τὴν θάλασσαν καὶ* 15 *πολλοὺς ἰχθύας τεθνάναι.*

Ὁ οὖν δόλιος Φωκᾶς μετὰ πάντων αὐτοῦ τῶν ἀμετρήτων κακῶν προσέθηκε τελευταῖον καὶ τοῦτο· ποιήσας γὰρ ἱππικὸν ἠτάκτησεν. τῶν δὲ δήμων τοῦτο μὴ καταδεξαμένων, ὕβρισαν αὐτὸν λέγοντες· πάλιν εἰς τὸν καῦκον ἔπιες, 20 *πάλιν τὸν νοῦν ἀπώλεσας. ἐφ' οἷς μανεὶς ὁ θεομάχος πολ-*

2—4 *cf.* Theoph. *p.* 295, 7. — 4—6 *cf.* Theoph. *p.* 296, 3. — 6—12 *cf.* Theoph. *p.* 290, 12. — 12—15 *cf.* Theoph. *p.* 296, 5; 297, 11. — 16—*p.* 665, 6 *cf.* Theoph. *p.* 296, 25.

4 *μώλῳ* BN. — *τῶν*] *τῶ* B *τὸν* A. — 6 *διέλιπε* BELV. — 6. 7 *τὴν — βασιλείαν* M *τῇ — βασιλείαν* G *τὴν — βασί.* B. — 7 *ἐπάλληλα* BPR *ἀλλεπάλληλα* rell. — 9 *ἐδῄωσαν* BER Exc. de insid. *ἐδίωσαν* ALNP *ἐδίωξαν* CGV *et m. 2* A. — 10 *στρατεύματα* CRV. — 11 *προτιμῆσαι καὶ βέβηλον* N. — 16 *δόλιος om.* B (*cf. infra* P). — 17 *προσέθεικε* D *προστέθεικε* V. — 18 *ἠτάκτισεν* (*ἠτ.* C) CG Exc. — 20 *ὁ θεομάχος μανεὶς* L *ὁ θεομάχος om.* B (*cf.* P).

2 *ἀλάστωρ*] *αἱμοβόρος* P. — 3 *ἀνεῖλεν ὡσαύτως ἐν* P. — 10—12 *διέφθειραν εἰς ἐξάληψιν ὡς τὸν ἀνόσιον καὶ τύραννον τοῦ εὐσεβοῦς προτιμησάμενοι* (*l. -μενα*) P (*cf.* Theoph. *p.* 290, 19). — 16—19 *ὁ οὖν φωκᾶς ποιήσας ἱππικόν, ὕβρισαν αὐτὸν οἱ δῆμοι λέγοντες* (*rell. om.*) P. Theoph. — 20 *ἐφ' οἷς μανεὶς καὶ τὸν ἔπαρχον ἐπιτρέψας πολλοὺς* P Theoph.

λοὺς μὲν ἠκρωτηρίασε καὶ τὰ μέλη αὐτῶν ἐν τῷ σφενδόνι ἐκρέμασεν, πολλοὺς δὲ ἀπεκεφάλισε καὶ ἄλλους ἐσάκισεν. τὸν δὲ λοιπὸν πλείονα λαὸν τῷ ὑπάρχῳ ἐπέτρεψεν ἀποκλεῖσαι αὐτούς, ὅπως μετὰ ἡμέρας τινὰς παραδώσῃ αὐτοὺς τῷ θανάτῳ. οἱ δὲ ὄχλοι ἐπισυναχθέντες καὶ πῦρ εἰς τὸ 5 *πραιτώριον βαλόντες, ἐξῆλθον οἱ δέσμιοι πάντες καὶ ἔφυγον.*

Μετὰ δὲ ταῦτα ἔφθασεν ἡ ὀργὴ καὶ ἐπὶ τὴν κεφαλὴν τοῦ ἀσεβοῦς Φωκᾶ ἀνθ' ὧν ἔδρασεν ἀναριθμήτων κακῶν. Ἡράκλειος γὰρ ὁ στρατηγὸς Ἀφρικῆς πλοῖα πολλὰ ἐξοπλίσας 563 M. *καὶ στρατὸν ἄπειρον ἐξ Ἀφρικῆς καὶ Μαυριτανίας ἐπισυνά-* 10 *ξας τὴν Κωνσταντινούπολιν κατέλαβεν ἐπιφερόμενος καὶ τὴν ἀχειροποίητον εἰκόνα τοῦ κυρίου, ὥς φησι Γεώργιος ὁ Πισίδιος. καὶ πολέμου κροτηθέντος ἐνίκησεν Ἡράκλειος τῇ χάριτι Χριστοῦ Φωκᾶν τὸν ἀλιτήριον. οὗτινος ἡττηθέντος Φωτεινός τις ἐκ τῶν μεγιστάνων προεπιβουλευθεὶς ὑπὸ* 15 *Φωκᾶ εἰς τὴν σύζυγον εἰσῆλθεν ἀθρόως μετὰ πλήθους στρατιωτῶν εἰς τὸ παλάτιον καὶ τὸν ἄθλιον Φωκᾶν ἀτίμως*

7—14 *cf.* Theoph. *p.* 298, 16. — 14—*p.* 666, 13 *cf.* Nicephori Breviar. *p.* 4, 19.

1 *μὲν om.* L *et* recc. quidam. — *ἐν τῷ σφενδόνι* (*-ώνι* C *-ῶνι* D) ACDEGP *ἐν τῇ σφενδῶνι* M *ἐν τῇ σφενδόνῃ* BLRV. — 2 *δὲ καὶ ἀπεκεφάλισε* LP. — *ἐσάκισεν* (*-ησεν* EM) BENPRV. *ἐσάκκισεν* (*-ησεν* A) AC *et* G *m. 1 ex ἐσάκισεν corr.* — 3 *ἐπάρχῳ* BPRV. — 4 *μεθ' ἡμέρας* BE. — *παραδώσει* codd. *praeter* DR. — 7 *καὶ ἡ ὀργὴ ἐπὶ* A *καὶ om.* M Exc. — 8 *ἔδρα* AB. — 14 *χριστοῦ* ABPV *τοῦ χριστοῦ* rell. — *ἀλητήριον* CGNP. — 15 *φωτινός* AGM *Φώτιος* Nic.

3 *τὸν δὲ* — 5 *θανάτῳ om.* P Theoph. — 5 *συναχθέντες δὲ οἱ δῆμοι* P (*σωρευθέντες δὲ οἱ πράσινοι* Theoph.). — 7—10 *μετὰ δὲ τ.* (*ἔφθασεν* — 8 *κακῶν om.* P Theoph.) *ἐξοπλισάμενος ἡρακλ. ὁ στρατ. ἀφρ. καὶ λαβὼν πλοῖα καστελλομένα πλεῖστα καὶ στρατὸν* P. — 10. 11 *μαυρ. κατέλαβε τὴν πόλιν* P. — 11 *καὶ om.* P. — 16 *σὺν πλήθει* P. — 17 *sqq. sic in* P: *καὶ τὸν φ. ἁρπάσας καὶ τὴν βασιλ. ἀποδύσας ἐσθῆτα καὶ μέλ. χιτων. ἐνδύσας καὶ δέσμιον εἰς πλοῖον ἐμβαλὼν πρὸς ἡρ. ἀπήγ. ὃν ἡρ. θεασ. καὶ εἰπών· οὕτως — διοίκησας ἔφη· σὺ κ. ἔχ. διοικ. καὶ πρῶτον μὲν αὐτοῦ τὸν διὰ ξίφους*

ἐκ τοῦ θρόνου ἀναστήσας τῆς βασιλικῆς ἐσθῆτος ἀπεγύμνωσεν, καὶ ἐνδύσας αὐτὸν μέλανα χιτωνίσκον καὶ κλοιὰ τῷ τραχήλῳ αὐτοῦ περιθεὶς ἄτιμόν τινα καὶ ἐλεεινὸν πρὸς Ἡράκλειον ἀπήγαγεν. ὃν Ἡράκλειος θεασάμενος εἶπε πρὸς αὐ-
5 τόν· οὕτως, ἄθλιε, τὴν πολιτείαν ἐδιοίκησας. ὁ δὲ ἀπεγνωσμένος ἐκεῖνος ἄνθρωπος ἀποκριθεὶς ἔφη· σὺ κάλλιον ἔχεις διοικῆσαι. καὶ πρῶτον μὲν ἐκέλευσεν Ἡράκλειος τὰς
564 M. χεῖρας καὶ τοὺς πόδας αὐτοῦ ἀφαιρεθῆναι, καὶ μετὰ τοῦτο ἐκ τῶν ὤμων ἀκρωτηριάζεσθαι λώρους, τὰ δὲ αἰδοῖα ἐκτέ-
10 μνεσθαι καὶ κοντοῖς ἀναρτᾶσθαι διὰ τὰς ἀμέτρους ὕβρεις, ἃς ἔπραξεν, ἔπειτα δὲ καὶ τὴν κεφαλὴν μαχαίρᾳ τέμνεσθαι, τὸ δὲ κατεσκηλιτευμένον σῶμα τοῦ δυσωνύμου συρόμενον κατὰ τὴν τοῦ Βοὸς λεγομένην ἀγορὰν τῷ πυρὶ παραδίδοσθαι.

Οὐκ ἀπεικότως οὖν ἔγραφεν ὁ μέγας Ἰσίδωρος πρός
15 τινα περὶ τῆς δυστροπίας τῶν Καππαδοκῶν τοιάδε· τί σοὶ καὶ τῷ γένει τῷ θηροτρόπῳ; τί σοὶ καὶ τῷ ἀλλοφύλῳ καὶ πονηροτάτῳ ἔθνει; τί τοῖς δυσγενέσι συμφύρῃ; οἱ ἀλλόφυλοι γὰρ ἐκ Καππαδοκῶν ἀνήχθησαν, καὶ ἀπόγονοι Καππαδοκῶν ἀλλόφυλοι, ἐξ ἀλλοφύλων δὲ Γαβαωνῖται. Καππαδόκαι δη-
20 λονότι Γαβαωνῖται πέλουσιν. ἔχων οὖν τὴν ἐκείνων πονηρίαν ἀνάγραπτον ἐγγύθεν, τί θαυμάζεις τοὺς ψευδολόγους

15—17 Isidori Pelus. Epp. I, 351 Migne Tom. 78, 381 D. — 17—p. 667, 1 *ib.* I, 281 Migne 348 A.

2 μέλαινα BR. — 5 διώκησας Exc. *et una littera ante δι erasa* V διοίκησας P. — 6 ἀποκριθεὶς *om.* MRV. — 10 κόντοις BCGP Exc. *et ut vid.* A. — 12 κατεσκηλητευμένον Exc. κατεσκελιτευμένον G. — 13 τοῦ *om.* BMR. — 14—p. 667, 16 *in solis codd.* ABP *extant.* — 14 ἔγραψεν B. — 16 θηριοτρόπῳ A. — 17 δυσγενέσι] γένεσι B. — 19 *et* 20 γαββαωνῖται B. — 20 πονηρίαν] δυστροπίαν B.

εὐθὺς ἔτι πρὸς τῷ πλοίῳ ὄντι καταψηφίζεται θάνατον, ἔπειτα δὲ χεῖρας ἐκ τῶν ὤμων ἀκρωτ. καὶ τῶν αἰδοίων ἐκτέμνεσθαι καὶ κ. ἀναρτ. οὕτω τε τὸ σῶμα συρέντα κατὰ τὴν τοῦ β. λεγ. ἀγ. καυθῆναι. *Similia* Nic. — 16 καὶ τί σοὶ P. — 19 καὶ καππαδόκαι P.

καὶ κακοσχόλους Καππαδόκας; τί τοὺς οἰνοδυνάστας καὶ γιγαντοκοιλιολάτρας ἐρεθίζεις; τί τοὺς λυσσώδεις κύνας ἀγριαίνεις, ὧν τὰ δήγματα θάνατος; τί τὰς λοιδόρους γλώσσας παραθήγεις; τί τὰς ἑαυτοῦ χραίνεις ὑπολήψεις ἐκείνοις συγκρινόμενος καὶ συμπεριφερόμενος; οἷς καὶ ἀνδραπόδοις τις 5 *χρήσασθαι νουνεχὴς οὐκ ἀνέχεται. καὶ γοῦν ἔφης ἀνάξια μὲν τῶν πάλαι θείων πατέρων τὰ ἤθη τῶν νῦν δρωμένων Καππαδοκῶν, καὶ οὐκ ἐκ τούτων ἐκείνους γεγενῆσθαι νομίζεις. ἀλλ' ἔγωγε Καππαδόκας τοὺς ἁγίους ἐκείνους σύμφημι γεγενῆσθαι, καὶ τοῦτο μάλιστα γνώρισμα τῆς τούτων ὑπάρχει* 10 *κακοφροσύνης. εἰ γὰρ μὴ ἐκ τούτων ἐκεῖνοι ἐξέλαμψαν, εἶχεν ἂν ἀπολογίαν τὸ κάκιστον καὶ κακόηθες ἔθνος τὴν γενικὴν πονηρίαν ὡς ἔμφυτον, καὶ αἴτιον ἂν τῆς κακίας τὸν δημιουργὸν ἐποιήσαντο. ἀλλ' ἐν ἐκείνοις τοῖς θεοφόροις ἀνδράσι λαμψάσης τῆς φύσεως, ἐν τούτοις ἐκδήλως τὰ τῆς* 15 *γνώμης γνωρίζεται.*

[κβ'. *Περὶ Ἡρακλείου.*]

Μετὰ δὲ Φωκᾶν ἐβασίλευσεν Ἡράκλειος ἔτη λ'. ὃν Σέργιος ὁ πατριάρχης καὶ ἡ σύγκλητος μετὰ παντὸς τοῦ λαοῦ ἀνηγόρευσε βασιλέα ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. ἀπὸ δὲ 20

1—16 Isid. *ib.* I, 351; 352 Migne 384 A. — 18—*p.* 668, 2 Niceph. *p.* 5, 8.

2 *τὰς* A. — 3 *δόγματα* B. — 6 *οὐκ ἀνέχεται νουνεχής* B. — 10 *ὑπάρχει om.* B. — 12 *ἂν om.* B Isid. — *τὴν γεννικὴν ἔχων πονηρίαν* A.

7 *πατέρων βασιλείου καὶ γρηγορίου* P (*invito* Isid.). — 14 *τὰ τῆς θεοστυγοῦς καὶ θηριώδους τε καὶ δαιμονιώδους γνώμης γνωρίζεται πρόδηλα* P (Isid. *ut* AB). — 18—*p.* 668, 7 *ὃν σ. ὁ πατρ. καὶ πᾶς ὁ λαὸς τῆς πόλεως ἀναγορεύσας ἐν τῇ μεγ. ἐκκλ. βασιλέα συνεργοῦντος καὶ συμπράττοντος ὑπὲρ πάντας κρίσπου τοῦ ἐπάρχου καὶ γαμβροῦ φωκᾶ εἰς τὰ βασίλεια καθίσταται λίαν εὐφημούμενος ὑπὸ πάντων ὡς τοῦ τυράννου καθαιρέτης. ὁ δὲ κρίσπος αὐτίκα στρατηγὸς καππαδοκίας ἀποσταλεὶς κἀκεῖσαι τὸν ἡράκλειον διαλοιδορήσας καὶ μετ' ὀλίγον ἐν κ. γεν. ἔφη πρὸς αὐτὸν ἡράκλειος ἐπὶ συγκλ.* P (*cf.* Niceph.).

τῆς ἐκκλησίας αὐτὸν παραλαβόντες εὐφημοῦντες κροτοῦντες δοξάζοντες εἰς τὰ βασίλεια εἰσήγαγον. συνέπραττε δὲ τούτοις καὶ συνευδόκει πλέον Κρίσπος ὁ ὕπαρχος καὶ γαμβρὸς τοῦ Φωκᾶ. μετὰ δέ τινα χρόνον στρατηγὸν αὐτὸν ποιήσας
5 Καππαδοκίας ὁ βασιλεὺς ἀπέστειλεν. ἐκεῖ τοίνυν ἀπελθὼν ἐλοιδόρει Ἡράκλειον. μετ' οὐ πολὺ δὲ ἐν Κωνσταντινου-
565 M. πόλει γενόμενος, ἔφη πρὸς αὐτὸν ὁ βασιλεὺς ἐπὶ συγκλήτου· γαμβρὸν οὐκ ἐποίησας, ταλαίπωρε, καὶ πῶς ἂν φίλον ποιήσειας; εἶτα κληρικὸν αὐτὸν καταστήσας ἐν τῇ μονῇ τῆς
10 Χώρας περιώρισεν, ἐν ᾗ καὶ μετ' ὀλίγον τὸ πέρας τοῦ βίου ἐδέξατο.

Μετὰ δὲ ταῦτα ὁ τῶν Περσῶν βασιλεὺς Χοσρόης ἀποστείλας κατὰ Ῥωμαίων ἡγεμόνα Σάϊτον καλούμενον μετὰ πολλῆς δυνάμεως πᾶσαν τὴν ἀνατολὴν ἠφάνισεν. ἐλθὼν
15 δὲ ἐν Κωνσταντινουπόλει ἱκανὸν χρόνον ἐν Χαλκηδόνι ἐκάθισεν. ὃς τὸν Ἡράκλειον μεθ' ὑποκρίσεως εἰρηνικῶς προσκαλεσάμενος τὰ πρὸς ἀγάπην ὡμίλησεν. τοῖς δὲ ἀπατηλοῖς αὐτοῦ καὶ δολίοις λόγοις πιστεύσας ὁ βασιλεὺς ἐκπέμπει σὺν αὐτῷ τῷ ἀσεβεῖ πρὸς Χοσρόην πρέσβεις εἰρήνης μεγιστάνας
20 ο', οὓς παραλαβὼν Σάϊτος ἐκ Χαλκηδόνος καὶ τὴν Ῥωμαϊκὴν ἀρχὴν διελθὼν ἀτίμους ἅμα καὶ δεσμίους ἀπήγαγεν.

2—4 Nic. *p.* 4, 4. — 4—11 *E* Nic. *p.* 5, 16—7, 2 *in brevius redacta.* — 12—*p.* 669, 5 *cf.* Nic. *p.* 9, 12.

3 ἔπαρχος BPRV. — 7 γενόμενος AP γενο B (superscr. μν) γενόμενον rell. — 9 καταστήσας] ποιήσας B Leo Gramm. — 10 ἐν ᾗ καὶ ἐτελεύτησεν B Leo Gramm. (*cf. infra* P). — καὶ μετ' ὀλίγον AV καὶ *om.* CEGNR. — 12. 13 κατὰ ῥωμαίων ἀποστείλας N. — 13 σαΐτον C σάητον B *et sic deinceps.* — 19 τῷ ἀσεβεῖ *om.* B *et* Exc. de legatt. (*cf. infra* P).

9 καταστήσας] ἀποκείρας P. — 10 ἐν ᾗ καὶ ἀπέθανεν P. — 12 ὁ δὲ τῶν (*om.* μετὰ δὲ ταῦτα) P. — 13 καλούμενον *om.* P. — 14—19 *sic in* P: καὶ πᾶσαν τὴν ἀν. ἐρημώσας καὶ ἐν κ. ἐλθὼν περιεκάθησεν ἱκανὸν χρόνον ἐν χ. ὃς τὸν ἡρ. ἐκεῖσε μεθ' ὑποκρ. εἰρ. ἐν πλοίῳ καθεζομένῳ (*l.* -ον) προσομιλήσας, ἐκπέμπει σ. αὐτ. πρὸς χ. ἡράκλειος πρ. εἰρ. — 20 ὁ σαΐτιος P. — 21—*p.* 669, 1 ἀτίμους καὶ δεσμ. ἀπήγ. πρὸς χοσρόην. ὁ δὲ τὸν P.

ὁ δὲ Χοσρόης τὸν μὲν Σάϊτον ὡς τὸν Ἡράκλειον ἰδόντα καὶ μὴ συλλαβόντα ἀποδεῖραι ἐκέλευσεν, τοὺς δὲ πρεσβευτὰς ἐν φρουραῖς καὶ μεγίσταις κακουχίαις κατεδίκασεν. περὶ ὧν ἀθυμία πολλὴ καὶ θλίψις κατεῖχε τὸν βασιλέα καὶ πᾶσαν τὴν πόλιν. ἐγένετο δὲ καὶ λιμὸς ἰσχυρὸς καὶ θανατικὸν 5 *μέγα, καὶ ὁ ἥλιος ἠμαυρώθη, καὶ ἔβρεξε κόνιν.*

Τότε καὶ οἱ Ἄβαροι πρὸς τὸν βασιλέα ἦλθον εἰρήνην αἰτούμενοι δῆθεν. οὓς δεξάμενος καὶ πρόκενσον πρὸς τὴν Ἡράκλειαν ποιησάμενος τοὺς ἀποκρισιαρίους ἀνέπαυεν. οἱ 566 M. *δὲ τὸ κακὸν ἐν ταῖς καρδίαις ἔχοντες τοῖς ὁμοφύλοις ἐδή-* 10 *λωσαν· τάχιστα φθάσατε· ἰδοὺ γὰρ ὁ βασιλεὺς καὶ ὁ πλοῦτος αὐτοῦ παρ' ἡμῖν ἐστιν. τῶν δὲ ἀγρύπνων δαιμόνων μηδ' ὅλως ἀμελησάντων, τὸν τόπον κατέλαβον. τότε τῇ προμηθείᾳ τοῦ φιλανθρώπου θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ μόλις εἰς τὸ Βυζάντιον διαλαθὼν αὐτοὺς ἀποκαθί-* 15 *σταται ὁ βασιλεύς. οἱ δὲ τοῦτον ἐπιδιώξαντες ἕως τόπου πολλοῦ καὶ μὴ φθάσαντες πᾶσαν τὴν ὑπηρεσίαν αὐτοῦ εἰληφότες καὶ τὰ Θρᾳκῷα μέρη δηώσαντες ἠχμαλώτευσαν ἄνδρας τε καὶ γυναῖκας χιλιάδας ο' καὶ ὑπέστρεψαν εἰς τοὺς τόπους αὐτῶν.* 20

5—6 *cf.* Nic. *p.* 12, 4; 7. — 6? — 7—20 *cf.* Nic. *p.* 12, 29.

4 *ἀθυμία πολλὴ καὶ θλίψις* CPRV *ἀθ. καὶ θλ. πολλὴ* rell. Exc. — *εἶχε* RV. — 6—7 *κόνιν τότε. καὶ* R *κόνιν. καὶ τότε* A. — 7 *οἱ om.* CGR. — 8 *τὴν ἡρακλείαν* AG Exc. *τὸν ἡράκλειον* B. — 9 *ἀνέπαυσεν* G *διανέπαυεν* N. — 18 *διώσαντες* AENP *διώξαντες* CRV *διωλέσαντες* G.

1 *ἰδόντα*] *ὁμιλήσαντα* P. — 2 *ἀποδείρας ἀνεῖλε τοὺς δὲ* P. — 4 *βασιλέα*] *ἡράκλειον* P. — 7—17 *καὶ ἦλθον οἱ ἄβαροι πρὸς ἡράκλειον εἰρ. αἰτ. δῆθεν. ὃν ἀπατήσαντες ὁμοίως καὶ πρὸς τὴν συλιμβρίαν ἐξαγαγόντες, μόλις εἰς τὸ βυζάντιον διασώζεται σὺν ὀλίγοις αἰσθόμενος τὴν ἐπιβουλὴν καὶ τὸν δόλον αὐτῶν, ἀποβαλὼν τὴν βασιλικὴν ἐσθῆτα. οἱ δὲ τοῦτον ἐπιδιώκοντες μέχρι τοῦ ἑβδόμου καὶ τὴν φορεσίαν αὐτοῦ καὶ πᾶσαν τὴν ὑπηρεσίαν εἰληφότες* P. — 18 *μέρη πάντα* P. — 19 *γυν. χωρὶς τῶν ἀναιρεθέντων χιλιάδας σο'* P.

Εἶτα πάλιν Χοσρόης ὁ δυσσεβὴς ἀποστείλας ἕτερον ἄρχοντα κατὰ Ῥωμαίων ὀνόματι Σάρβαρον μετὰ πλείστης δυνάμεως καὶ πᾶσαν ἐρημώσας τὴν ἀνατολὴν καὶ τὴν Ἱερουσαλὴμ δορυάλωτον λαβὼν ἐλαφυραγώγησεν αὐτὴν πᾶσαν, οὐ
5 *μὴν δὲ ἀλλὰ καὶ πολλὴν καὶ ἀπάνθρωπον ἀναίρεσιν ποιησάμενος καὶ τὸν τίμιον καὶ ἅγιον σταυρὸν σὺν τῷ πατριάρχῃ Ζαχαρίᾳ λαβὼν καὶ λαὸν ἄπειρον ἐξ Ἱερουσαλὴμ αἰχμαλωτεύσας καὶ εἰς Περσίδα πέμψας ἦλθε πρὸς τὴν Ἀσίαν καὶ τὴν γῆν τῶν Ῥωμαίων. ὁ δέ γε βασιλεὺς Ἡράκλειος τὴν*
567 M. 10 *ἁγίαν ἑορτὴν τοῦ πάσχα τελέσας τάδε πρὸς τὸν πατριάρχην ἔφη· εἰς χεῖρας τῆς θεομήτορος ἀφίημι τὴν πόλιν ταύτην καὶ τὸν υἱόν μου. καὶ ταῦτα εἰπὼν λαβὼν μετὰ χεῖρας τὴν θεανδρικὴν ἀχειροποίητον μορφὴν κατὰ Περσῶν ἐστράτευσεν. καὶ δὴ προσκαλεσάμενος τὸν Τοῦρκον εἰς συμμαχίαν κατὰ*
15 *πάροδον, ἐξ οὗ καὶ φύλαρχον καὶ πλῆθος Τούρκων ἄρας, ἐξώρμησε κατὰ Περσῶν ἐν δυνάμει βαρείᾳ σφόδρα διὰ τοῦ Εὐξείνου πόντου.*

568 M. *Οἱ δὲ Ἄβαροι τὰς σπονδὰς διαλύσαντες, ἅσπερ Ἡράκλειος δώροις πρὸς αὐτοὺς βεβαιώσας ἐκίνησεν, τῷ τείχει*
20 *τοῦ Βυζαντίου προσπελάζουσιν εὐθύς τε πάντα ἐνεπύριζον τὰ*

1—3 *cf.* Nic. *p.* 15, 5. — 3—9 *cf.* Theoph. *p.* 300, 30. — 9—10 *cf.* Theoph. *p.* 302, 32. — 10—12 *cf.* Nic. *p.* 15, 13. — 12—13 *cf.* Theoph. *p.* 303, 17. — 14—17 *cf.* Nic. *p.* 15, 17. — 18—*p.* 671, 5 *cf.* Nic. *p.* 17, 16.

4 *δοριάλωτον* CDP *et fort.* G. — *πᾶσαν* PRV *ἅπασαν* rell. — 5 *πολλὴν ἀπάνθρωπον ποιησάμενος ἀναίρεσιν* B *ἀνάνθρωπον πολλὴν ποιησ.* (*om. ἀναίρεσιν*) M *πολλὴν ἀπανθρωπίαν καὶ ἀναίρεσιν ποιησ.* RV. — 6 *ἅγιον καὶ τίμιον* R *τίμιον καὶ ζωοποιὸν* C *τίμιον* (*om. καὶ ἅγιον*) P. — 11 *χεῖρας σου καὶ* B Leo Gramm. — *ἔφη*] *εἰρήκει* B *om.* A. — 12. 13 *τὴν θεανδρικὴν μετὰ χεῖρας* RV. — 19 *ἐκείνησεν* AG *ἐκήνησεν* M *ἐκεῖσε* C *ἐκαίνισεν* Tafel.

1 *ὁ δυσσεβὴς et ἕτερον et v.* 2 *ὀνόματι om.* P. — 4 *παραλαβὼν* P. — 9 *ὁ δέ γε ἡράκλειος τελέσας τὴν ἑορτὴν τοῦ πάσχα* P. — 10 *τάδε* — 12 *εἰπὼν om.* P. — 12 *καὶ λαβὼν εἰς χεῖρας* P. — 13 *μορφὴν καὶ τῷ θεογράφῳ τούτῳ πεισθεὶς κατὰ* P.

προάστεια, καὶ ὥσπερ ἀναμερισάμενοι Πέρσαι μὲν τὰ τῆς Ἀσιάτιδος γῆς κατεδῄουν, Ἄβαροι δὲ τὸν ἐπὶ Θρᾴκης διέφθειρον τόπον. ὅθεν διαπονηθέντες οἱ πολῖται καὶ πρὸς τοὺς Ἀβάρους πόλεμον συνάψαντες καὶ πολλὰς χιλιάδας ἐξ αὐτῶν κατασφάξαντες πρὸς τὴν ἰδίαν γῆν ἐξήλασαν. 5

Ὁ δὲ Χοσρόης μαθὼν τὴν Ἡρακλείου μεγίστην ἔφοδον καὶ σατράπην ἐν χιλιάσιν ὁπλιτῶν λ' κατ' αὐτοῦ ἐκπέμψας, συμβολῆς γενομένης ἀνῃρέθησαν πάντες. τῶν ὑπολειφθέντων δὲ Περσῶν κατὰ Χοσρόου μανέντων, ἐφ' ἑνὶ τῶν βασιλικῶν οἴκων τοῦτον κατέκλεισαν, προύθηκαν δὲ αὐτῷ χρυσὸν 10 καὶ ἄργυρον καὶ λίθους εἰπόντες πρὸς αὐτόν· ἀπόλαυε τούτων καὶ μόνων, δι' ὧν καὶ τοὺς Ῥωμαίους καθ' ἡμῶν ἤγαγες. καὶ οὕτω λιμῷ καὶ δίψει τιμωρήσαντες αὐτὸν αἰσχρῶς ἀνεῖλον. Ἡράκλειος δὲ ὁ βασιλεὺς εἰς τὴν Περσίδα εἰσβαλὼν τάς τε πόλεις καθῄρει καὶ τὰ πυρεῖα διέστρεφεν, 15 ἐφ' ὧν εὑρέθη Χοσρόου τὸ μυσαρὸν ἐκτύπωμα ἐν τῇ τοῦ οἴκου στέγῃ ὥσπερ ἐν οὐρανῷ καθήμενον. ἑαυτὸν γὰρ ὁ ἄθεος ἀποθεώσας οὕτως ἀνεστήλωσεν, ἐν ᾧ ἄστρα καὶ 569 M. ἥλιον καὶ σελήνην κατασκευάσας ἀγγέλους περιεστῶτας αὐτῷ σκηπτούχους καὶ βροντὴν διὰ μηχανῆς γίνεσθαι καὶ βρέχειν 20

6—8? *cf.* Nic. *p.* 19, 3. — 8—14 *cf.* Nic. *p.* 19, 20. — 14—*p.* 672, 3 *cf.* Nic. *p.* 16, 18.

2 διέφθειραν ABR. — 3 διαπορηθέντες Tafel *cum* Leone Gramm. *Sed* διαπονηθέντες *etiam* Theodosius Melitenus. — 7 ἐν χιλιάσιν P ἐναχιλιάσιν A ἕνα ἐν χιλιάσιν rell. — 11 ἀπόλαβε BG. — 12 καὶ μόνον AGM Exc. de ins. *om.* RV. — καὶ *ante* τοὺς *om.* RV. — 13 δίψη BEM Exc. — 15 πυρεῖα EV πυρῖα B πυρία AR πύρια CGNP. — 19 καὶ ἀγγέλους R ἀγγέλους τε V. — 20 διά τινος μηχανῆς βροντὴν N.

4. 5 ἐξ αὐτῶν χιλιάδας P. — 7 *sqq.* ἐκπέμψας καὶ πάντων τούτων ἀναιρεθέντων μαχησαμένων μετὰ ἡρακλείου καὶ τῶν περσῶν κατὰ χ. μανέντων καὶ ἐφ' ἑνὶ τ. βασ. οἴκ. τ. κατακλείσαντες ἄτροφον, προύθηκαν χρυσὸν καὶ ἄργ. καὶ λίθον πλεῖστον λέγοντες· ἀπόλαυε P Nic. — 14 ὁ βασιλεὺς *om.* P. — περσικὴν P Nic. — 16 ηὕρηται P Nic. — 20 διαμηχανῇ P.

ὁπόταν θελήσειεν ἐτεχνάσατο. ὅπερ βδέλυγμα θεασάμενος
ὁ βασιλεὺς Ἡράκλειος εἰς γῆν κατέστρεψε καὶ ὡς κονιορτὸν
διέλυσεν. ταῦτα δὲ Σάρβαρος ἀκούσας γράφει πρὸς Ἡρά-
κλειον ἀπολογίαν ὡς ὅτι οὐχ ἑκὼν ἀλλὰ γνώμῃ Χοσρόου
5 διέπραττεν ἅπερ εἰς τοὺς Ῥωμαίους πεποίηκεν. ὃν ὁ βασι-
λεὺς διὰ γραμμάτων εἰρηνικῶν προσκαλεσάμενος, ἧκε πρὸς
αὐτὸν ἐν Περσίδι. ἀναζητήσας οὖν Ἡράκλειος τοὺς πρε-
σβευτὰς καὶ μαθὼν ὡς ὑπὸ Χοσρόου δεινῶς ἀνῃρέθησαν,
θυμοῦ πλησθεὶς οὐκ ἐφείσατο κατασφάζων καὶ πυρπολῶν
10 καὶ καταστρέφων πᾶσαν τὴν Περσίδα ἐν ἔτεσιν ἕξ. τῷ δὲ
ἑβδόμῳ ἔτει τὰ ζωοποιὰ ξύλα τοῦ πανσέπτου σταυροῦ ἀνα-
λαβὼν καὶ εἰς Ἱερουσαλὴμ παραγενόμενος καὶ ταῦτα καθυ-
ψώσας, μετὰ πολλῆς χαρᾶς καὶ εἰρήνης ἐπὶ τὴν Κωνσταν-
570 M. τινούπολιν ὑπέστρεψε μυστικήν τινα θεωρίαν ἐν τούτῳ πλη-
15 ρώσας. ὥσπερ γὰρ ἐν ἡμέραις ἓξ ὁ θεὸς πᾶσαν τὴν κτίσιν
δημιουργήσας τὴν ἑβδόμην ἀναπαύσεως ἡμέραν ἐκάλεσεν,
οὕτω δὴ καὶ οὗτος ἐν τοῖς ἓξ χρόνοις πολλοὺς διανύσας
πολέμους καὶ κοπιάσας ἐν τῷ ἑβδόμῳ ἔτει μετ' εἰρήνης ὑπο-
στρέψας ἀνεπαύσατο. οἱ δὲ τῆς πόλεως τὴν ἔλευσιν αὐτοῦ
20 γνόντες ἀκατασχέτῳ πόθῳ πάντες εἰς τὴν Ἱερείαν ἐξῆλθον
σὺν τῷ πατριάρχῃ καὶ Κωνσταντίνῳ τῷ βασιλεῖ καὶ υἱῷ

3—7 *cf.* Nic. *p.* 21, 4. — 7—8 *cf.* Nic. *p.* 20, 16. — 9—*p.* 673, 8 *cf.* Theoph. *p.* 327, 24 Nic. *p.* 22, 3.

1. 2 ὁ βασιλεὺς θεασάμενος ἡράκλειος G ὁ βασιλεὺς *om.* P. — 13 μετὰ πολλῆς χαρᾶς BP πολλῆς *om.* M μετὰ χαρᾶς πολλῆς rell. — 14 ἐπέστρεψε G μετέστρεψε R. — 16 ἐδημιούργησε καὶ τὴν N. — 18 ὑποστρέψας *om.* NRV. — 20 πάντες πόθῳ N. — ἱερείαν (-ρεῖαν N) EGNV ἱερίαν CP ἐρείαν A ἠρίαν B (ἐν τοῖς παλατίοις τῆς ἠρίας R).

4 ὅτι *om.* P Nic. — 5 ὁ βασιλεὺς] ἡράκλειος P. — 7—14 *sic in* P: ἀνῃρέθησαν πᾶσαν τὴν περσίδα καταδιώσας ἐν ἔτεσιν ς' καὶ τὰ ζωοποιὰ ξύλα ἀναλ. εἰς ἱερ. ἀφίκετο πεφυλαγμένα περιτυχὼν αὐτὰ κατὰ θείαν προμήθειαν. ἐν ᾗ ταῦτα καθυψ. καὶ πρὸς τὸ βυζ. εὐθὺς ἐκπέμψας ἐν τῷ ἑβδόμῳ ἔτει μετὰ πολλῆς χ. τε καὶ εἰρ. ἐπὶ τ. κ. ὑπ. — 15 ὡς γὰρ P.

αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν καὶ λαμπάδας, εὐφημοῦντες αὐτὸν μετὰ πολλῆς εὐφροσύνης. καὶ ὁ μὲν υἱὸς αὐτοῦ προσελθὼν ἔπεσεν εἰς τοὺς πόδας τοῦ πατρός, ὁ δὲ πατὴρ περιπλακεὶς τῷ υἱῷ, κατέβρεξαν ἀμφότεροι τὴν γῆν 571 M. τοῖς δάκρυσιν. ὅπερ θεασάμενος ὁ λαὸς εὐχαριστηρίους 5 ὕμνους τῷ θεῷ σὺν δάκρυσιν ἀνέπεμπον, καὶ οὕτω λαβόντες τὸν βασιλέα χαίροντες εὐφημοῦντες κροτοῦντες εἰσῆλθον ἐν τῇ πόλει.

Τοῦ δὲ Ἡρακλείου ὑπὸ Ἀθανασίου πατριάρχου τῶν Ἰακωβιτῶν καὶ Σεργίου τοῦ Σύρου Κωνσταντινουπόλεως 10 ἀπατηθέντος, εἰς τὴν αἵρεσιν τῶν μονοθελητῶν ἐξεκυλίσθη. καὶ δὴ μετὰ ταῦτα νόσῳ περιπεσὼν ὑδερικῇ, δι' ἧς καὶ τέθνηκεν, δεινῶς ἐτιμωρεῖτο. ἐπὶ τοσοῦτον γὰρ τὸ πάθος ἐπεκτάθη ὥς, ἡνίκα ἀπουρεῖν ἔμελλεν, σανίδα κατὰ τοῦ ἴτρου ἐτίθει διὰ τὸ στρέφεσθαι τὸ αἰδοῖον αὐτοῦ καὶ κατὰ 15 τοῦ προσώπου τὰ οὖρα ἀναπέμπειν. ἔλεγχος δὲ ἦν τοῦτο τῆς ἑαυτοῦ παρανομίας ἕνεκεν τοῦ εἰς τὴν ἰδίαν ἀνεψιὰν γάμου.

[κγ'. Περὶ Κωνσταντίνου.]

Μετὰ δὲ Ἡράκλειον ἐβασίλευσε Κωνσταντῖνος υἱὸς αὐ- 20 τοῦ ἔτος α' καὶ φαρμάκῳ ὑπὸ τῶν οἰκείων ἀνῃρέθη. ἐφ' 572 M. οὗ πλούσιός τις ἐν Κωνσταντινουπόλει νοσήσας καὶ τὸν

9—11 *cf.* Theoph. *p.* 329, 21. — 12—18 *cf.* Nic. *p.* 27, 7. — 20—21 *cf.* Theoph. *p.* 341, 14.

3 τοῦ πατρὸς αὐτοῦ A αὐτοῦ (*om.* τοῦ πατρὸς) RV. — 7 χαίροντες εὐφημοῦντες κροτοῦντες B χαιρ. εὐφ. καὶ κροτοῦντες AC EGN χαιρ. καὶ (καὶ *om.* R) κροτοῦντες καὶ εὐφημοῦντες RV χαίροντες εὐφημοῦντες ἀνασκιρτῶντες P σκιρτῶντες Theoph. — 7. 8 εἰς τὴν πόλιν C εἰς τὸ παλάτιον RV. — 14 ἐπεκτάθη AC EGV ἐπεκτάνθη BR ἀπεκτάνθη M ἐξετάθη D ἐπετείνετο PNic. — 15 ἐπετίθη AB Nic. *sed* ἐτίθει *cum* rell. P. — 20 ὁ υἱὸς AGR.

2 μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης P (μετὰ χαρᾶς καὶ δακρύων Theoph.). — 3. 4 ὁ δὲ περιπλακεὶς αὐτῷ, κατέβρ. P. — 13 τοσοῦτο P.

θάνατον δειλιάσας ἔδωκε τοῖς πένησι χρυσίου λίτρας λ', καὶ παρὰ προσδοκίαν ὑγιάνας καὶ μεταμεληθεὶς ἐκ διαβολικῆς ἀπάτης θαρρεῖ τοῦτο φίλῳ αὐτοῦ γνησίῳ καὶ πλουσίῳ. ὁ δὲ λέγει αὐτῷ· μηδαμῶς, ὦ ἄνθρωπε, παραδέξῃ τὸν πονηρὸν
5 λογισμὸν τοῦτον καὶ λυπήσῃς θεὸν τὸν ἐλεήσαντά σε διὰ τὴν ἐλεημοσύνην σου καὶ ἀναστήσαντα, καὶ θάνατον αἰφνίδιον ἐπάξει σοι, καὶ ἀπέλθῃς ἀμετανόητος. τοῦ δὲ μὴ πειθομένου, ἀλλὰ καὶ μᾶλλον ἀποδυσπετοῦντος, ἔφη πρὸς αὐτὸν ὁ φίλος· ἐπεὶ συμβουλεύοντός μου τὰ πρὸς σωτηρίαν
10 σου οὐ καταδέχεσαι, εἴπω σοι ἑτέραν βουλήν. ὁ δέ φησιν· ποίαν ταύτην; καὶ ὁ ἀληθῶς ἐλεήμων ἀπεκρίνατο· δεῦρο εἰς τὴν ἐκκλησίαν καὶ εἰπέ· οὐκ εἰμι ἐγώ, κύριε, ὁ ποιήσας τὴν ἐλεημοσύνην ἐκείνην, ἀλλ' οὗτός ἐστιν, καὶ παρέξω σοι τὰς λ' λίτρας εὐθέως. ὁ δὲ ταλαίπωρος ἐκεῖνος ἄνθρωπος
15 συνθέμενος τοῦτο καὶ πρὸς τὴν ἐκκλησίαν ἀπελθὼν τὸ χρυσίον ἐν χερσὶ λαβὼν καὶ τὸ συμφωνηθὲν λαλήσας ἐν τῷ ἐξέρχεσθαι αὐτὸν πεσὼν παρὰ τὴν πύλην τῆς ἐκκλησίας ἀπέθανεν. πάντων οὖν τῶν εὑρεθέντων φόβῳ καὶ τρόμῳ συσχεθέντων, τὸν δικαιοκρίτην καὶ ἀπαραλόγιστον θεὸν ὑμνο-
20 λόγησαν. τῶν δὲ κληρικῶν προτρεπομένων τὸν κύριον τῶν νομισμάτων τοῦ λαβεῖν τὰ ἴδια, παρῃτήσατο καὶ εἶπεν· μή

---

3 φίλῳ αὐτοῦ τοῦτο RV. — 4 παραδέξει ACGP. — 4. 5 τὸν λογισμὸν τοῦτον τὸν πονηρὸν RV. — 5 τὸν θεὸν ER. — 8 ἀλλὰ μᾶλλον καὶ C καὶ μᾶλλον (*om.* αλλὰ) R ἀλλὰ μᾶλλον (*om.* καὶ) M. — 9 μοι CGLN. — 10 σου] σὺ R *om.* ABL. — καταδέχεσε CM καταδέχῃ BLV — 13 ἐκείνην *om.* NR. — 14 ἄνθρωπος ἐκεῖνος AM. — 17 ἐξέρχ. αὐτὸν τὴν πύλην (τῆς πύλης recc. nonnulli) τῆς ἐκκλ. πεσὼν ἀπέθ. RV. — 20 τῷ κυρίῳ PV.

1 χρυσίου νομίσματα λήτρας λ' P. — 3 ἀπάτης ἐφ' οἷς ἐποίησεν, θαρρεῖ P. — 3. 4 ὁ δέ φησιν· μηδαμῶς P. — 9 ὁ φίλος] πάλιν P. — 9 ἐπεὶ — 11 ἀπεκρίνατο *om.* P. — 11 οὐκ οὖν δεῦρο P. — 14—*p.* 675, 1 *sic in* P: εὐθέως. ὁ δὲ προθύμως ἀπελθὼν καὶ τὰς λ' λίτρας λαβὼν πίπτει παρὰ τὴν πύλην τῆς ἐκκλησίας ἐξερχόμενος καὶ παρευθὺς ἐξέψυξεν. πάντων οὖν τῶν κληρικῶν προτρεπ. τῷ κυρίῳ τῶν νομ. λαβεῖν τ. ἴδια εἶπε μετὰ φωνῆς· μὴ γένοιτό μοι.

μοι γένοιτο τοῦτο κἂν εἰς ἔννοιαν λαβεῖν. ἐξότε γὰρ ὠνόμασα ταῦτα δῶρα κυρίῳ τῷ θεῷ, αὐτοῦ εἰσιν, καὶ εἰς τὰ ἄνω βρέβια ἐγράφησαν, καὶ οὐκ ἔχω αὐτῶν ἐξουσίαν. ὅπερ Ἀνανίας καὶ Σαπφείρα ἀγνοήσαντες καὶ ἐκ τῶν ἀφιερωθέντων κυρίῳ πάλιν ὡς ἐξ οἰκείων λαβόντες αἰφνίδιον θάνατον ὥσπερ καὶ οὗτος ὑπέστησαν. θεὸς γὰρ οὐ μυκτηρίζεται. οἱ δὲ ἀκούσαντες ταῦτα μεγάλως ὠφελήθησαν κατανοήσαντες τοῦ ἀνδρὸς τὸ σταθερὸν καὶ βέβαιον καὶ πρὸς τὴν πίστιν ἀσάλευτον. ἐκρίθησαν οὖν αἱ λ΄ λίτραι διαδοθῆναι πτωχοῖς.

573 M. 5 10

Εἰκότως οὖν ἔλεγεν ὁ μέγας Ἀθανάσιος, ὅτι πᾶν ὅπερ ἐπαγγελλόμεθα τῷ θεῷ οὐκέτι λοιπὸν ἡμῶν ἐστιν, ἀλλὰ τοῦ θεοῦ. διὸ τοίνυν, ἐὰν ἐκ τούτων ὑποσύρωμεν, οὐχ ὡς τὰ ἑαυτῶν ἐσμεν λαβόντες, ἀλλ' ὡς τὰ τοῦ θεοῦ ἱεροσυλοῦντες κριθησόμεθα. ἐπὶ μικρῷ γὰρ καὶ μείζονι πταίσματι ἡ παράβασις κρίνεται. καὶ γοῦν οἱ προπάτορες ξύλου γεύσει θανάτῳ καὶ φθορᾷ κατεδικάσθησαν, καὶ ὁ ἐν σαββάτῳ ξύλα συλλέξας λιθοβολεῖται. ἡ δὲ ἐπαγγελία οὐκ ἄχρι μόνον χρημάτων,

15

6 Gal. 6, 7. — 11—*p.* 676, 10 Athanasius de passione et cruce domini *cp.* 3 Migne Tom. 28, 188 D *aliunde insertis verbis* 15 *κριθησόμεθα* — 18 *λιθοβολεῖται.*

1 *μοι om.* BM. — *ἐξότε* (*ἐξ ὅτε* LR) AELPR *ἐξότου* BCNV *ἔξω* G. — 2 *ταῦτα τῷ κυρίῳ δῶρα αὐτοῦ* B. — *δῶρα om.* CN. — 3 *βρέβια* AP *βρέβεια* LN *βρεβεῖα* BE *βραβεία* CG *βραβεῖα* RV. — *αὐτὸν* A *αὐτὰ* P *om.* recc. quidam. — 4 *σαπφείρα* BP *σαπφεῖρα* L *σάπφειρα* RV *σαπφήρα* CGM *σαπφῆρα* DE *σαμφειρα sine acc.* A. — 8 *τὸ σταθερὸν τοῦ ἀνδρὸς* BL. — *σταθηρὸν* C *et* recc. quidam. — 9 *δοθῆναι* BMV *et* recc. nonnulli. — 12 *τῷ θεῷ* LNPR *τῷ om.* rell. Ath. — *ἡμῖν* BM *ὑμῶν* V. — 14 *λαμβάνοντες* A Ath. — 16 *κρίνεται*] *γίνεται* BCM. — 18 *μόνων* EL.

7—10 *sic in* P: *οἱ δὲ ἀκ. ταῦτα καὶ πάνυ φοβηθέντες καὶ τὸν δικαιοκρίτην καὶ ἀπαραλόγιστον θεὸν δοξάσαντες καὶ τοῦ ἀνδρὸς τὴν σύνεσίν τε καὶ εὐσέβειαν ἐπαινέσαντες, ἐκρίθησαν αἱ λ΄ λίτραι διαδοθῆναι πένησιν.* — 12 *ἐστὶν ἡμῶν ἀλλὰ τῷ θεῷ* P Ath. (*qui add.*: *διαφέρει*). — 18 *λιθοβολεῖται, καὶ οἱ τὰ ἴδια νοσφισάμενοι καὶ ψευσάμενοι ἀνανιᾶς καὶ σαπφεῖρα παραυτίκα θανατοῦνται* P.

ἀλλὰ καὶ μέχρι λόγου φθάνει καὶ προαιρέσεως. οὐδὲ γάρ, εἴ τίς ἐστι πένης οὗτος καὶ προαιρέσεως ἐστέρηται. ἀμέλει τὸ μέγα καὶ θεῖον ὄντως μυστήριον ἡμῶν οὐκ ἐπὶ χρήμασιν ἔχει τὴν ὑπόσχεσιν, ἀλλ' ἐπὶ προαιρέσει τελείᾳ καὶ τῇ κατὰ
5 *θεὸν πίστει. πάντες γὰρ ἐπηγγειλάμεθα, καὶ πάντες ἐπαγγελίας ἐσμὲν ὑπεύθυνοι. ἀνάγκη τοίνυν ἀποδιδόναι τὴν μὲν παρθένον τὴν παρθενίαν ὁποίαν καὶ ἐπηγγείλατο, τὸν δὲ ἐγκρατῆ τὴν ἐγκράτειαν, τοὺς δὲ ἐν γάμῳ τὴν σωφροσύνην καὶ τὴν πρὸς ἀλλήλους τιμήν τε καὶ ἀγάπην, καὶ τέλος*
10 *πάντας τὴν εἰς θεὸν πίστιν καὶ εὐλάβειαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν.*

Καὶ ἐν Ἀλεξανδρείᾳ δὲ ἐγένετό τι τοιοῦτον. ἐπίσκοπός τις εὐλαβὴς πάνυ πλησίον ἔχων φιλόσοφόν τινα Εὐάγριον καλούμενον, ἑταῖρον μὲν αὐτοῦ γενόμενον ἐν τοῖς παιδευτη-
15 *ρίοις, Ἕλληνα δὲ τὴν θρησκείαν, ὃν ὁ ἐπίσκοπος μεταθεῖναι βουλόμενος ἐκ τῆς εἰδωλομανίας πρὸς τὴν πίστιν τοῦ Χρι-*
574 M. *στοῦ συνεχῶς προσεκαλεῖτο καὶ διελέγετο. τοῦ δὲ μὴ πειθομένου, ἀλλὰ καὶ σφόδρα δυσχεραίνοντος, εἰπεῖν λέγεται ἐν μιᾷ πρὸς τὸν ἐπίσκοπον· ὄντως, κῦρι ὁ ἐπίσκοπος, μετὰ*
20 *πάντων καὶ τοῦτο ἀπαρέσκει μοι, ὃ λέγετε οἱ Χριστιανοί, ὅτι συντέλεια τοῦ κόσμου γίνεται καὶ τῶν σωμάτων ἀνά-*

12—*p.* 678, 15 Similia Johannes Moschus in Prato spirit. *cp.* 195. Migne Tom. 87, 3077.

4 *τὴν κατὰ θεὸν πίστιν καὶ ὑπόσχεσιν* RV. — 5 *ἐπαγγειλάμεθα* AB. — 12 *ἐγένετο δὲ ἐν ἀλεξ. τι τοιοῦτον* RV. — *τι*] *τοι* M *om.* BG. — 13 *τινὰ φιλόσοφον* ARV. — 15 *ὃν om.* P *ὁ om.* G. — *μεταθῆναι* LMPR *μετατεθῆναι* C. — 17 *παρεκαλεῖτο* A *προεκαλεῖτο* B. — 19 *κύρι* codd. *praeter* V.

11 *Alia sequuntur in* P *seorsim edenda.* — 12 *καὶ ἐν ἀλεξ. δὲ ἐπίσκοπός τις* P. — 14 *καλούμενον*] *ὀνόματι* P Moschus. — 16. 17 *πρὸς τὴν πίστιν συνεχῶς προσεκ. καὶ τὰ περὶ τῆς εἰς χριστὸν πίστεως διελέγετο* P. — 18 *δυσχερ. ὥστε καὶ εἰπεῖν αὐτὸν ἐν* P Mosch. — 21 *τῶν σωμάτων τούτων* P (*ἐν τούτῳ τῷ σώματι* Moschus).

στασις καὶ ἀνταπόδοσις τῶν βεβιωμένων, καὶ ὅτι ὁ ἐλεῶν πτωχὸν δανείζει θεῷ καὶ ἑκατονταπλασίονα μετὰ ζωῆς αἰωνίου ἀπολήψεται. ἅπερ ἅπαντά μοι χλεύη καὶ μῦθος τὰ λεγόμενα φαίνεται. καὶ τοῦ ἐπισκόπου διαβεβαιουμένου μηδὲν ψεῦδος ἢ χλεύην ἐν τοῖς τῶν χριστιανῶν εἶναι δόγμασιν, 5 ἀνεχώρει Εὐάγριος πολλὴν συζήτησιν ἐν ἑαυτῷ ἔχων. μετὰ δέ τινα χρόνον, θεοῦ συνεργοῦντος τῇ τοῦ ἐπισκόπου διδασκαλίᾳ, πιστεύσας ὁ φιλόσοφος ἐβαπτίσθη. ὃς αὐτίκα παρασχὼν τῷ ἐπισκόπῳ χρυσοῦ λίτρας τ΄ (ἦν γὰρ πλούσιος σφόδρα) λέγει· δέξαι ταῦτα, ὦ ἐπίσκοπε, καὶ διαδοὺς πτω- 10 χοῖς ποίησόν μοι ἰδιόχειρον, ὅτι λήψομαι αὐτὰ ἐκεῖ παρὰ τοῦ θεοῦ. τοῦ δὲ ταῦτα δεξαμένου προθύμως καὶ τὸ γράμμα ποιήσαντος, διένειμε πάντα τοῖς πένησιν. ἐπιζήσας οὖν χρόνους τινὰς ὁ φιλόσοφος ἐν εὐσεβείᾳ καὶ ἀρεταῖς μεγάλαις παρήγγειλε τοῖς ἑαυτοῦ τέκνοις τελευτῶν ἐνθεῖναι τὸν χάρ- 15 την ἐν τῇ χειρὶ αὐτοῦ καὶ οὕτω ταφῆναι. καὶ τούτου γενομένου, μετὰ τρίτην ἡμέραν ἐπιφαίνεται κατ' ὄναρ ὁ φιλόσοφος τῷ ἐπισκόπῳ λέγων· ἐλθὲ εἰς τὸν τάφον μου, ὦ ἐπίσκοπε, καὶ λάβε τὸ ἰδιόχειρόν σου. ἀπέλαβα γὰρ τὸ χρέος ἑκατονταπλασίονα καὶ οὐδένα λόγον ἔχω πρός σε, ἀλλὰ 20 πρὸς τελείαν πληροφορίαν σου ἰδιοχείρως ἐν αὐτῷ καθυπέγραψα. τοῦ δὲ ἐπισκόπου ἀγνοοῦντος ὅτι συνετάφη τῷ φιλοσόφῳ τὸ ἰδιόχειρον, πρωῒ μεταστέλλεται τοὺς υἱοὺς τοῦ φιλοσόφου, καὶ τοῦτο μαθὼν ἀπέρχεται πρὸς τὸν τάφον

2 *θεῷ δανίζει* GP. — 5 *δόγμασιν εἶναι* RV. — 6 *ζήτησιν* N. — *συζ. ἐν ἑαυτῷ ἔχων* ABP *συζ. ἔχων ἐν ἑαυτῷ* CEGLNV *ἔχων συζ. ἐν ἑαυτῷ* R. — 9 *χρυσίου* LMRV. — 10 *καὶ λέγει* CER in G *ante λέγει vocabulum erasum.* — *διαδιδοὺς* B *διάδος* C *διάδως* M. — 14 *τινὰ χρόνον* RV. — *ἀρετῇ μεγάλῃ* RV. — 16 *ἐν om.* RV. — 19 *ἀπέλαβον* LPRV *ἀπέλ^{α}* G. — 20 *ἀλλὰ καὶ πρὸς* LP.

5 *ψευδὲς* P. — *ἢ χλεύην om.* P. — 9 *χρυσοῦ νομίσματα λίτρας τ΄.* P. — 11—13 *παρὰ κυρίου. ὁ δὲ ταῦτα προθύμως δεξάμενος καὶ τὸ γράμμα ποιήσας* P. — 14 *ἐν εὐσεβείᾳ καὶ ἀγαθουργίᾳ παρ.* P. — 21 *ἐν ἑαυτῷ m. 1 corr. ex αὐτῷ* P.

μετὰ τῶν κληρικῶν τῆς πόλεως, καὶ τοῦτον ἀνοίξαντες εὑ-
575 M. ρίσκουσι τὸν φιλόσοφον καθήμενον καὶ τὴν χεῖρα μετὰ τοῦ
γράμματος προτείνοντα. τῶν δὲ κληρικῶν βουλομένων τὸν
χάρτην λαβεῖν, οὐδεὶς τοῦτον ἴσχυσεν ἀποσπάσαι τῆς χειρὸς
5 αὐτοῦ, ἕως ἂν ἦλθεν ἡ χεὶρ τοῦ ἐπισκόπου, καὶ παραχρῆμα
τὸν χάρτην ἐπιδοὺς ἀνέπεσε πάλιν. ὅνπερ ἀνοίξας ἐπὶ πάν-
των ὁ ἐπίσκοπος εὗρε νεωστὶ ὑπογεγραμμένον τῇ χειρὶ τοῦ
φιλοσόφου οὕτως· ἐγὼ Εὐάγριος φιλόσοφος σοὶ τῷ ὁσιωτάτῳ
ἐπισκόπῳ κυρίῳ μου χαίρειν. ἴσθι, πάτερ, ὡς ἔλαβον τὸ
10 χρέος ἑκατονταπλασίονα καὶ οὐδένα πρός σε λόγον ἔχω περὶ
τούτου. πάντων οὖν τῶν ἀκουσάντων ἀναγινωσκομένου τοῦ
χάρτου καταπλαγέντων σφόδρα καὶ ἐπὶ τρεῖς ὥρας τὸ κύριε
ἐλέησον κραζόντων καὶ τὸ δόξα τῷ θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ,
ἐκέλευσεν ὁ ἐπίσκοπος τὸ ἰδιόχειρον ἐν τῷ σκευοφυλακίῳ
15 τηρεῖσθαι.

Καὶ ἐν Καρταγένῃ δὲ τῇ πόλει τῆς Ἀφρικῆς ὑπῆρχε στρα-
τιώτης ἄσωτος λίαν, ὃς ἐκ λοιμικῆς νόσου τῆς πόλεως δια-
φθειρομένης ἐλθὼν εἰς κατάνυξιν καὶ τὴν πόλιν καταλείψας
ἰδίασε μετὰ τῆς γυναικὸς αὐτοῦ ἐν προαστείῳ· ἐν ᾧ πάλιν
20 ἐκ διαβολικῆς ἐνεργείας παραπεσὼν εἰς τὴν γυναῖκα τοῦ
γεωργοῦ καὶ οὕτως ἄφνω τελευτήσας θάπτεται πλησίον τοῦ

16—*p*. 683, 2 *cf*. Combefis Auctar. Biblioth. patrum graec. novissimum II, 324. Pseudo-Cyrill. Hom. de exitu animae. Migne Tom. 77, 1072. Byz. Zeitschr. Tom. V, *p*. 306.

7 ἐπιγεγραμμένον GV *et* recc. plerique (nonnulli γεγραμμένον). — 9 καὶ κυρίῳ μου BL μου καὶ κυρίῳ V ἐν κυρίῳ μου E ἐν κυρίῳ (*om*. μου) R. — 10 λόγον ἔχω πρός σε L πρός σε *om*. A. — περὶ τούτου ἔχω B περὶ τούτου *om*. V. — 11 πάντων ἀκουσάντων (*om*. οὖν τῶν) R τούτου δὲ γενομένου καὶ πάντων ἀκουσάντων V. — 14 σκευοφυλακείῳ AG *et* recc. quidam. — 16 Sequentia in cod. G ex Combefisianae narrationis exemplari interpolata. — καρταγέννῃ M καταργένῃ G καρθαγένῃ E καθαργένῃ R *et compendiose scriptum* B. — 21 καὶ *om*. CEG LNR. — οὗτος ER *et* B *m. 1 ut vid. corr. ex* οὕτως.

1 κληρικῶν καὶ λαϊκῶν τῆς π. P (Similia Moschus). — 7 ηὗρε P. — 7. 8 ὑπογεγρ. οὕτω χειρὶ τοῦ φιλ. ἐγὼ P.

προαστείου ἐν μοναστηρίῳ. τῇ οὖν ἐπαύριον τῶν μοναχῶν ψαλλόντων τὴν τρίτην ὥραν, φωνὴ γέγονεν ἐκ βάθους τοῦ τάφου, ἐλεήσατε, λέγουσα, δοῦλοι τοῦ θεοῦ, ἐλεήσατε. οἱ δὲ τοῦτον εὐθὺς ἀνοίξαντες εὗρον καθεζόμενον τὸν στρατιώτην καὶ κράζοντα, καὶ θᾶττον αὐτὸν ἀνελκύσαντες καὶ 5
τὰ δεσμὰ διαλύσαντες ἠρώτησαν τὴν αἰτίαν τοῦ τοιούτου θαύματος. ὁ δὲ παρακαλέσας αὐτοὺς ἀπενεγκεῖν αὐτὸν πρὸς 576 M.
τὸν ἐπίσκοπον Θαλάσσιον διηγήσατο αὐτῷ μετὰ πολλῶν δακρύων ἐπὶ πάντων οὕτως· ἐγὼ ὁ ταπεινὸς καὶ ταλαίπωρος, ὦ πάτερ, ἐν ἁμαρτίαις τελευτῶν ἐθεώρουν τινὰς Αἰθίοπας 10
ἑστῶτας πλησίον μου, ὧν καὶ αὐτὴ ἡ θεωρία μόνη χαλεπωτέρα πάσης ὑπάρχει κολάσεως, οὕστινας ὁρῶσα ἡ ἁμαρτωλὸς ψυχὴ ταράττεται σφόδρα πρὸς ἑαυτὴν καὶ συστέλλεται. παρισταμένων δέ μοι τῶν τοιούτων φοβερῶν Αἰθιόπων, θεωρῶ νεανίσκους δύο λευχειμονοῦντας καὶ εὐειδεῖς ἄγαν, οἵτινες 15
τὴν ψυχήν μου παραλαβόντες καὶ ἀπὸ τῆς γῆς αὐτίκα πρὸς οὐρανοὺς ἀνιπτάμενοι καὶ ἀναφερόμενοι, εὑρίσκομεν τελώνια τελώνια φυλάττοντα μετὰ πολλῆς ἀκριβείας τὴν ἄνοδον καὶ διακωλύοντα τὰς ἀνερχομένας ψυχὰς καὶ λογοθετοῦντα καθ' ἕκαστον τελώνιον τὴν οἰκείαν ἁμαρτίαν, τὸ μὲν τοῦ ψεύδους, 20

---

1. 2 *ψαλλόντων τῶν μοναχῶν* ABM. — 5 *αὐτὸν ἀνελκύσαντες* BP *ἀνελκύσαντες αὐτὸν* V *αὐτὸν om.* rell. — *ἑλκύσαντες* LM. — 7 *παρεκάλεσεν* V. — 7 *πρὸς* (*εἰς* B) *τὸν ἐπίσκοπον θαλάσσιον* ABP *πρὸς τὸν δοῦλον τοῦ θεοῦ θαλάσσιον τὸν ἐπίσκοπον* rell. Comb. — 8—9 *ὡς δὲ παρέστησαν αὐτὸν τῷ ἐπισκόπῳ παρεκάλεσεν αὐτὸν λέγων* (*τοῦτον ἐκεῖνοι προσήφερον* (sic) *κατὰ τὸν ἐκείνου λόγον εἰς τὸν ἐπίσκοπον. ὁ δὲ ἐπίσκοπος εἶπεν αὐτῷ* R) *διήγησαί μοι πάντα, ὅπως κἀγὼ δοξάσω τὸν θεόν* (*τὸν θεὸν δοξάσω* rell. quidam *τὸν ἅγιον add.* V). *ὁ δὲ διηγήσατο αὐτῷ πάντα μετὰ π. δακρύων λέγων οὕτως* RV. — 10 *ὦ om.* N. — 11 *μόνη ἡ θεωρία* GR. — 12 *ὑπάρχει* ABCEGLR Comb. *ὑπῆρχε* NPV. — *ἁμαρτωλὴ* MR. — 13 *μου ψυχὴ* MRV. — 15 *λευχημονοῦντας* GN *λευσχειμονοῦντας* (*λευσχημ.* B) BPR. — 17 *εὑρίσκωμεν* ACM *εὑρίσκοντο* V *εὕρισκον* R. — 18 *τελώνια om.* BGRV. — *τελώνεια* L *τελωνεία* P. — 20 *τελώνειον* L *τελωνεῖον* P.

4 *ηὗρον* P. — 17 *ὡς ἀνιπτάμενοι* P (*ὡσανεὶ πετόμενοι* Comb. *ὡς ἀετοὶ πετ.* G). — 20 *τοῦ μὲν* P.

τὸ δὲ τοῦ φθόνου, τὸ δὲ τῆς λοιδορίας, καὶ ἁπλῶς οὕτω καθεξῆς ἕκαστον πάθος ἰδίους τελωνάρχας ἔχει καὶ δικολόγους. ὑφ' ὧν κρατούμενος ἐθεώρουν τοὺς ὁδηγοῦντάς με νεανίσκους βαστάζοντας ὡς ἐν βαλαντίῳ τινὶ τὰς καλάς μου
5 πράξεις. ἀφ' οὗ λαμβάνοντες καὶ ἀντισταθμίζοντες τοῖς πονηροῖς ἔργοις μου, οἷς προσέφερον ἀκριβολογοῦντες οἱ πονηροὶ ζυγοστάται καὶ τῆς ἀεροπορίας ὁδοστάται, μόλις ἀπελυόμεθα. ἐκδαπανηθέντων οὖν πάντων μου τῶν ἀγαθῶν ἔργων, καὶ πρὸς τὴν πύλην ἤδη τοῦ οὐρανοῦ φθασάντων
10 ἡμῶν, ἐν ᾗ τὸ τελώνιον τῆς πορνείας ἦν, συσχεθεὶς ὑπὸ τῶν ζοφερῶν ἐκείνων Αἰθιόπων, προσέφερον πᾶσάν μου πορνείαν καὶ σωματικὴν ἁμαρτίαν, ἣν ἀπὸ δεκαετοῦς μου χρόνου τῆς ἡλικίας διεπραξάμην ὁ ἄθλιος. ἀπολογουμένων δὲ τῶν νεανίσκων ἐκείνων ὑπὲρ ἐμοῦ καὶ λεγόντων, ὅτι τὰ
15 ἐν τῇ πόλει ἁμαρτήματα συγκεχώρηται μετανοήσας, ἀλλά, φησὶν οἱ δεινοὶ κατήγοροι, μετανοήσας ἔπεσε πάλιν εἰς μοιχείαν ἔξω τῆς πόλεως καὶ οὕτως ἀπέθανεν. ὅπερ ἀκούσαντες οἱ ἄγγελοι ἀνεχώρησαν ἀφέντες με ὡς ἀναπολόγητον καὶ μηδὲν ἔργον ἀγαθὸν ἔχοντα, καὶ ἁρπάσαντές με χαί-
20 ροντες οἱ Αἰθίοπες ἐκεῖνοι καὶ τύπτοντες κατήγαγον εἰς τὴν
577 M. γῆν αὖθις, καὶ ταύτης διχασθείσης κατῆλθον διά τινων στενωπῶν καὶ σκοτεινῶν δυσωδεστάτων τε πάνυ καὶ φρικω-

---

2 ἰδίους — δικολόγους *om.* V. — διαλόγους BPR (φορολόγους Comb.). — 4 βαλλαντίῳ DV. — 7 ἀπολυόμεθα N *et* recc. quidam. — 11 ζοφερῶν] πονηρῶν AB. — 12 δωδεκαετοῦς C Comb. — μου *om.* RV. — 13 χρόνου τῆς ἡλικίας ABCELRV τῆς ἡλικίας χρόνου P χρόνου *om.* GN. — 16 φασὶν B. — 18 ὡς ἀναπολόγητον ABP ὡς *om.* rell. — 20 οἱ αἰθίοπες χαίροντες M χαίροντες *om.* RV. — κατήγαγον εἰς ABLPV κατ. με εἰς CEGN με κατ. εἰς R. — 21 διχασθήσης (-ις C) CM δικασθείσης R διασχισθείσης B. — 22 στενοπῶν AGLNPR στενῶν τόπων C Comb. — στενοπῶν σκοτεινῶν M σκοτεινῶν στενωπῶν B. — καὶ δυσωδ. πάνυ BR.

7 ἀεροπορείας P. — 10 τελωνεῖον P. — 11 ζοφ. αἰθιόπων ἐκείνων P. — 15 συγκεχώρησται P.

δεστάτων καταδύσεων μέχρι τῶν καταχθονίων ἐν τοῖς δεσμωτηρίοις τοῦ ᾅδου, ἔνθα εἰσὶν αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν ἀποκεκλεισμέναι εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος οὐδὲ ὁρᾶν ζωὴν βροτῶν, ὡς γέγραπται, ἀλλ' ὀδύνη καὶ θλίψις αἰώνιος καὶ 5 *ἀπαραμύθητος καὶ στεναγμὸς ἀσίγητος. ἕκαστος γὰρ τῶν ἐκεῖσε μνημονεύων τὰς πονηρὰς αὐτοῦ πράξεις καὶ ἐννοῶν πῶς ἀπολογήσεται τῷ ἀδεκάστῳ κριτῇ καὶ πῶς τὴν ἀπέραντον κόλασιν ὑποστήσεται, δεινῶς τῷ συνειδότι προβασανίζεται, καὶ πρὸς τούτοις ἀναλογιζόμενος τὸν ἀπὸ θεοῦ* 10 *χωρισμὸν καὶ τῆς δόξης τῶν ἁγίων αὐτοῦ καὶ τὴν μετὰ τοῦ διαβόλου καὶ τῶν δαιμόνων καταδίκην, ἄπαυστα καὶ ἀπαρηγόρητα λυπεῖται καὶ στενάζει. μεθ' ὧν γέ τοι κἀγὼ συγκατακλεισθεὶς καὶ πενθῶν ὁρῶ τοὺς δύο νεανίσκους ἐκείνους ἐλθόντας κἀκεῖσε πάλιν· οὓς δυσωπήσας ἐξαγαγεῖν* 15 *με τῆς φοβερᾶς ἐκείνης φυλακῆς τε καὶ ἀνάγκης, ὅπως μετανοήσω, φησὶ πρός με· μάτην παρακαλεῖς. οὐδεὶς γὰρ ἐξέρχεται τῶν ἐνταῦθα μέχρι τῆς κοινῆς ἀναστάσεως. ἐπιμένοντος δέ μου τῇ παρακλήσει καὶ λέγοντος· ἐλεήσατέ με· οὐ γὰρ ᾔδειν ὅτι ταῦτά μοι συμβήσεται, καὶ διὰ τοῦτο* 20 *γνησίως ἀπὸ τοῦ νῦν μετανοήσω καὶ γενήσομαι πρὸς ὠφέλειαν πολλῶν, εἰ πρὸς τὴν ἐπὶ γῆς ζωὴν αὖθις ἐπανήξω,*

---

3 Hiob 10, 21.

1 *καταχθονίων καὶ δεσμωτηρίων τοῦ ᾅδου* V *δεσμωτηρίων καὶ καταχθονίων τοῦ ᾅδου* L. — 3 *γνωφεράν* M *ζωφεράν* C Comb. *φοβεράν* V. — 4 *βροτῶν ζωήν* RV. — 13 *λυπεῖται καὶ om.* N. — 14 *τοὺς νεανίσκους τοὺς δύο εἰσελθόντας* (*om. ἐκείνους*) A. — 16 *φυλακῆς φοβερᾶς ἐκείνης τε καὶ* R *φυλακῆς τε καὶ om.* B. — 17 *καί φησι* G *φασὶ* B *καί φασι* R *εἶπον* V. — *μάτην παρακαλεῖς ἡμᾶς* B *μάτην ἡμᾶς παρακαλεῖς, μάτην δυσωπεῖς* V. — 19 *μου δὲ* M *μου om.* R. — 21 *μετανοήσω ἀπὸ τοῦ νῦν* A *ἀπὸ τοῦ νῦν om.* recc. quidam.

8 *ἀπολογήσηται* P. — 14 *ἐκείνους om.* P. — 17 *πρός με om.* P. — 20 *τοιαῦτα* P. — *συμβήσοντε m. 1 ut vid. corr. ex συμβήσετε* P.

δυσωπηθέντες οἱ [ἅγιοι] ἄγγελοι ἄγουσί με πρὸς τὸ σῶμα. καὶ τὴν μὲν ἰδίαν φύσιν τῆς ψυχῆς ἔβλεπον ὥσπερ μαργαρίτην ἀστράπτουσαν, τὸ δὲ σῶμα δυσῶδες καὶ ἠμαυρωμένον. ὅθεν δυσχεραίνοντός μου καὶ λέγοντος τοῦ μὴ 5 *εἰσελθεῖν ἐν αὐτῷ διὰ τὴν ζόφωσιν αὐτοῦ, προσηπείλησάν μοι λέγοντες· εἰ μὴ εἰσέρχῃ, πάλιν ἀποστρέφομέν σε πρὸς τὴν καταδίκην. οὐκοῦν εἴσελθε, ἵνα καὶ αὐτὸς σωθῇς καὶ ἄλλους ὠφελήσῃς, ὡς τῷ κυρίῳ ἔδοξεν. καὶ τότε διὰ τοῦ στόματος εἶδον ἐμαυτὸν εἰσελθόντα, καὶ τὸ σῶμα διαναστήσας* 10 *ἠρξάμην κράζειν· ἐλεήσατε. πάντων δὲ λίαν ὠφεληθέντων καὶ μᾶλλον φοβηθέντων ἐπὶ τῇ φοβερᾷ ταύτῃ διηγήσει, ἕκαστος τὰ ἑαυτοῦ ἐθρήνει πλημμελήματα, τὸν δὲ ἄνθρωπον βλέποντες καταπεπονημένον καὶ πολύδακρυν παρεκάλουν γεύσασθαι τροφῆς. ὁ δὲ παντελῶς οὐχ ὑπήκουσεν, ἀλλὰ* 578 M. 15 *ἀποταξάμενος αὐτοῖς διήρχετο τὰς ἐκκλησίας καὶ ῥίπτων ἑαυτὸν ἐπὶ τοῦ ἐδάφους ἐβόα μετὰ φωνῆς ἰσχυρᾶς καὶ δακρύων πολλῶν· οὐαὶ οὐαὶ τοῖς ἁμαρτάνουσιν ἀμετανόητα. ποία φοβερὰ κόλασις καὶ ἐξέτασις ἀκριβὴς αὐτοὺς περιμένει. ποιήσας οὖν οὕτως ἡμέρας μʹ νηστεύων καὶ ἀγρυπνῶν καὶ* 20 *κηρύσσων καὶ πολλοὺς ἐπιστρέφων πρὸς μετάνοιαν ἐτελεύ-*

1 *δυσωπ. τοίνυν οἱ* M *δυσωπ. οὖν οἱ* G *καὶ δυσωπ. οἱ* R. — *ἅγιοι om.* PRV. — 2 *ἰδίαν μὲν* C *μὲν om.* R. — 3 *ἀστράπτοντα* BM. — *δυσώδη* A *et ut vid. m. 1* D *δυσώδει* E *δυσσῶδες* B. — 4 *μου καὶ λέγοντος om.* GLN *μου om.* CE. — *τοῦ om.* RV *in μου mutavit m. 2* D. — 6 *εἰσέλθῃς* RV. — *ὑποστρέφομεν* (*-ωμεν* D) DR. — *πρὸς*] *εἰς* ABR. — 10 *κράζειν*] *λέγειν* RV. — 13 *πολύδακρυ* AELN. — 14 *γεύσθαι* G *δέξασθε* A (*cf. infra* P) *μεταλαβεῖν* B. — *ἀλλ'* CGLNR.

1 *πάλιν ἄγουσί με* P. — 4 *δυσχερ. μου καὶ παρακαλοῦντος μὴ πάλιν εἰσελθεῖν ἐν αὐτῶ, προσηπ.* P (*cf.* Comb.). — 6 *μοι om.* P. — 11 *sqq. φοβηθ. ἐπὶ τῇ παραδόξῳ αὐτοῦ ἀναστάσει καὶ ἐξηγήσει καὶ παρακαλούντων δέξασθαι τροφῆς οὐ κατεδέξατο παντάπασιν, ἀλλὰ περιερχόμενος τὰς ἐκκλησίας* P (*οὐ κατεδέξατο etiam* Comb.). — 15 *sqq. καὶ καταρρίπτων ἑαυτὸν ἐπὶ πρόσωπον εἰς τὴν γῆν ἐβόα μετὰ δακρύων· οὐαὶ τοῖς ἁμαρτ.* P (*Simile quid* Comb.). — 18 *κόλασις αὐτοῖς καὶ ἐξ. ἀκρ. περιμένει* P. — 19. 20 *νηστεύων καὶ κλαίων καὶ σωφρονίζων πάντας ἐτελ.* P.

τησεν ἐν κυρίῳ προγνοὺς τὸν ἑαυτοῦ θάνατον πρὸ ἡμερῶν ιβʹ.

Συμφωνεῖ δὲ τῷ θαύματι τούτῳ, λέγω δὴ τῷ περὶ τῶν ψυχῶν πρὸς τὴν τῶν οὐρανῶν ἄνοδον μετὰ τὴν ἐνθένδε μεταχώρησιν καὶ ὁ θεομύστης Χρυσόστομος διεξιὼν περὶ 5 τῶν κεκοιμημένων οὕτως· ταῦτα καὶ τὰ τούτων ἀπορρητότερα προθεωροῦντες οἱ τελευτῶντες οἱ μὲν ἐν τῇ κλίνῃ ταράσσονται φυγεῖν μὲν βουλόμενοι, μὴ δυνάμενοι δέ, οἱ δὲ τοὺς ὀδόντας βρύχουσιν, καὶ ἄλλοι τὰς σιαγόνας κόπτουσιν, καὶ ἕτεροι τοὺς ὀφθαλμοὺς ἐλεεινῶς περιστρέφουσι καὶ τὰς χεῖρας 10 συστέλλουσιν, κατὰ μικρὸν τῆς δυνάμεως τοῦ σώματος ληγούσης, καὶ τῆς γλώσσης δεινῶς φλεγομένης. ὁρῶσι γὰρ τότε τοὺς μὲν θείους ἀγγέλους φοβερῶς τε καὶ ὀξέως τὴν ψυχὴν ἀπαιτοῦντας, τοὺς δὲ πονηροὺς δαίμονας παρισταμένους καὶ λογοθετοῦντας καὶ κατηγοροῦντας εὐτόνως καὶ 15 ἁρπάσαι πρὸς ἑαυτοὺς ἐπιχειροῦντας, εἶτα καὶ τὸν κλέπτην αἰφνίδιον εἰσελθόντα καὶ τὴν ψυχὴν τοῦ σώματος ἀπορρήξαντα, πορεύεται μετὰ σκυθρωπότητος πολλῆς εἰς τόπους ξένους καὶ πάμπαν ἀγνοουμένους. πολλῶν οὖν ἡμῖν, ἀδελφοί, τότε δεῖ τῶν εὐχῶν, πολλῶν τῶν βοηθῶν, πολλῶν τῶν 20 ἀγαθῶν ἔργων, πολλῆς ἡμῖν τότε χρεία τῆς τῶν ἀγγέλων προστασίας, πολλῆς ἡμῖν τότε τῆς ἐν τῇ τοῦ ἀέρος ἀναβάσει χειραγωγίας καὶ συμμαχίας. εἰ γὰρ εἰς μακρὰν χώραν καὶ ξένην πόλιν ἐνταῦθα πορευόμενοι δεόμεθα τοῦ χειραγωγοῦντος καὶ ὁδηγοῦντος, πόσων ἡμῖν δεῖ τῶν βοηθῶν 25

---

6 Locum in Chrysostomi operibus editis non inveni. Similia habes in Ephraim. Syri Opp. Graec. *Tom.* III *p.* 262 F *sqq.*

3 περὶ τῶν BCP περὶ τῆς τῶν (περὶ ψηστῶν G) rell. — 3. 4 περὶ τῆς τῶν ψυχῶν πρὸς τὸν οὐρανὸν ἀνόδου? — 8 φεύγειν LV. — μὲν βουλόμενοι APV βουλόμενοι μέν CDEGL μὲν *om.* BR. — 13 ὀξέως] ἀξίως GR. — 18 ἥτις πορεύεται? — 21 τῶν ἁγίων ἀγγέλων BP. — 22 προστασίας] βοηθείας RV. — 25 πόσον AC ποίων R πόσῳ?.

21 ἡμῖν *om.* P

μᾶλλον καὶ χειραγωγῶν τοῦ διασῶσαι καὶ περᾶσαι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς ὁδοστάτας τοῦ ἀέρος καὶ δικολόγους, οὓς τελώνας καὶ φορολόγους ἡ θεία γραφὴ προσαγο-
579 M. ρεύει. διὸ δὴ προφθάσωμεν πρὸ τοῦ φθασθῆναι καὶ δρά-
5 μωμεν πρὸ τοῦ καταληφθῆναι. ὁ γὰρ βίος βραχύς, ἡ δὲ κρίσις μακρά, τὸ δὲ τέλος ἐγγύς, καὶ ὁ φόβος πολύς, καὶ ὁ λύων οὐδείς. ἐννόησον γὰρ πῶς εἰσιν αἱ ἐν ᾅδου ψυχαί, διότι κατεφρόνησαν τοῦ φόβου καὶ τῆς ἐντολῆς τοῦ θεοῦ, μικρᾶς ἀνέσεως παρακαλοῦσαι τυχεῖν καὶ μὴ τυγχάνουσαι,
10 ἀλλ' εἰς τὰ καταχθόνια τῆς γῆς θρηνοῦσαι τὰς ῥαθυμίας καὶ τὰς τρυφὰς καὶ τὰς πορνείας αὐτῶν καὶ τὰς λοιπὰς κακουργίας ἀνόνητα μετανοοῦσιν ἐφ' οἷς κακῶς διεπράξαντο καὶ πενθοῦσιν ἀπαρηγόρητα. διά τοι τοῦτο μάλιστα πάντες μακαρίζομεν τοὺς δικαίους καὶ τοὺς νηπίους ἀποθνήσκοντας,
15 ἐπειδὴ τὸ παρ' ἡμῖν τοῦ θανάτου ποτήριον ἐπικίνδυνον παρ' ἐκείνοις ἐστὶ σωτήριον, καὶ τὸ παρὰ πᾶσι φρικτὸν παρ' ἐκείνοις ἐπαινετόν, καὶ ὅπερ ἡμεῖς ἔχομεν εἰς ἐκεῖθεν ἀρχὴν τιμωρίας παρ' ἐκείνοις ἐστὶν ἀρχὴ σωτηρίας, μονονουχὶ λέγοντες· ἡμᾶς ἄγγελοι εἰρηνικῶς διεχώρισαν ἐκ τοῦ σώματος,
20 ἡμεῖς ἀλύπως καὶ ἀνεμποδίστως παρήλθομεν τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ ἀέρος ἀγαθοὺς ὁδηγοὺς ἔχοντες. οὐ γὰρ εὗρον ἐν ἡμῖν ἅπερ ἐζήτουν καὶ ἤλπιζον. εἶδον ἀμίαντον καὶ καθαρὸν τὸ σῶμα καὶ ᾐσχύνθησαν, εἶδον ἄφθορον καὶ λαμπρὰν τὴν ψυχὴν καὶ ἐνετράπησαν, εἶδον τὴν γλῶσσαν
25 ἄσπιλον καὶ ἄδολον καὶ ἐφιμώθησαν. παρήλθομεν καὶ εὐτελίσαμεν αὐτούς. διέβημεν δι' αὐτῶν καὶ κατεψάλλομεν αὐτῶν φάσκοντες· εὐλογητὸς κύριος ὃς οὐκ ἔδωκεν ἡμᾶς

---

27 Psalm. 123 (124), 6; 7.

7 ἐν ᾅδου αἱ B αἱ *om.* R. — 12 ἀνόητα A *et* V *m. 2 corr.* — 13 πάντες *om.* RV. — 15 ποτήριον (τὸ ποτ. C) τοῦ θανάτου CRV. — 17 εἰς ἐκεῖθεν ADEGPRV εἰς τὴν ἐκεῖθεν C τῆς ἐκεῖθεν L ἐκεῖθεν B.

19 ἄγγελοι *om.* P. — 22 ηὗρον P. — ἐν *om.* P.

εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. ὅθεν οὖν καὶ οἱ προσαπαντῶντες ἔχαιρον ἄγγελοι, δίκαιοι κατησπάζοντο, ὅσιοι συνετέρποντο λέγοντες· καλῶς ἦλθον οἱ φίλοι τοῦ Χριστοῦ καὶ τῶν αἰωνίων ἀγαθῶν κληρονόμοι. 5

Καὶ μέντοι καὶ ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος ἐν τῷ ἐπιταφίῳ τοῦ ἀδελφοῦ Καισαρίου φάσκει· πείθομαι σοφῶν λόγοις, ὅτι πᾶσα ψυχὴ καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν κα- 10 λοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος ἢ ἀποτεθέντος, ἢ οὐκ οἶδ' ὅτι καὶ λέγειν χρή, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυ- 580 M. τῆς δεσπότην ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, 15 ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα.

Ὁμοίως δὲ καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῷ βίῳ τοῦ ἁγίου Ἀντωνίου λέγει· μέλλων γάρ ποτε ἐσθίειν ὁ θεοφόρος Ἀντώνιος ἀναστὰς εἰς προσευχὴν περὶ ὥραν θ' ᾔσθετο ἑαυτὸν 20 ἁρπαγέντα τῇ διανοίᾳ, καὶ παραδόξως ἑστὼς ἔβλεπεν ἑαυτὸν ὥσπερ ἔξωθεν ἑαυτοῦ γενόμενον καὶ ὡς εἰς τὸν ἀέρα ποδηγούμενον ὑπό τινων, εἶτα πικροὺς καὶ δεινούς τινας ἑστῶτας

6—17 Gregor. Naz. Or. 7 *cp.* 21 Migne Tom. 35, 781. Eadem excerpsit Anastasius Sinait. Quaest. 21 Migne Tom. 89, 533. — 18—*p.* 686, 20 Athanasius Vita Antonii *cp.* 65 Migne Tom. 26, 933 C.

2 ὅθεν καὶ V ἐντεῦθεν καὶ R. — 7 καισαρείου CER. — 9 λυθῇ AB *quare* B *ante* ἐνθένδε *inserit* καί. — 11 γινομένη CRV. — ἐπισκοποῦντος BG. — ἢ ἀποτεθέντος *om.* B Anast. — 23 πικρούς τινας καὶ δεινοὺς ἐστ. B πικροὺς καὶ δεινοὺς ἐστ. ἰδών τινας R τινας *om.* A.

4 τοῦ *om.* P. — 18 ἁγίου] μεγάλου P. — 19 ποτε *post* προσευχὴν *v.* 20 *ins.* P.

ἐν τῷ ἀέρι καὶ θέλοντας αὐτὸν κωλύειν ὥστε μὴ διαβῆναι. τῶν δὲ ὁδηγούντων ἀντιμαχομένων, ἀπῄτουν ἐκεῖνοι λόγον, εἰ μὴ ὑπεύθυνος αὐτοῖς εἴη. βουλομένων τοίνυν συνᾶραι λόγον ἀπὸ τῆς γενέσεως αὐτοῦ, οὐ συνεχώρουν οἱ τὸν Ἀν- 5 *τώνιον ὁδηγοῦντες, τὰ μὲν ἀπὸ τῆς γενέσεως, λέγοντες, ὁ κύριος ἀπήλειψεν, ἀφ' οὗ δὲ γέγονε μοναχὸς καὶ τῷ θεῷ συνέθετο ποιεῖσθαι τὸν λόγον ἔξεστιν. καὶ δὴ τότε κατηγορούντων αὐτοῦ καὶ μὴ ἐλεγχόντων, ἐλεύθερος γέγονεν ἡ ὁδὸς αὐτῷ καὶ ἀκώλυτος. καὶ παραυτίκα εἶδεν ἑαυτὸν ὥσπερ* 10 *ἐρχόμενον εἰς ἑαυτόν, καὶ τοῦ μὲν φαγεῖν ἐπελάθετο, ἔμενε δὲ τὸ λοιπὸν τῆς ἡμέρας καὶ δι' ὅλης τῆς νυκτὸς εὐχόμενος καὶ στενάζων. ἐθαύμαζε γὰρ λογιζόμενος πρὸς ποίους ἡμῖν ἐστιν ἡ πάλη καὶ διὰ πόσων πόνων ἔχει τις διαβῆναι τὸν ἀέρα, καὶ ἐμνημόνευεν, ὅτι τοῦτό ἐστιν ὃ ἔλεγεν ὁ ἀπό-* 15 *στολος· κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος. ἐν τούτῳ γὰρ ὁ ἐχθρὸς ἔχει τὴν ἐξουσίαν ἐν τῷ μάχεσθαι καὶ πειρᾶσθαι διακωλύειν τοὺς διερχομένους. ὅθεν μάλιστα καὶ παρῄνει λέγων· ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, ὅπως μηδὲν* 20 *ἔχων ὁ ἐχθρὸς λέγειν περὶ ἡμῶν φαῦλον καταισχυνθῇ.*

Διὸ τοίνυν ἀνενδότως ἐπιμένωμεν τῇ ἀσκήσει γινώσκον-

15 Eph. 2, 2. — 18 Eph. 6, 13. — 19 Tit. 2, 8. — 21—*p*. 687, 13 Athanasius *ib*. *cp*. 18 *et* 19 Migne 869 C.

4 *γεννήσεως* E Ath. — 5 *γεννήσεως* BDE *γενέσεως αὐτοῦ* G (*γεννήσεως αὐτοῦ* Ath.). — 7 *ποιῆσαι* R Ath. — *τὸν om*. RV Ath. — 8 *ἐλευθέρα* PRV Ath. — 11 *τῆς ante νυκτὸς om*. AP. — 12.13 *ἐστὶν ἡμῖν* recc. quidam *ἡμῖν om*. E recc. rell. *ἐστιν om*. B. — 13 *διὰ πόσον πόνον* AB. — 14 *ἐμνημόνευεν* ABP Ath. *ἐμνημόνευσεν* rell. — 17 *καὶ παρῄνει* ABP Ath. *καὶ om*. rell. — 19 *ἐν τῇ ἡμέρᾳ* ABDGP Ath. *ἐν om*. rell.

2 *καὶ τῶν ὁδηγ*. P. — 4 *οὐ συνεχώρουν*] *διεκώλυον* P (*ἐκώλυον* Ath.). — 5 *ὁδηγοῦντες ἐκείνοις λέγοντες* P Ath. — *λέγοντες om*. P. — 9 *παρευθὺς* P (*εὐθὺς* Ath.). — 10 *εἰς ἑαυτὸν καὶ ἑστῶτα καὶ πάλιν ὁ αὐτὸς ἦν ἀντώνιος, καὶ τοῦ μὲν φαγεῖν ἐπιλαθόμενος ἔμενε τὸ λοιπὸν* P (*Eadem fere* Ath.). — 12 *γὰρ*] *δὲ* P. — 19 *ἐν τῇ πονηρᾷ ἡμέρᾳ* P.

τες ὅτι, ἐὰν μίαν ἡμέραν ἀμελήσωμεν, οὐ διὰ τὸν παρελθόντα χρόνον ἡμῖν συγχωρήσει, ἀλλὰ διὰ τὴν ἀμέλειαν καθ' 581 M. ἡμῶν ὁ θεὸς ἀγανακτήσει μᾶλλον. οὕτω γὰρ ἐν τῷ Ἰεζεκιὴλ ἠκούσαμεν. οὕτω καὶ Ἰούδας ἀπώλεσε διὰ νύκτα μίαν ὅλου τοῦ παρελθόντος χρόνου τὸν κάματον. οὐδὲ γὰρ ὁ ἐχθρὸς 5 ἡμῶν ἀμελεῖ τῆς καθ' ἡμῶν φροντίζων ἀπωλείας πάντοτε, κἂν ἀμελοῦντας ἡμᾶς εὑρήσει, σφοδροτέρως ἐπιτίθεται. εἰς δὲ τὸ μὴ ὀλιγωρεῖν ἡμᾶς καλὸν τὸ ἀποστολικὸν μελετᾶν ἀεὶ ῥητόν· καθ' ἡμέραν ἀποθνήσκω. ἂν γὰρ καὶ ἡμεῖς ὡς ἀποθνήσκοντες καθ' ἡμέραν οὕτω ζῶμεν, οὐχ ἁμαρτήσομεν. 10 ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον, ἵνα καθ' ἡμέραν ἐγειρόμενοι μὴ νομίζωμεν φθάνειν ἕως ἑσπέρας καὶ πάλιν κοιμᾶσθαι μέλλοντες μὴ ἐγείρεσθαι.

Μετὰ δέ γε ταῦτα διαλέξεως αὐτῷ ποτε γενομένης πρός τινα περὶ τῆς διαγωγῆς τῆς ψυχῆς, καὶ ποῖος μετὰ τὴν 15 ἐντεῦθεν ἀναχώρησιν ἔσται αὐτῇ τόπος, τῇ ἑξῆς νυκτὶ καλεῖ τις αὐτὸν ἄνωθεν λέγων· ἔξελθε, Ἀντώνιε, καὶ βλέπε. καὶ δὴ ἐξελθὼν καὶ ἀναβλέψας εἶδέ τινα μακρὸν τῷ εἴδει καὶ φοβερὸν ἑστῶτα καὶ φθάνοντα μέχρι τῶν νεφελῶν, ἀναβαίνοντας δέ τινας ὥσπερ ἐπτερωμένους, κἀκεῖνον ἐκτείνοντα 20 τὰς χεῖρας, καὶ τοὺς μὲν κωλυομένους παρ' αὐτοῦ, τοὺς δὲ ὑπεριπταμένους καὶ ἀμερίμνως λοιπὸν ἀναγομένους. καὶ

---

3 Ez. 3, 20; 18, 24; 33, 12. — 9 1. Cor. 15, 31. — 14—*p*. 688, 8 Athanasius *ib. cp*. 66 Migne 936.

7 εὑρήσῃ B εὕρῃ L. — 8 μελετᾶν ἀεὶ ABP ἀεὶ μελετᾶν rell. (ἀεὶ *om*. Ath.). — 9 καὶ ἡμεῖς ABP Ath. καὶ *om*. rell. — 10 ἁμαρτήσωμεν ACDGPR. — 14 δέ γε ABP γε *om*. rell. — 19 καὶ φθάν. μέχρι τ. νεφελῶν *om*. CR. — 22 ἀμερίμνους BCR.

2.3 ὁ θεὸς καθ' ἡμῶν P. — 3. ἐζεκιὴλ P. — 4 καὶ οὕτω ἰούδας P. — ὅλου *om*. P Ath. — 7 ἐπιτίθεται καὶ πολλῆς ῥαθυμίας καὶ καταφρονήσεως καὶ μέν γε καὶ ἀποπτώσεως τῶν προειργασμένων ἡμῖν ἀγαθῶν καὶ τῶν ἀποκειμένων γίνεται πρόξενος P. — 9.10 ὡς καθ' ἡμέραν ἀποθνήσκοντες P. — 15 τῶν ψυχῶν P. — 16 ἀναχώρησιν αὐτῶν ἔσται τόπος P. — 20 δέ] τε P (καὶ ἀναβαίν. Ath.). — 22 ὑπεριπτ. καὶ διελθόντας λοιπὸν ἀμερίμνως ἀνάγεσθαι P Ath.

ἐπὶ μὲν τοὺς τοιούτους ἔτριζε τοὺς ὀδόντας ὁ μακρὸς ἐκεῖνος, ἐπὶ δὲ τοῖς ἀποπίπτουσιν ἔχαιρεν. καὶ ἐγένετο φωνὴ λέγουσα· νόει τὸ βλεπόμενον, Ἀντώνιε. καὶ διανοιχθείσης αὐτοῦ τῆς διανοίας, ἔγνω τῶν ψυχῶν εἶναι τὴν πάροδον,
5 καὶ τὸν ἑστῶτα μακρὸν τὸν ἐχθρὸν τοῦ γένους ἡμῶν διάβολον, καὶ τοὺς μὲν ὑπευθύνους αὐτῷ κρατουμένους καὶ κωλυομένους διελθεῖν, τοὺς δὲ ἀνευθύνους μὴ δυνάμενον κατέχειν.

Διὰ δὴ τοῦτο καὶ ὁ μέγας καὶ πολύαθλος Εὐστράτιος
10 μέλλων καίπερ διὰ μαρτυρίου τελειοῦσθαι προσηύξατο λέγων· μεγαλύνων μεγαλυνῶ σε, κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπεί-
582 M. νωσίν μου καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν καὶ ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. καὶ νῦν σκεπασάτω με ἡ χείρ σου, καὶ ἔλθοι ἐπ᾽ ἐμὲ τὸ ἔλεός σου, ὅτι
15 τετάρακται ἡ ψυχή μου καὶ κατώδυνός ἐστιν ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ σώματος τούτου, μήποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βούλησις συναντήσῃ αὐτῇ καὶ παρεμποδίσῃ ἐν σκότει διὰ τὰς ἐν ἀγνοίᾳ ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας. ἵλεώς μοι γενοῦ, δέσποτα, καὶ μὴ ἰδέτω ἡ
20 ψυχή μου τὴν ἐξοφωμένην ὄψιν τῶν πονηρῶν δαιμόνων, ἀλλὰ παραλαβέτωσαν αὐτὴν ἄγγελοί σου φαιδροὶ καὶ φωτεινοί. δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα. ἐν τῷ κρίνεσθαί

9—*p*. 689, 2 Vita Eustratii *cp*. 32 Migne Tom. 116, 505 B.

3 ἀντώνιε *om*. L (*cf*. P). — 11 μεγαλυνῶ ABEGPR μεγαλύνω CDLV. — 12 ἐχθρὸν A ἐχθροῦ CE. — ἀλλ᾽ ἔσωσας BG. — 13 νῦν, δέσποτα, σκεπεσάτω BV Vita δέσποτα *m. 1 in mg*. G. — 17 βουλὴ BGLV Vita. — 19 ἵλεος CEG. — ἰδέτω (εἰδ. G) BGP Vita ἴδοι ELRV εἴδοι ACD. — 20 ζεξοφωμένην EG.

2 καὶ πρὸς τὸν ἀντώνιον εὐθέως ἐγένετο φωνὴ P Ath. — 3 ἀντώνιε *om*. P Ath. — 5 τὸν ἐχθρὸν τοῦ γένους ἡμῶν *om*. P. — 6 αὐτοῦ P. — 6—8 κρατοῦντα καὶ κωλύοντα διελθεῖν, τοὺς δὲ μὴ πεισθέντας αὐτῷ μὴ δυν. κατ. ἀλλ᾽ ὑπερβαίνοντας P Ath. — 11 ἐπὶ *om*. P Vita. — 21 περιλαβέτωσαν P.

με μὴ καταλάβῃ με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου εἰς τὸ κατασπάσαι με ὡς τὸν ἁμαρτωλὸν εἰς βυθὸν ᾅδου.

Τοιγάρτοι καὶ ὁ μέγας Κύριλλος ἐν τῇ καθολικῇ ἐπιστολῇ ταῦτα παραδηλῶν ἔφη· ὁ δὲ ἀρχάγγελος Μιχαήλ, ὅτε τῷ διαβόλῳ, φησίν, διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· ἐπιτιμήσαι σοι κύριος. βουλόμενος γὰρ παραστῆσαι τὴν ἐν τῷ ἀφανεῖ τοῦ διαβόλου κατὰ τῶν ἀνθρωπίνων ψυχῶν τυραννίδα, ἣν ἔσχεν ἐκ τῆς παραβάσεως Ἀδάμ, συνεχώρησεν αὐτῷ καὶ περὶ τὴν ταφὴν τοῦ σώματος Μωϋσέως ἀντιστῆναι, ἵνα μάθωμεν, ὅτι πρὸς τοὺς τόπους τῆς ἀναπαύσεως ὁ διάβολος μετὰ τῶν σὺν αὐτῷ πονηρῶν καὶ ἀποστατικῶν δυνάμεων εἴργει πορεύεσθαι τὰς ψυχὰς τῆς ἄνω πορείας. διὸ καὶ ἄγγελοι παραλαμβάνουσιν αὐτὰς ἐξιούσας ἀπὸ τοῦ σώματος.

Οὕτω δὲ καὶ Μαρτύριος Ἀντιοχείας ἐν τῇ αὐτῇ ἐπιστολῇ φησιν· ἐπειδὴ γὰρ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος χωριζομένης μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν εὐθὺς προσαπαντῶσιν αὐτῇ καὶ ἀγγελικαὶ δυνάμεις ἀγαθαὶ καὶ δαιμόνων στῖφος πονηροτάτων, ἵνα πρὸς τὴν ποιότητα τῶν ἔργων, ὧν ἔπραξεν, πονηρῶν τε καὶ ἀγαθῶν ἐπὶ τοὺς ἀξίους τόπους ἢ οὗτοι ἢ ἐκεῖνοι ταύτην ἀποκομίσωσι φυλαχθησομένην ἕως τῆς τελευταίας ἡμέρας, καθ' ἣν εἰς κρίσιν παρα-

---

3—15 Cyrilli e deperdito ut vid. commentario in Epist. Judae. — 4 Epist. Judae *v.* 9. — 16—*p.* 690, 14 Martyrii item e commentario in eandem epistulam, ut videtur.

2 *με ὡς τὸν* (*τῶν* A) ADP *με εἰς τὸν* E *με τὸν* rell. Vita. — 3 *ὁ μέγας κύριλλος*] *ὁ ἀπόστολος Ἰούδας* V. — 8 *τοῦ διαβόλου κατὰ τῶν scripsi e* P *κατὰ τοῦ διαβόλου περὶ τῶν* rell. — 11 *ὅτι καὶ πρὸς* P *et* recc. quidam. — 18 *ἐνθένδε* (*-δεν* B) ABP *ἐντεῦθεν* rell. — 20 *πονηροτάτων* CDEGP *et* recc. quidam *πονηρώτατων* (*sic*) A *πονηρότατον* BV *et* recc. alii.

2 *βόθρον* P. — *Sequitur in* P *similis oratio e vita quadam Philippi apostoli desumpta.* — 23 *τῆς om.* P.

583 M στησόμεθα πάντες, καὶ ἢ εἰς τὴν αἰώνιον ζωήν τε καὶ ἀνάπαυσιν, ἢ εἰς τὴν ἀπέραντον φλόγα τοῦ πυρὸς ἀπαχθησόμεθα. ὅπερ ὁ θεὸς βουλόμενος ὑποδεῖξαι διά τινος τύπου σωματικοῦ παρεσκεύασεν ἐν τῇ τοῦ Μωϋσέως τελευτῇ φανῆ-
5 ναι τὸν ἀρχάγγελον Μιχαὴλ διακρινόμενον περὶ τοῦ σώματος αὐτοῦ καὶ τὸν πονηρὸν ἀντιπράττοντα δαίμονα, καὶ τούτῳ τὸν Μιχαὴλ ἀγαθὸν ἄγγελον ὄντα προσυπαντῆσαι καὶ ἀποσοβῆσαι καὶ μὴ ἐξουσιαστικῶς ἐπιτιμῆσαι, ἀλλὰ τῷ κυρίῳ τῶν ὅλων παραχωρῆσαι τῆς κατ' ἐκείνου κρίσεως, ὅπως διὰ
10 τούτων μάθωμεν ὡς ἔστι τις ἀγωνία ταῖς ψυχαῖς μετὰ τὴν ἔξοδον, καὶ ὅτι χρὴ διὰ τῶν ἀγαθῶν ἔργων ἑτοιμάζεσθαι πρὸς τὸ τῆς ἀγγελικῆς ἡμᾶς ἐπιτυχεῖν συμμαχίας, τῶν δαιμόνων καθ' ἡμῶν ἐπιτριζόντων φθονερὸν καὶ πικρὸν εἰς ἅπαν.

15 *Λέγει* γοῦν καὶ ὁ μέγας ὁμολογητὴς Μάξιμος πρὸς Ἰωάννην κουβικουλάριον· τίς γάρ, ἀγαπητέ, τῶν κατ' ἐμὲ ῥύποις ἁμαρτημάτων κατεστιγμένος οὐ φοβεῖται τὴν τῶν ἁγίων ἀγγέλων ἐπιστασίαν, ὑφ' ὧν κατὰ θείαν ψῆφον τῆς παρούσης ζωῆς τὸ πέρας δεχόμενος βίᾳ τοῦ σώματος μετ'
20 ὀργῆς ἐξωθεῖται καὶ μὴ βουλόμενος; τίς κεκηλιδωμένην ἑαυτῷ συνεπιστάμενος τὴν συνείδησιν οὐ δέδοικε τὴν ὠμοτάτην τῶν πονηρῶν δαιμόνων καὶ βαρβαρώδη ὑπάντησιν, ἑκάστου τούτων κατὰ τὸν ἀέρα μετὰ τὴν ἔξοδον πρὸς ἑαυτὸν ἀφειδῶς τὴν ἀθλίαν ψυχὴν ἕλκοντος καὶ τῷ ἐλέγχῳ τῶν
25 αὐτῇ πεπραγμένων καταισχύνοντος καὶ πάσης ἐμποιοῦντος

15—*p.* 691, 18 Maximus Conf. Ep. 4 Migne Tom. 91, 416 A.

1 ἢ *om.* GP *et* recc. quidam. — 8 καὶ μὴ ἐξουσιαστικῶς ἐπιτιμῆσαι *om.* CR. — 9 διὰ τοῦτον A διὰ τούτου B. — 13 φθονερὸν καὶ πικρὸν ABP φθονερῶς καὶ πικρῶς rell. — 15 γοῦν ABDGP οὖν CERV. — καὶ ὁμολ. PR. — 18 ἁγίων *om.* BD. — 25 πᾶσις C πᾶσαν B.

1 εἰς τὴν ζωὴν τὴν αἰώνιον P. — 14 *Alia de eodem argumento ins.* P.

αὐτῇ τῆς ἐπὶ τοῖς μέλλουσιν ἀγαθῆς ἐλπίδος ἐλεεινὴν ἀπόγνωσιν; μετὰ δὲ τὴν γινομένην κατὰ τὸν ἀέρα πρὸς τὰ πνευματικὰ τῆς πονηρίας διάγνωσίν τε καὶ λογοθέτησιν ἡ πρὸς τὸν ᾅδην κατάπτωσις διαδέχεται καὶ παροίκησις, ἐν ᾧ σκότῳ βαθεῖ καὶ βαρυτάτῃ σιγῇ τροφὴν ἔχουσιν αἱ ἐκεῖσε 5 *καταδεδικασμέναι ψυχαὶ τοὺς δριμυτάτους στεναγμοὺς καὶ τὰ πικρότατα δάκρυα καὶ τὴν ἐπὶ τοῖς δεινοῖς κατήφειαν, ἐκδεχόμεναι διὰ παντὸς οὐδὲν ἄλλο ἢ μόνην τὴν ἐπὶ τῇ* 584 M. *θείᾳ ψήφῳ δικαίαν ἀνταπόδοσιν. ταύτην οὖν συνίστησιν αὐτοῖς τὴν ἄπαυστον λύπην καὶ ὀδύνην ἡ τῆς ἀναστάσεως* 10 *ἐλπίς, ἡ τῆς φοβερᾶς Χριστοῦ παρουσίας ἡμέρα, ἡ φρικωδεστάτη παράστασις καὶ περὶ τῶν βεβιωμένων πάντων ἀπολογία, καθ' ἣν οἱ μὲν ἐκ δεξιῶν τοῦ κριτοῦ σταθέντες λήψονται τῶν ἀπορρήτων ἀγαθῶν τὰς ἐπαγγελίας, οἱ δὲ τὴν ἀριστερὰν στάσιν λαχόντες τὸ πῦρ τὸ αἰώνιον καὶ τὸ ἐξώ-* 15 *τερον σκότος καὶ τὸν ἀκοίμητον σκώληκα τόν τε βρυγμὸν τῶν ὀδόντων καὶ τὸ διηνεκὲς δάκρυον καὶ τὴν ἀπέραντον αἰσχύνην τε καὶ κόλασιν.*

Ταῦτα δὴ ταῦτα προεννοοῦσαι καὶ διαλογιζόμεναι εἰκότως πενθοῦσι καὶ ἀποδύρονται ὡς κατακεκριμέναι καὶ ἀνα- 20 *πολόγητοι καὶ μηδὲ τοῦ σοφοῦ τὴν διδασκαλίαν ἀκούσαντες λέγοντος· πάντα, ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὅση σοι δύναμις ποίησον, ὅτι οὐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν ᾅδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ. ἐπείπερ οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ* 25

---

22 Eccl. 9, 10. — 24 Psalm. 6, 6.

1 τῆς] τοῖς AR. — ἀγαθῆς (ῆ *in lit.*) C ἀγαθοῖς B *et* recc. plerique Max. — 5 ἔχουσαι B *et* recc. quidam (διάγουσι — ἔχουσαι Max.). — 8 ἢ μόνην τὴν ἐπιτήμησιν· ἀψήφῳ δικαίαν ἀντ. C. — 9 θείᾳ ABP Max. δικαίᾳ rell. — 16 καὶ τὸν ἀκοίμητον σκώληκα ABPV Max. *om.* rell. — 22 ὅση δύναμίς σου ποίησον PR Eccl. — 25 σου] σοι EG. *In* D σου *m. 2 corr., ex* σοι *ut vid.*

7 τὴν ἐπὶ τούτοις δεινὴν κατήφειαν P (τὴν ἐπὶ τούτοις κατήφ. Max.). — 25 σου] φησίν P.

τίς ἐξομολογήσεταί σοι; καὶ γὰρ οὐκ ἔστιν ἐκεῖ ὁ μνημονεύων τοῦ θεοῦ καὶ μετ' εὐφροσύνης λέγων· ἐμνήσθην τοῦ θεοῦ καὶ ηὐφράνθην, οὔτε ὁ ἐξομολογούμενος καὶ σωζόμενος, διότι ἀπέκλεισε κύριος κατ' αὐτῶν πᾶσαν ὠφέλιμον 5 *ἐξομολόγησιν καὶ διόρθωσιν.*

Ὅθεν καὶ ὁ μακάριος Νεῖλος παρεγγυᾷ φάσκων· μνήσθητι δὲ καὶ τῆς ἐν τῷ ᾅδῃ καταστάσεως, καὶ λογίζου, πῶς ἄρα εἰσὶν ἐκεῖ νῦν αἱ ψυχαί, ἢ ἐν ποίᾳ πικροτάτῃ σιωπῇ, ἢ ἐν ποίῳ δεινοτάτῳ στεναγμῷ, ἡλίκῳ φόβῳ ἢ ἀγωνίᾳ ἢ 10 *τίνι προσδοκίᾳ τὴν ἄπαυστον ὀδύνην ἐκδεχόμεναι καὶ τὸ ψυχικὸν ἔχουσαι καὶ ἀπέραντον ἐκεῖνο δάκρυον.*

Οὐ μὴν δὲ ἀλλὰ καὶ Γρηγόριος ὁ κλεινὸς πάπας Ῥώμης ἐν τῷ πρὸς Πέτρον διαλόγῳ φησίν· εἰ γὰρ τὰς τῶν ἁγίων ψυχὰς ἐν οὐρανῷ πιστεύομεν εἶναι, πάντως καὶ τὰς 585 M. 15 *τῶν ἁμαρτωλῶν ἐν τῷ ᾅδῃ τυγχάνειν ἀδιστάκτως ὁμολογήσομεν. καὶ καθάπερ τοὺς ἁγίους ἡ μακαριότης ἐν οὐρανοῖς εὐφραίνει καὶ θυμηδίας ἀποπληροῖ διηνεκοῦς, οὕτω πιστεύειν χρὴ ὅτι τοὺς ἁμαρτωλοὺς ἐν ᾅδῃ λύπη καὶ στενοχωρία τε καὶ ὀδύνη συνέχει διὰ παντὸς ὥσπερ καμίνου φλὸξ τὰς* 20 *ψυχὰς αὐτῶν φλογίζουσα καὶ ἀποτηγανίζουσα οἷα δὴ καὶ τὸν κατὰ τὸν Λάζαρον πλούσιον.*

---

2 Psalm. 76 (77), 4. — 6 *Nili locum in editis eius operibus non inveni.* — 12—21 Gregor. Dial. IV, 20 Migne Patrol. lat. Tom. 77, 366.

1 *ἐκεῖ οὐκ ἔστιν* C *ἐκεῖ om.* DG. — 2 *μετ' εὐφροσύνης λέγων* ABP *λέγων μετ' εὐφροσύνης* rell. — 3 *εὐφράνθην* CDEG *et* recc. nonnulli. — *οὔτε ὁ ἐξομολ.* AP *ὁ om.* rell. — 4 *πᾶσαν ὠφέλιμον ἐξομολόγησιν* AP *πᾶσαν ἐξομ. ὠφέλιμον* B *ὠφέλιμον om.* rell. — 8 *ἄρα* BDG. — 9 *ἐν ποίῳ πικροτάτῳ στεναγμῷ* R *ἐν ποίῳ στεναγμῷ πικροτάτῳ* A. — 15 *ὁμολογήσωμεν* ADG *et* P *in quo o lit. ex ω fact.* *ὡμολογήσαμεν* R. — 17 *διηνεκοῦς* ABP *διηνεκῶς* rell. — 18 *λύπη τε καὶ στενοχωρία καὶ* PRV. — 20 *καὶ ἀποτηγανίζουσα om.* DGR *in mg. adscr.* E. — 21 *τὸν* (*τὴν* recc.

1 *σοι om.* P. — 6 *ὅθεν δὴ καὶ ὁ θεοφόρος νεῖλος* P. — 8 *ἢ*] *καὶ* P. — 14 *πιστεύομεν lit. ex πιστεύωμεν* P.

Ὅτι δέ γε τελευτῶν ἕκαστος αἴσθησίν τινα καὶ πληροφορίαν ἀπεντεῦθεν ἤδη λαμβάνει τῶν μελλόντων ὑπὲρ ὧν ἔπραξεν, φησὶν ὁ ἀποστολικὸς Διονύσιος ἐν τοῖς περὶ τῶν ἱερῶς κεκοιμημένων· ὅταν ἐπὶ τὸ πέρας ἔλθωσι τοῦ τῆδε βίου, τὴν εἰς ἀφθαρσίαν αὐτῶν ὁδὸν ὡς ἐγγυτέραν ἤδη 5 γεγυμνασμένην ἐμφανέστερον ὁρῶσι καὶ τὰς δωρεὰς τῆς θεαρχίας ὑμνοῦσι καὶ θείας ἡδονῆς ἀποπληροῦνται τὴν ἐπὶ τὰ χείρω τροπὴν οὐκέτι δεδοικότες, ἀλλ' εὖ εἰδότες ὅτι τὰ κτηθέντα καλὰ βεβαίως καὶ αἰωνίως ἕξουσιν. οἱ δὲ μολυσμὸν ἀνάπλεοι καὶ ἀνιέρων κηλίδων, εἴπερ ἱερᾶς τινος τετυ- 10 χήκασι μυήσεως, αὐτοὶ δὲ ταύτην ἐκ τοῦ οἰκείου νοὸς ὀλεθρίως ἀπορραπίσαντες ἐπὶ τὰς φθοροποιοὺς ηὐτομόλησαν ἐπιθυμίας, ὅταν ἐπὶ τὸ τέλος ἔρχωνται τῆς ἐνθάδε ζωῆς, οὐκέτι ὁμοίως αὐτοῖς εὐκαταφρόνητος φανεῖται τῶν θείων λογίων ἡ θεσμοθεσία, τὰς ὀλλυμένας δὲ τῶν οἰκείων παθῶν 15 ἡδονὰς ἑτέροις ὀφθαλμοῖς ἐπισκοπήσαντες καὶ τὴν ἱερὰν ζωήν, ἧς ἀνοήτως ἀποπεπτώκασιν, μακαρίσαντες ἐλεεινῶς καὶ ἀβουλήτως ἀποσχίζονται τοῦ τῆδε βίου πρὸς μηδεμίαν ἱερὰν ἐλπίδα χειραγωγούμενοι διὰ τὴν χειρίστην ζωήν. τούτων δὲ οὐδενὸς γινομένων κατὰ τὰς κοιμήσεις τῶν ἱερῶν 20 ἀνδρῶν, ἀφ' ὧν ὁ πρὸς τὸ πέρας ἐρχόμενος τῶν οἰκείων ἀγώνων εὐφροσύνης ἱερᾶς ἀποπληροῦται καὶ σὺν ἡδονῇ πολλῇ πρὸς τὴν ὁδὸν ἐπιβαίνει τῆς ἱερᾶς παλιγγενεσίας.

Ὅπερ οὖν καὶ ὁ θεῖος Διάδοχος δηλῶν φάσκει· ἐὰν οὖν

1—23 Dionys. Areop. de eccl. hierarch. VII, 2 (Migne Tom. 3, 553 D) *ex* Anastas. Sinait. Quaest. 21. Migne Tom. 89, 532. — 24—p. 694, 9 Diadochus de perfect. spirit. *cp.* 100 (*latine apud* Migne Tom. 65, 1211) *ex* Anastasio *ib.* Migne 533.

plerique τὰ AV) κατὰ τὸν λάζ. πλούσιον ADEGPRV τὸν κατὰ τὸν λ. καὶ τὸν πλ. B κατὰ τὸν λ. καὶ πλούσιον C. — 1 γε ABP γε καὶ rell. *om.* Anast. — 9 κτιθέντα A κτισθέντα R. — 13 ἔρχονται ACGP, *in quo* ἔρχωνται *m. correctoris.* — 18 ἀποσχίζονται (-ήζωνται A) ABP Dion. Anast. ἀποχωρίζονται rell. — 22 ἀποπληροῦνται R *et* P, *in quo* ν *eras.*

6 ἐμφανέστεραν P. — 14 θείων *om.* P Anast. — 15 ἰδίων P.

μὴ πρεπόντως μετανοήσωμεν καὶ περὶ τῶν ἁμαρτιῶν ἡμῶν
586 M. πάντων ἐξομολογησώμεθα, δειλίαν τινὰ ἄδηλον ἐν τῷ καιρῷ
τῆς ἐξόδου ἐν ἑαυτοῖς εὑρήσομεν. χρὴ δὲ ἡμᾶς εὔχεσθαι
τοὺς ἀγαπῶντας τὸν κύριον ἐκτὸς παντὸς εὑρίσκεσθαι τότε
5 φόβου· ὁ γὰρ ἐν φόβῳ εὑρισκόμενος εὔδηλον ὅτι πρὸς τοὺς
ταρταρίους ἄρχοντας ἀπελεύσεται. ἡ δὲ ἐν τῇ ἀγάπῃ τοῦ
θεοῦ ἀγαλλιωμένη ψυχὴ ἐν τῇ ὥρᾳ τῆς ἀναλύσεως ἐπάνω
τῶν σκοτεινῶν πάντων πράξεων εὑρισκομένη πρὸς τοὺς
ἀγγέλους τῆς εἰρήνης ἐπείγεται μετὰ χαρᾶς καὶ φέρεται.
10 Καί γε Νεῖλος αὖθις ὁ ἱερός φησιν· ὄντως φοβερὸν
τὸ τοῦ θανάτου μυστήριον, ὅτε τῶν ἀπαιτούντων τὴν ψυχὴν
ἐπιστασία φοβερὰ συνέχει φρίττουσαν αὐτὴν πρὸς τὴν ἔξο-
δον καὶ δείματα καὶ σχήματα φοβερώτατα, ὅτε δαίμονες
ὀνειδίζοντες τὴν ἁμαρτίαν καὶ πρὸς ἑαυτοὺς ἕλκουσιν ἀπει-
15 λοῦντες εἰς ἀμειδῆ καὶ σκυθρωπὰ χωρία, ὡς πρὸ τῆς βασά-
νου τὴν κατάπληξιν ἱκανὴν εἶναι πρὸς κόλασιν, ὅτε συνεί-
δησις ἐπιστρέφουσα πρὸς τὰ πεπλημμελημένα τρέμει τὴν
πρὸς ἀξίαν τῶν ἡμαρτημένων περιμένουσα κόλασιν. ἔνθεν
γὰρ ἱδρῶτι κεῖται τὸ σῶμα διάβροχον σημεῖα δεικνύον τοῦ
20 ἔνδον καμάτου καὶ τῆς ἀδήλου ταραχῆς τὰ δρώμενα παρέ-
χεται πρόδηλα τεκμήρια. ἐντεῦθεν καθάπερ οἱ τῶν πικρῶν
γευόμενοι φαρμάκων ἀποστύφουσι τῇ ἀηδίᾳ τὸ πρόσωπον,

10—21 Nilus Perister. VII, 1 Migne Tom. 79, 860 A *ex* Anast. *ib.* Migne 536. — 21—*p.* 695, 4 Nilus *ib.* IX, 2 Migne *ib* 865 *ex* Anast. *ib.*

2 ἐξομολογησόμεθα ABCDG. — 3 εὑρήσωμεν ACGR. — 8 πάντων ACDE *et* P *m. 1* Anast. πασῶν BR *et* P *m. 2 om.* GV. — 10 ὁ ἱερὸς αὖθις D αὖθις *om.* B. — 12 πρὸς τὴν ἔξοδον CP Nil. Anast. τὴν *om.* rell. — 14 καὶ *om.* B Anast. *sed exhibet etiam* Nilus. — 15 ἀμειδῆ ADGR *et* P *m. 2* Nil. Anast. ἀμηδῆ C *et* P *m. 1* ἃ μηδεῖ B ἃ μὴ δεῖ V ἀνηδῆ E. — 22 γευόμενοι A BP Nil. Anast. ἀπογευόμενοι rell. — ἀειδείᾳ E ἀδείᾳ A.

2 ἐξομολ. καὶ διορθωσώμεθα P. — 7 ἀναλύσεως *m. 2 ex* ἀλύσεως P. — 10 καί γε δὴ καὶ νεῖλος P. — 16 ἡ συνείδησις P Nil. Anast.

τῆς ψυχῆς πρὸς ἣν ἔσχεν ἐκ τῶν ὀφθέντων ἐκεῖ χαλεπῶν διάθεσιν τυπωσάσης τὸν χαρακτῆρα τῆς ὄψεως καὶ τῷ σχήματι τοῦ φαινομένου τὴν ἑαυτῆς φανερωσάσης κεκρυμμένην ἀνίαν.

Οὕτω γε μὴν καὶ ὁ Χρυσόστομος ἔφη πάλιν· οὐκ ἴστε 5 *πῶς ἐν τῇ τελευταίᾳ ἡμέρᾳ συστρέφει ψυχὴν ἁμαρτήματα, πῶς κάτωθεν τὴν καρδίαν ἀνακινεῖ; ὅθεν καὶ δείματα πολλῶν ἔστιν ἀκούειν τότε διηγουμένων καὶ ὄψεις φοβεράς, ὧν οὐδὲ τὴν θεωρίαν λοιπὸν φέροντες οἱ ἀπιόντες καὶ τὴν κλίνην αὐτὴν μετὰ πολλῆς τῆς ῥύμης τινάσσουσι καὶ φοβε-* 10 *ρὸν ἐνορῶσι τοῖς παροῦσιν, τῆς ψυχῆς ἔνδον ἑαυτῆς ὠθούσης καὶ μὴ θελούσης ἀπορραγῆναι τοῦ σώματος. εἰ γὰρ ἀνθρώπους φοβεροὺς ἐνορῶντες δεδιττόμεθα, ἀγγέλους ἀπειληφόρους καὶ δυνάμεις ἀποτόμους τῶν παραπεμπομένων βλέποντες τί οὐ πεισόμεθα, ἑλκομένης ἡμῶν ἀπὸ τοῦ σώ-* 15 587 M. *ματος καὶ χωριζομένης τῆς ψυχῆς καὶ πολλὰ ἀποδυρομένης εἰκῇ καὶ μάτην.*

Καὶ μέντοι καὶ ὁ μέγας Βασίλειος παραινεῖ λέγων· μὴ τοίνυν ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας, ἵνα μὴ ἐμπέσῃς εἰς ἣν οὐ προσδοκᾷς ἡμέραν, ἡνίκα μὲν ἀπολείπωσί σε αἱ τοῦ 20 *ζῆν ἀφορμαί, ἀπορία δὲ πάντοθεν καὶ θλίψις ἀπαραμύθη-*

5—17 Chrysost. Or. in Matthaeum 53 (54) *sub fin.* Migne Tom. 58, 532 *ex* Anast. *ib.* Migne *ib.* 533. — 18—*p.* 696, 23 Basil. Or. in baptism. *cp.* 7 *et* 8 Migne Tom. 31, 441 B.

1 *ἐκεῖ om.* DG. — 4 *ἀνοίαν* P *ἄνοιαν* R. — 5 *ὁ θεῖος χρυσόστ.* PV *et* recc. quidam. — 7 *κινεῖ* BM. — 11 *ἑαυτὴν* V Chr. (*sed ἑαυτῆς etiam* Anast.) *ἐν ἑαυτῇ* R. — 16 *καὶ πολλὰ ἀποδυρομένης om.* A. — *καὶ πολλὰ* BPV Chr. Anast. *καὶ om.* rell. — *ὀδυρομένης* BR. — 20 *ἀπολείπωσι* AENPR (*ἐπιλείπωσι* Bas.) *ἀπολίπωσι* B *ἀπολίπουσι* CLV *ἀπολίποσι* G.

5 *πάλιν εἰς τὴν κατὰ ματθαῖον ἑρμηνείαν* P (Anast.). — 10 *τινάσσουσιν οἱ κείμενοι* P Chr. Anast. — 12 *σώματος καὶ τὴν ὄψιν τῶν ἐρχομένων ἀγγέλων οὐ φερούσης* P Chr. Anast. — 19 *ἐμπέσῃς ποτὲ* P Bas. — 20 *σε λοιπὸν αἱ* P Bas.

τος, ἀπειρηκότων μὲν ἰατρῶν, ἀπειρηκότων δὲ τῶν οἰκείων, ὅτε πυκνῷ ἄσθματι καὶ ξηρῷ συνεχόμενος, πυρετοῦ λάβρου διακαίοντος τὰ ἔνδον καὶ ὑποσμύχοντος, στενάξεις μὲν ἀπὸ μέσης καρδίας, τὸν δὲ συλλυπούμενον οὐχ εὑρήσεις, καὶ
5 φθέγξῃ μέν τι λεπτὸν καὶ ἀδρανές, ὁ δὲ ἀκούων οὐκ ἔστιν, πᾶν δὲ τὸ λαλούμενον παρά σου ὡς παραφροσύνη καταφρονεῖται. μηδεὶς οὖν ἐξαπατάτω σε κενοῖς λόγοις καὶ ματαίοις. ἐπιστήσεται γάρ σοι αἰφνίδιος ὄλεθρος, καὶ ἡ καταστροφὴ ὁμοίως καταιγίδι παρέσται. ἥξει ἄγγελος κατη-
10 φὴς ἀπάγων βιαίως καὶ σύρων σου τὴν ψυχὴν δεδεμένην ταῖς ἁμαρτίαις πυκνὰ μεταστρεφομένην πρὸς τὰ ὧδε καὶ ὀδυρομένην ἄνευ φωνῆς, τοῦ ὀργάνου λοιπὸν τῶν θρήνων ἀποκλεισθέντος. ὢ πόσα σπαράξεις σεαυτόν. ὢ πόσα στενάξεις ἄπρακτα μετανοῶν ἐπὶ τοῖς κακῶς βουλευθεῖσι καὶ
15 πραχθεῖσιν. οἷα ἐρεῖς ἐν τῇ ὀδύνῃ τῆς καρδίας σου τότε· αἴ με μὴ ἀπορρίψαι τὸ βαρὺ τοῦτο φορτίον τῆς ἁμαρτίας· αἴ με τὰς κηλίδας μὴ ἀποπλύνασθαι. ὢ τῶν πονηρῶν βουλευμάτων καὶ συναλλαγμάτων. διὰ γὰρ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν αἰωνίως βασανίζομαι, διὰ σαρκὸς ἡδονὴν καὶ
20 πύρωσιν τῷ πυρὶ παραδίδομαι. δικαία ὄντως ἡ κρίσις τοῦ θεοῦ. ἐκαλούμην καὶ οὐχ ὑπήκουον, διεμαρτύραντό μοι, ἐγὼ δὲ κατεγέλων. ταῦτα καὶ τὰ τοιαῦτα πάντως ἐρεῖς ἀποκλαιόμενος σεαυτόν, ἐὰν προαναρπασθῇς τῆς μετανοίας.

7 Eph. 5, 6. — 8 1. Thess. 5, 3.

2. 3 *λάβρου διακ. τὰ ἔνδον καὶ ὑπο om.* CR *nisi quod* recc. quidam *τὰ ἔνδον post σμύχοντος add.* — 2 *λαύρου* ABGV. — 3 *ἀποσμύχοντος* P *et ut vid.* D, *in quo ὑ m. 2 ἀποσμίχοντος* M *σμύχοντος* RV *σμίχοντος* C. — 9 *ἥξει γὰρ ἄγγελος* CERV. — 10 *ἀπάγων σου βιαίως* AB. — 16 *αἴ με* (*αἴ corr. ex αἶ* G) ABGV *ἐμὲ* D *αἲ ἐμὲ* M *οὐαί μοι* R. — 17 *αἶ με — ἀποπλύνασθαι om.* R. — *αἴ* (*αἶ* A) *με* ABGV *ἐμὲ* D *αἲ ἐμὲ* M. — 18 *γὰρ om.* GM. — 21 *ὑπήκοον* LP *ὑπήκουσα* R. — 22 *κατεγέλουν* A *et* recc. plerique. — *πάντως om.* AR. — 23 *ἐὰν*] *ἂν* RV.

19 *αἰώνια* P (*ἀθάνατα* Bas.). — 21 *ἐκαλούμην γὰρ καὶ* P. — *ὑπηκ., ἐδιδασκόμην καὶ οὐ προσεῖχον, διεμ.* P Bas. — 23 *ἑαυτόν* P. — *Post μετανοίας* P *add.: ναὶ μὴν ὄντως νὺξ βαθεῖα*

Οὐκοῦν ἐλέησον σεαυτὸν καὶ λάβε δὴ εἰς ἔννοιαν τὴν ἐσχάτην ἐκείνην καὶ φρικωδεστάτην ἡμέραν τῆς ἐξόδου καὶ συνοχὴν καὶ πνιγμὸν καὶ ψυχορραγίας ὥραν καὶ ἀπόφασιν θεοῦ κατεπείγουσαν καὶ ἀγγέλους ἐπισπεύδοντας καὶ ψυχὴν ἐν τούτοις δεινῶς θορυβουμένην καὶ ἰλιγγιῶσαν καὶ τρέμου- 5 σαν σφόδρα καὶ ἀποροῦσαν καὶ ἀνόνητα μετανοοῦσαν, ὅταν ὄφελος οὐδέν.

[*κδ΄. Περὶ Κώνσταντος.*]

Μετὰ δὲ Κωνσταντῖνον ἐβασίλευσε Κώνστας υἱὸς αὐτοῦ 588 M. *ἔτη κζ΄. ἐφ' οὗ μέγας ἄνεμος καὶ ῥαγδαῖος πνεύσας πολλὰ* 10 *μὲν δένδρα καὶ παμμεγέθη πρόρριζον ἀνέσπασεν, πολλοὺς δὲ καὶ στύλους κιονιτῶν μοναχῶν κατέβαλεν. καὶ ὁ τῶν* 591 M. *Σαρακηνῶν ἀρχηγὸς καὶ ψευδοπροφήτης Μουχούμεδ ἐκ μιᾶς φυλῆς γενικωτάτης Ἰσμαὴλ υἱοῦ Ἀβραὰμ καταγόμενος ἀνεφύη. Νίζαρος γὰρ ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος πατὴρ αὐτῶν* 15

1—7 Basilii, sed locum in operibus editis non inveni. — 12—*p.* 699, 10 *cf.* Theoph. *p.* 333, 14.

1 *ἑαυτὸν* BP. — 3 *ψυχοραγίας* AGN. — 5 *εἰλιγγιῶσαν* GP *ἠλιγγιῶσαν* C. — *Post v.* 7 *sequitur in* V *narratio de Heraclonae regno.* — 11 *πρόρριζον scr. e coni. πρόριζον* N *προρριζῶν* BR *et* P *m. 1 προριζῶν* AEG *πρὸ ῥιζῶν* C *et* P *m. 2 πρόριζα* V (*πρόρριζα* Theoph.). — 12 *δὲ καὶ om.* M *καὶ om.* ABR. — 12—*p.* 699, 10 excerpsit Constantinus Porphyr. de admin. imp. *cp.* 14. — 13 *μουχούμετ* BEV (*ἀρχὴ τοῦ μουχουμέτη mg.* C) *μωάμεθ* R *et sic fere deinceps.*

τότε καὶ νόσος βαρεῖα καὶ ὁ βοηθῶν οὐκ ἔστιν. εἶτα περιβλεψάμενος ὧδε καὶ ὧδε καὶ ἰδὼν τὴν περιεστῶσάν σε δεινὴν ἐρημίαν, τότε αἰσθήσῃ τῆς ἀβουλίας καὶ στενάξεις τὴν ἄνοιαν, εἰς οἷον καιρὸν ἐλεεινὸν καὶ χαλεπὸν ἐταμίευες τὴν μετάνοιαν, ὅτε ἡ μὲν γλῶσσα παρεῖται, ἡ δὲ χεὶρ ὑπότρομος κλονουμένη ταῖς συνολκαῖς ὡς μήτε φωνῇ μήτε γράμματι διασημάναι τὴν βίαν καὶ τὴν ἀνάγκην. — 6 *ἀνόνητα μεταν. καὶ θρηνοῦσάν τε καὶ δακρύουσαν* (*m. 2 corr. ex δακρύον*) *πολλάκις καὶ πρὸς τὰ τῇδε ἐλεεινῶς ἐπιστρέφουσαν καὶ τὴν ἀπαραίτητον τῆς μακρᾶς ἐκείνης καὶ ἀνεπιστρόφου ἀποδημίας ἀνάγκην* P. — 14 *ἀβραὰμ m. 2 ex ἀβρὰμ* P. — *κακῶς ἀνεφύη* P. — 15 *τοῦ om.* P.

ἀναγορεύεται πάντων. οὗτος οὖν γεννᾷ υἱοὺς δύο Μούδαρον καὶ Ῥαβίαν, ὁ δὲ Μούδαρος τίκτει Κούσαρον καὶ Κάϊσον καὶ Θεμίμην καὶ Ἄσαδον καὶ ἄλλους τινὰς ἀνωνύμους, οἳ τὴν Μαδιανῖτιν ἔρημον κληρωσάμενοι ἐκτηνο-
5 *τρόφουν ἐν σκηναῖς κατοικοῦντες. εἰσὶ δὲ καὶ ἐνδότεροι τούτων οὐκ ἐκ τῆς φυλῆς αὐτῶν, ἀλλὰ τοῦ Ἰεκτάν, οἱ λεγόμενοι Ὁμηρῖται, τοῦτ' ἔστιν Ἀμμανῖται. ἀπόρου δὲ ὄντος τοῦ προμνημονευθέντος Μουχούμεδ συνέβη μισθωτεῦσαι αὐτὸν γυναικὶ πλουσίᾳ καὶ συγγενίδι αὐτοῦ καλουμένῃ*
10 *Χαδιγᾷ πρὸς τὸ καμηλεύειν καὶ πραγματεύεσθαι μετὰ τῶν ὁμοφύλων αὐτοῦ ἐν Αἰγύπτῳ καὶ Παλαιστίνῃ. εἶτα κατὰ μικρὸν παρρησιασάμενος καὶ ὑπελθὼν τῇ γυναικὶ χήρᾳ οὔσῃ λαμβάνει αὐτὴν εἰς γυναῖκα. καὶ δὴ ἐπιχωριάζων ἐν Παλαιστίνῃ καὶ συναναστρεφόμενος Ἰουδαίοις τε καὶ Χριστια-*
592 M. 15 *νοῖς ἐθηρᾶτο λόγους καὶ γραφικάς τινας ῥήσεις. εἶχε δὲ τὸ πάθος τῆς ἐπιληψίας. ἡ οὖν γυνὴ αὐτοῦ διὰ τοῦτο ἐλυπεῖτο σφόδρα ὡς περιφανὴς καὶ πλουσία καὶ τοιούτῳ ἀνδρὶ συναφθεῖσα οὐ μόνον ἀπόρῳ, ἀλλὰ καὶ ἐπιληπτικῷ. ἣν τροπωσάμενος ἔφασκεν ὅτι· φοβερὰν ὀπτασίαν ἀγγέλου*
20 *θεωρῶ Γαβριὴλ ὀνόματι, καὶ μὴ ὑποφέρων αὐτοῦ τὴν*

---

2 *ἀραβίαν* AR. — 3 *κάϊσον* GNP Theoph. *κάϊτον* ACELVR *καϊτὸν* B. — *θεμήμην* AM *θεμίτην* R *θέμιτην* B. — 4 *μαδιανίτιν m. 2* D *μαδιανήτιν* A *μαδιανίτην* BCDEGLPV *μανίτην* R *μάδιαν τὴν* M. — 6 *ἰεκτᾶν* B *ἱεκτάν* M *ἰέκτάν* L. — 10 *χαδιγᾶ* CE *χαδιγὰ* AGLP *χαδηγὰ* N *χαδδᾶ* B *διγὰν* V *διγᾶν* R. — 15 *λόγους τινὰς* AB. — *τινας ante ῥήσεις om.* A. — *ἔσχε* E Theoph. — *δὲ καὶ τὸ* BLV.

1 *ἀπαγορεύεται ut vid. m. 1* P *προσαγορεύεται m. 2.* — 2 *κούρασον* P Theoph. — 4 *οἳ καὶ τὴν* P Const. — 7. 8 *ὄντος καὶ ὀρφανοῦ τοῦ προειρημένου μ.* P Const. Theoph. — 8. 9 *μ. ἔδοξεν αὐτῷ μισθωτεῦσαι γυν. τινι πλ. καὶ συγγενῆ αὐτοῦ* P Const. (*Similia* Theoph.). — 11 *αὐτοῦ om.* P Const. — 15—17 *ἔχων δὲ τὸ π. τῆς ἐπιλ. ἐλυπεῖτο σφ. ἡ γυνὴ αὐτοῦ ὡς περιφ.* P Const. — 18 *ἀνδρὶ om.* P Theoph. — 19 *ἣν καὶ τροπ. φάσκων* (*om. δὲ p.* 699, 1) P Const.

θεωρίαν ὀλιγωρῶ καὶ πίπτω. ἐπιστεύθη δὲ συμψευδομαρτυροῦντος αὐτῷ Ἀρειανοῦ τινος μοναχοῦ ψευδωνύμου δι' αἰσχροκέρδειαν τοῦ καὶ τελείως ἀπατήσαντος αὐτόν. καὶ οὕτως ἡ γυνὴ πλανηθεῖσα καὶ ἄλλαις γυναιξὶ συντυχοῦσα ὁμοφύλοις αὐτῆς ἐκήρυξε προφήτην αὐτὸν εἶναι. προῆλθε 5 δὲ τὸ ψεῦδος τῆς ἀπάτης καὶ εἰς ἄνδρα φύλαρχον τοὔνομα Βουβάχαρ. ἡ οὖν γυνὴ θανοῦσα τοῦτον διάδοχον καὶ κληρονόμον κατέλιπεν. ἐκ τούτου οὖν ἐγένετο περιφανὴς ἄγαν ὡς περιούσιος, καὶ κατέσχεν ἡ πονηρὰ πλάνη καὶ αἵρεσις αὐτοῦ τὰ μέρη τῆς Ἐθρίβου. 10

Οὗτος ὁ θεομισὴς καὶ παλαμναῖος περιτυχὼν Ἑβραίοις

11—*p.* 702, 9 Michaelis Syncelli teste cod. P (*cf.* not.).

1. 2 αὐτῷ συμψευδ. C αὐτῷ *om.* P. — 1 σὺν ψευδομ. D ψευδομαρτυροῦντος B L. — 3 αἰσχροκερδίαν (ἐσχρ. M) ELN αἰσχροκέρδιαν G. — 6 τῆς ἀπάτης καὶ *om.* B καὶ *om.* A. — 8 κατέλειπεν CGN κατέστησεν B. — 9. 10 καὶ ἡ αἵρεσις V *et* recc. quidam. — 10 ἐθρίβοῦ C ἐθρήβου A αἰθρίβου ELM.

1 θεωρίαν] θέαν P Const. Theoph. — 3 τοῦ καὶ τελ. ἀπατ. αὐτόν *om.* P Const. Theoph. — 4 γυναιξὶν ὁμοφ. κηρύξασα πρ. αὐτὸν εἶναι προῆλθε τὸ ψ. P Const. — 7. 8 θαν. καὶ τοῦτον διάδ. καὶ κληρ. καταλείψασα τῶν ἑαυτῆς ἐγένετο P Const. — 9 ὡς] καὶ P. — πλάνη τε καὶ P Const. — 10 *Post* ἐθρίβου P *Theophanem secutus haec addit:* ἐδίδαξε γὰρ οὗτος ὁ παράφρων καὶ πεφενακισμένος τοὺς αὐτῷ πειθομένους, ὅτι ὁ φονεύων ἐχθρὸν ἢ ὑπὸ ἐχθροῦ φονευόμενος εἰς τὸν παράδεισον εἰσέρχεται, τὸν δὲ παράδεισον σαρκικῆς βρώσεως καὶ πόσεως καὶ μίξεως γυναικῶν ἔσεσθαι. ποταμὸν οἴνου καὶ μέλιτος καὶ γάλακτος ἐν αὐτῷ διαρκεῖν ὁ σαρκόφρων καὶ φιλήδονος ἐμυθεύσατο. (ἐδίδαξε — εἰσέρχεται καὶ ἄλλα ὅσα φλυαρεῖ Const.). — 11—*p.* 702, 9 *post p.* 706, 17 *ins.* P, *qui sic incipit:* Περὶ ὧν μέντοι γε καὶ μιχαὴλ ὁ μακάριος καὶ σύγκελλος τῆς ἁγίας πόλεως ἔφη δι' ἐπιτομῆς τοιάδε· ἰσμαηλῖται οἱ καὶ ἀγαρηνοὶ καὶ σαρακηνοὶ ἀπὸ ἰσμαὴλ τοῦ ἐκ τῆς ἄγαρ τεχθέντος τῷ ἀβραὰμ καὶ ὡς ἐκ τῆς σάρρας κενοὺς διὰ τὸ εἰρῆσθαι ὑπὸ τῆς ἄγαρ τῷ ἀγγέλῳ· σάρρα κενήν με ἀπέλυσεν. οὗτοι μὲν ἕως ἡρακλείου τοῦ βασιλέως προφανῶς εἰδωλολάτρουν προσκυνοῦντες τῷ ἑωσφόρῳ τῇ καὶ ἀφροδίτῃ, ἣν δὴ καὶ κουβὰρ τῇ ἑαυτῶν ἐπωνόμασαν γλώσσῃ, ὅ ἐστι μεγάλη. ἀπὸ δὲ ἡρακλείου καὶ δεῦρο ψευδοπροφήτης αὐτοῖς ἀνεφύη μουχούμεδ λεγόμενος, ὃς περιτυχὼν κτλ.

καὶ Χριστιανοῖς δῆθεν Ἀρειανοῖς καὶ Νεστοριανοῖς καὶ πανταχόθεν ἐρανισάμενος, ἐξ Ἰουδαίων μὲν μοναρχίαν, ἐξ Ἀρειανῶν δὲ λόγον καὶ πνεῦμα κτιστά, ἀπὸ δὲ Νεστοριανῶν ἀνθρωπολατρείαν, ἑαυτῷ θρησκείαν περιποιεῖται, καὶ προ-
5 φάσει θεογνωσίας εἰσποιησάμενος τὸ ἔθνος ἐδίδαξεν αὐτοὺς περιτέμνεσθαι καὶ ἄνδρας καὶ γυναῖκας, καὶ ἕνα μόνον
593 M. προσκυνεῖν θεόν, τὸν δὲ Χριστὸν τιμᾶν ὡς λόγον τοῦ θεοῦ μέν, οὐχ υἱὸν δέ, ἀλλ' ὡς ἐκ πνεύματος ἁγίου γεγενημένον, λόγον δὲ καὶ πνεῦμα προφορικὸν καὶ εἰς ἀέρα χεόμενον
10 ὑπονοεῖν, οὐκ ἐνυπόστατα οὐδὲ τῷ γεννήτορι ὁμοούσια, τὴν δὲ ἁγίαν παρθένον Μαρίαν μὴ λέγειν θεοτόκον, ἀλλὰ τὴν Ἀαρὼν καὶ Μωσέως ἀδελφὴν ὑπολαμβάνειν εἶναι, μήτε δὲ βαπτίζεσθαι μήτε σαββατίζειν αὐτοὺς ἐδίδαξεν, μήτε τοῖς νομικοῖς ἢ εὐαγγελικοῖς ἔθεσιν ἐπακολουθεῖν, ἀλλὰ βδελύτ-
15 τεσθαι τὸν σταυρὸν καὶ τὴν σκιὰν ἐσταυρῶσθαι τοῦ Χριστοῦ ὁμολογεῖν. παρηγγυήσατο δὲ αὐτοῖς καθόλου τῶν τῷ νόμῳ ἀπηγορευμένων μετασχεῖν πλὴν ὑείων κρεῶν, οἶνον δὲ παντάπασιν μὴ χρᾶσθαι. τοιοῦτόν τι μυθευσάμενος ἑαυτὸν κλειδοῦχόν φησι γεγενῆσθαι τοῦ παραδείσου, διόπερ κατὰ τὴν
20 ἡμέραν τῆς κρίσεως μετὰ τὸ παραστῆναι τὸν Μωϋσέα σὺν τοῖς Ἰσραηλίταις καὶ ὡς παραβάτας τοῦ νόμου τῇ κολάσει τοῦ πυρὸς παραδοθῆναι, αὖθίς τε τὸν Ἰησοῦν παραστῆναι καὶ ἀρνήσασθαι ἔμπροσθεν τοῦ θεοῦ ὅτι· οὐκ ἐλάλησα

---

3 πνεύματα AC *et* recc. quidam. — 8 οὐ χριστὸν δέ GN. — γεγεννημένον BCL *et* recc. quidam τετιμημένον A. — 12. 13 μήτε βαπτίζεσθαι M μηδὲ βαπτ. CEL *et* recc. quidam μὴ βαπτ. recc. rell. — 13 μηδὲ σαββατίζειν CELRV. — μήτε τοῖς BP μηδὲ τοῖς AR μήτε δὲ τοῖς rell. — 15 τοῦ χριστοῦ ἐσταυρῶσθαι N. — 16 παρεγγυήσατο AMR. — καθόλου ABLP καὶ καθόλου rell. — 17 ὑείων BNRV ὑειῶν L υἱων A υἱῶν CGP ὑῶν E. — οἴνου P οἴνῳ BRV. — 20 μωσέα AB. — 22 τοῦ πυρὸς *om.* AM.

4 ἀντεπεποίηται P. — 6 καὶ ἄνδρας καὶ γυναῖκας *om.* P. — 7 τὸν θεόν P. — 10 ὁμοούσιον P. — 11 τὴν θεοτόκον P. — 12 μωϋσέως P. — 18. 19 ἑαυτὸν γάρ φησι κλειδ. γεγ. (*om.* τοιοῦτόν τι μυθ.) P. — 21 ἱερακλήταις P. — 22 ἐκδοθῆναι P.

ἑαυτὸν εἶναι υἱὸν θεοῦ· τοὺς δὲ Χριστιανοὺς ὡς τοιοῦτον τολμήσαντας προστρῖψαι τῷ Χριστῷ ὄνομα καὶ θεὸν αὐτὸν καὶ υἱὸν θεοῦ καὶ λόγον σεσαρκωμένον καὶ σταυρωθέντα δογματίσαντας τῇ τοῦ πυρὸς γεέννῃ παραδοθῆναι, εἶτα ἑαυτόν φησιν ὑπὸ θεοῦ κεκλῆσθαι μάλα θεοσεβῆ καὶ 5 τοῦ παντὸς αὐτῶν ἔθνους αἰτίῳ θεοσεβείας ὑπάρξαντι ἐπαινεῖσθαι καὶ τούτου χάριν τοῦ παραδείσου κλειδοῦχον χρηματίσαι. καί γε μετὰ τὸ ὑπ' αὐτοῦ τὸν παράδεισον ἀνεῳχθῆναι συνεισελθεῖν αὐτῷ πάντως καὶ ἀναντιρρήτως ο' χιλιάδας φησὶ τοὺς δυναμένους ἀφορμῆσαι πρὸς τοῦτο, τοὺς δὲ λοιποὺς 10 κριθήσεσθαι φάσκει, καὶ τοὺς μὲν δικαίους ἀναμφιβόλως τῆς τρυφῆς ἀπολαῦσαι, τοὺς δὲ εὑρισκομένους ἁμαρτωλοὺς πιττάκια ἐν τοῖς τραχήλοις περιέχοντας δεδεμένα εἰς τὸν παράδεισον καὶ αὐτοὺς εἰσελθεῖν, καὶ τούτους ἐπονομάζεσθαι ἀπελευθέρους τοῦ θεοῦ καὶ τοῦ Μουχούμεδ. εἶναι δὲ τρεῖς 15 ποταμοὺς ἐν τῷ παραδείσῳ φησίν, ἕνα μέλιτος καὶ ἄλλον 594 M. γάλακτος καὶ ἕτερον οἴνου πρὸς τὸ ἐπ' ἐξουσίας ἔχειν ἕκαστον ὅθεν βούλεται μετέχειν καὶ ἐμπιπλᾶσθαι. τὰς δὲ γυναῖκας αὐτοῖς συνεῖναι καὶ φιλοκαλεῖν αὐτῶν τὰς κόμας καὶ παντοίως θεραπεύειν αὐτῶν τὰ φιλήδονα σώματά φησιν 20 ὁ σαρκόφρων καὶ ἐμπαθὴς καὶ δοῦλος τῆς ἁμαρτίας. τοὺς δὲ Ἰουδαίους καὶ Χριστιανοὺς ξύλα τοῦ πυρὸς γενομένους ὑπολειφθῆναι, τοὺς Σαμαρείτας ἔφη πρὸς τὸ τὰ ἐκφόρια

---

1 τοιοῦτόν τι ABV. — 5 ὑπὸ θεοῦ ABMPR ὑπὸ τοῦ θεοῦ rell. — 6 αὐτῶν EP αὐτὸν ABCDGLV αὐτοῦ R om. M. — αἴτιον — ὑπάρξαντα ABR. — 10 ἐφορμῆσαι ABR. — 14 καὶ αὐτοὺς εἰσελθεῖν BP εἰσελθεῖν καὶ αὐτοὺς A αὐτοὺς εἰσελθεῖν rell. — 15 μεχούμεδ hic N. — 17 καὶ om. N. — ἐπεξουσίας GLN ἐπεξουσίως (ἐπ' ἐξ. R) RV. — ἔχει EG. — 18 ἐμπιπλάσθαι GM ἐμπίπλασθαι BD. — 20. 21 ὁ σαρκόφρων φησὶν L φησιν om. R. — 23 τοῖς σαμαρείταις V. ὑπολειφθῆναι ἔφη τούς τε σαμ. πρὸς? — πρὸς τὸ τὰ APV et m. 2 D τὸ om. rell.

1 υἱὸν] χριστὸν P. — 16 ἄλλον] ἕνα P. — 21 καὶ ἐμπαθὴς — ἁμαρτίας om. P. — 22 δὲ] μέντοι P.

καὶ τὴν κόπρον αὐτῶν τοῦ παραδείσου ἀποβάλλειν, ὅπως ἂν μὴ ἐποζέσειεν ὁ παράδεισος, ἕκαστον δὲ ὡς ἂν ἐνταῦθα βιώσειεν εἴτε ἐν πλούτῳ εἴτε ἐν πενίᾳ καὶ ἀδοξίᾳ τὸν αὐτὸν ἐκεῖσε τρόπον διάγειν. οὗτος οὖν ὁ θεοστυγὴς καὶ ἐμβρόν-
5 τητος πρὸς τούτοις παντὸς ἀγαθοῦ καὶ πονηροῦ τὸν θεὸν αἴτιον ὑπάρχειν ἐτερατολόγησε καὶ τοὺς λῃστὰς καὶ φαρμακοὺς καὶ ὅσους ἐὰν ἀπηγορευμέναις ἁλόντας πράξεσιν ἀναιρουμένους ἴδοιεν, οὕτω φασὶν ἔγραψεν ὁ θεὸς καὶ προώρισε γενέσθαι καὶ οὕτως ἀποθανεῖν αὐτοὺς ἠβουλήθη.

10 Ἀγάσαιτο δ' ἄν τις μάλα δὴ οὖν εἰκότως τὴν τοσαύτην καὶ τηλικαύτην ἰσχύν τε καὶ διαρκῆ τῆς ἀπάτης τοῦ θεομάχου καὶ ματαιόφρονος, μᾶλλον δὲ ἐσχάτην παράνοιάν τε καὶ κτηνωδίαν τῶν μέχρι νῦν τῇ τούτου πλάνῃ δεδουλωμένων καὶ ὡς ἰσχυρὰν θρησκείαν καὶ θείαν ταύτην ἀφρόνως
15 ἡγουμένων. πρὸς γὰρ τὴν ὄντως ἀληθῆ τε καὶ ἱερὰν καὶ θεοβράβευτον πίστιν ἐναργῶς ἀποτυφλώττουσιν οἱ ἐσκοτισμένοι καὶ ἀσύνετοι, πρὸς δὲ τὴν ψευδώνυμον λατρείαν καὶ πλαστολογίαν τοῦ φένακος προσέχουσιν οἱ δείλαιοι καὶ βαρυκάρδιοι, καὶ πρὸς μὲν τοὺς ὕθλους καὶ λήρους καὶ
20 βεβήλους κενοφωνίας οἱ χαιρεσίκακοι καταθέλγονται, πρὸς δὲ τοὺς θεοπαρόχους καὶ σωτηριώδεις λόγους οὐδὲ τὴν ἀκοὴν ὑποθεῖναι τὸ παράπαν ἀνέχονται. τὸν γὰρ ὄντως
595 M. ὄντα θεὸν τὸν διὰ νόμου καὶ προφητῶν ἐκδήλως κηρυττό-

1 ἀποβάλειν B ἀποβαλεῖν L. — 6 φαρμάκους AGMP *et* recc. quidam. — 7 ὅσαις RV. — ἂν ἀπαγορ. LMRV ἐναπαγορ. B. — ἁλόντας πρ. EV ἁλῶντας πρ. CD ἀλῶντας πρ. ABGP ἁλῶνται πρ. R ἁλόντας πράξεις M ἁλῶν τὰς πράξεις L. — 19 καὶ *ante* πρὸς *om.* RV.

4 ἐμβρόντητος] λαοπλάνος P. — 9 καὶ ἄλλα τινὰ παραληροῦντες βλασφημοῦσιν οἱ ἐξάγιστοι καὶ μανιώδεις *add.* P. — 11 τοῦδε τοῦ θεομάχου P. — 12 δὲ τὴν ἐσχάτην P. — 17 ἀσύνετοι. οὐδὲ γὰρ ἔγνωσαν οὐδὲ συνῆκαν ὡς ἐν σκότει τῆς περὶ τῶν κρειττόνων ἀγνωσίας διὰ παντὸς πορευόμενοι P. — 18 πλαστολογίαν λύσσαν τε καὶ πρόδηλον ἐρεσχελίαν τοῦ θεοστυγοῦς ἀπερισκέπτως καὶ ῥιψοκινδύνως προσέχουσιν ἀνοηταίνοντες οἱ δείλαιοι P. — 21 οὐδὲ — 22 ἀνέχονται *om.* P.

μενόν τε καὶ πιστευόμενον ἀπωθούμενοι καὶ καταψηφιζόμενοι τὸν ἀντίθεον καὶ μεμηνότα καὶ φανερῶς ὑπὸ τῶν ἐρινύων ἐνεργούμενον καὶ φθεγγόμενον οἱ κακόφρονες καὶ λυσσώδεις ἐρασμίως καὶ γεγηθότως προσίενται.

Ποία γὰρ θεόπνευστος γραφὴ περὶ τοῦ δυσσεβοῦς καὶ 5 *παραπαίοντος Μουχούμεδ προδιεστείλατο; ἢ ποῖος θεσπέσιος αὐτὸν προφήτης ὡς διδάσκαλον εὐσεβείας προανήγγειλεν; οὐκοῦν εἰπάτωσαν οἱ ἀμέτοχοι πάσης ἱερᾶς ἐπιπνοίας καὶ μυήσεως, πῶς τοὺς ἀπὸ Ἀδὰμ καὶ μέχρι τῆς Χριστοῦ παρουσίας προφήτας ἀσμένως δῆθεν ἀποδεχόμενοι τὸν μὲν ὑπ'* 10 *αὐτῶν διαρρήδην προαναφωνούμενον Χριστὸν καὶ θεὸν ἐξαρνοῦνται, τὸν δὲ κάκιστον καὶ μοχθηρὸν καὶ μηδὲ τὸ σύνολον πρὸς αὐτῶν ὀνομαζόμενον ἢ προσημαινόμενον ὡς θεομύστην καὶ ἐξοχώτατον καὶ ἀληθεστάτης πίστεως διδάσκαλον ἀποδέχονται καὶ ὡς εὐεργέτην ἐκθειάζουσιν οἱ ἀνό-* 15 *σιοι καὶ δυσώνυμοι ἢ μᾶλλον εἰπεῖν ἀνώνυμοι. ἀνακρινέτωσαν δὲ οἱ ἀδιάκριτοι καὶ μανιώδεις καὶ τὰ ὑπ' αὐτοῦ δυσσεβῶς καὶ μανιωδῶς ῥηθέντα ληρήματα, καὶ λεγέτωσαν, ποίαν συμφωνίαν ἔχουσι πρὸς τὰ θεοπαράδοτα λόγια. ὁ μὲν γὰρ θεῖος λόγος ἀναφανδὸν ἐκδιδάσκει καὶ διαπρυσίως* 20 *χρησμῳδεῖ σαφέστατα τὸν θεὸν ἀναίτιον ὑπάρχειν παντὸς κακοῦ, καὶ τὸν ἄνθρωπον αὐτεξούσιον εἶναι τῆς ἑαυτοῦ σωτηρίας καὶ ἀπωλείας, ὁ δὲ τρισάθλιος καὶ τρισκατάρατος καὶ*

---

3 *ἐρηνύων* A *ἐριννύων* BLR. — 6. 7 *θεσπέσιος αὐτῶν προφήτης* V *αὐτὸν* (*αὐτῶν* R) *θεσπ. προφ.* BR. — 13 *πρὸς αὐτὸν* BCGMRV. — 18 *ληρήματα om.* N. — 21 *ἀναίτιον ὑπάρχειν* ABP *ὑπάρχειν ἀναίτιον* rell. — 22 *εἶναι αὐτεξούσιον τῆς ἑαυτ. σωτ.* R *αὐτεξ. τῆς ἑαυτ. σωτ. εἶναι* P.

1 *ἀπωθούμενοί τε καὶ* P. — 2 *μεμηνότα καὶ ὄντως δαιμονιώδη καὶ φαν.* P. — 3 *ἐνεργούμενόν τε καὶ* P. — *κακόφρονές τε καὶ σκοτεινοχαρεῖς καὶ λυσσώδεις* P. — 4 *Alia eiusmodi add.* P. — 8 *εἰπάτωσαν οἱ ἐμβρόντητοι καὶ βέβηλοι καὶ ἀμέτ.* P. — 12 *μοχθηρόν τε καὶ αἴσχιστον μὴ τὸ σύνολον* P. — 14. 15 *πίστεως εἰσηγητὴν ἀσπασίως ἀποδέχ. φενακιζόμενοι καὶ ὡς* P. — 16 *Post ἀνώνυμοι alia quaedam add.* P.

τοῦ θεοῦ καὶ τῶν ἀνθρώπων ἄσπονδος ἐχθρὸς ἐκ σκαιοτέρου καὶ λαοπλάνου δαίμονος ἐνηχούμενος καὶ ἐνεργούμενος καὶ μέντοι ἐξ ἀκολάστου γλώσσης καὶ γνώμης ἀγνώμονος φθεγγόμενος παντὸς ἀγαθοῦ καὶ πονηροῦ τὸν θεὸν
5 *αἴτιον τολμηρῶς τερατεύεται, καὶ πᾶν ὅπερ ἂν ἐπέλθῃ τῷ ἀνθρώπῳ, κἄν τε ἐξ ἐπηρείας τοῦ πονηροῦ κἄν τε ἐξ οἰκείας ῥαθυμίας καὶ ἀδιακρισίας, τῆς θείας τοῦτο προνοίας τυγχάνειν ὁ ἀλιτήριος ἀποφαίνεται. καὶ ὁ μὲν περιφρονεῖν πλούτου καὶ ταπεινοφρονεῖν καὶ τὸν ἐνήδονον βίον ἀπο-*
10 *σείεσθαι καὶ μὴ ἀνταποδοῦναι κακὸν ἀντὶ κακοῦ παρακε-*
596 M. *λεύεται, ὁ δὲ πλουτεῖν καὶ ὑψηλοφρονεῖν καὶ πᾶσαν ἡδονὴν ἐκ περιουσίας ἀσπάζεσθαι καὶ ἀντεπεξιέναι σφόδρα τοῖς ἀντιπίπτουσιν ὡς ψυχικὸν σωτήριον καὶ τοῦ παραδείσου πρόξενον.*

15 *Ἀλλ' ὢ τῆς ἀπονοίας καὶ παραπληξίας καὶ χλεύης τοῦ γόητος καὶ παλαμναίου καὶ τῆς παραφροσύνης καὶ ἀπωλείας τῶν παρ' αὐτοῦ δεινῶς ἐξανδραποδισθέντων καὶ μέχρι δεῦρο παρασυρομένων καὶ ἀπατωμένων. οὐδὲ γὰρ συνιοῦσι πάμπαν οἱ ἄγαν μοχθηροὶ καὶ θηριώδεις καὶ λίαν ἀσύνετοι,*
20 *εἰς οἷον χαλεπὸν καὶ ζοφερὸν χάος καὶ σατανικὴν χάρυβδιν κατηκοντίσθησαν καὶ τέλεον κατεπόθησαν, καὶ εἰς οἵους ἀφύκτους καὶ ἀδιεξοδεύτους λαβυρίνθους καὶ δυσβάτους*

---

3 *ἐξ* AP *καὶ ἐξ* rell. — 5 *ἀπέλθῃ* G *ἐπανέλθῃ* P. — 7 *προνοίας τυγχάνειν* CEGLNP *τυγχάνειν προνοίας* ABRV. — 8 *ἀλητήριος* CEGLMP *et* D *lit. corr.* — *ἀποφθέγγεται* AB. — 9 *πλοῦτον* GMPV. — 18 *συνίουσι* B *συνιῶσι* A. — 20 *χάρυβδην* ACGP *χαρύβδην* DL *χαρίβδην* M. — 21 *τέλειον* EL. — 22 *ἀφίκτους* BM.

2 *ἐνηχούμενός τε καὶ* P. — 8 *ἀλητήριος καὶ σκοτεινόνους ἀποφαίνεται, κἀντεῦθεν ζωῆς ὅρους ἀκραδάντους καὶ ἀμετακινήτους ἑκάστου ἀνθρώπου καὶ τρόπους θανάτου φάσκων ἐπ' ἀναιρέσει τοῦ αὐτεξουσίου τολμηρᾷ ψυχῇ καὶ θεομάχῳ γλώσσῃ τοῦτο διαβεβαιοῦται καθάπερ καὶ ἐν ταῖς λοιπαῖς αὐτοῦ βλασφημίαις* P. — 14 *Alia quaedam add.* P. — 16 *γόητός τε καὶ* P. — 18 *Post ἀπατωμένων alia ins.* P. — 20 *ζοφερὸν εἴλιγγόν τε καὶ εὔριπον καὶ σατ. χάρ.* P.

ἀτραποὺς καὶ ψυχοφθόρους φενακισθέντες ἐλεεινῶς ἐξεκυλίσθησαν καὶ συνεσχέθησαν ὑποφθαρέντες εἰς τέλος. διὸ τοίνυν καὶ θαυμάζειν λίαν ἔπεισί μοι τὴν τοσαύτην ἀλογίαν καὶ ἀναισθησίαν αὐτῶν, καίπερ οἰομένους ἐντρεχεστάτους ἑαυτοὺς εἶναι καὶ λογιωτάτους, πῶς οὐ κατανοοῦσι τῆς 5 *κενῆς ἀπάτης αὐτῶν τὸν ὄλισθον. ἔδει γὰρ ἔδει τοὺς ὄντως ἄφρονας καὶ βοσκηματώδεις ἐπιγνῶναι κἂν τὸν περὶ τῆς ἀναστάσεως αὐτῶν πρόδηλον καὶ μυσαρὸν βρόχον, ὅτι περ, εἰ διὰ βρώσεως καὶ πόσεως αἰσθητῆς τε καὶ φθαρτῆς ἕξουσι τηνικαῦτα τὴν ζωήν, ἀνάγκη πάλιν καὶ φθορᾷ δου-* 10 *λεύειν καὶ θνήσκειν κατὰ τὸν τῆς ἀκολουθίας λόγον. ἀμήχανον γὰρ τὸν φθαρτῆς βρώσεως καὶ πόσεως ἐν μετουσίᾳ τυγχάνοντα ἄφθαρτον καθόλου καὶ ἀθάνατον διαμεῖναι. καὶ πότε λοιπὸν καὶ ποῦ τὴν ἀποκαραδοκουμένην ζωὴν αἰώνιον καὶ ἀκήρατον τοῖς πιστοῖς κατὰ τὰς θείας γραφὰς οἱ θνητοὶ* 15 *ψυχῇ καὶ σώματι τεύξονται;*

Καὶ πρὸς τούτοις ἴστωσαν οἱ ἀλόγιστοι καὶ τάλανες, ὡς οὐδέπω μέχρι καὶ τήμερον τῆς παλαιᾶς αὐτῶν καὶ ἀθέου πλάνης ἀπηλλάγησαν, ἀλλ' ἐν προσχήματι θεοσεβείας εἰδωλολατροῦσι λεληθότως καὶ τὸν ἐγκεκρυμμένον τῇ θρησκείᾳ 20 *αὐτῶν δόλον τοῦ ἀρχεκάκου δαίμονος οὐδ' ὅλως οἱ ἀνού-* 597 M. *στατοι καὶ ἀπόπληκτοι ἐπιγινώσκουσιν. πάλαι μὲν γὰρ*

---

1 *ἀτραπεῖς* D *ἀπρεπεῖς* R. — 3 *καὶ θαυμάζειν* ABPV *καὶ* *om.* rell. — *λίαν*] *εἰς τέλος* *repetit* C *om.* A. — *τοσαύτην*] *τε* N. — 4 *ἐντρεχ. ἑαυτοὺς* CELP *ἐντρεχ. αὐτοὺς* V *ἐντρεχ. αὐτοὺς* ABGR *αὐτοὺς ἐντρεχ.* M *αὐτοὺς ἐντρεχ. ἑαυτοὺς* (*expuncto* *αὐτοὺς*) D. — 6 *γὰρ*] *οὖν* N. — 7 *ὄντας* LMV. — *βοσκημένους* (*βοσκειμ.* M) *τοῦ ἐπιγνῶναι* N. — *κἂν*] *καὶ* AB. — 9 *εἰ* *om.* CELR. — 12 *τὸν τῆς φθαρτῆς* recc. quidam *τὸν φθαρτὸν* (*τῶν -ῶν* A) *τῆς* AC. — 13. 14 *καὶ πότε λοιπὸν καὶ ποῦ* AP *καὶ ποῦ καὶ πότε λοιπὸν* V *καὶ πότε καὶ ποῦ λοιπὸν* CGLNR *καὶ πότε λοιπὸν* *om.* B. — 20 *τῆς θρησκείας* BC. — 22 *γὰρ* *om.* RV.

5 *καὶ λογιωτάτους* *om.* P. — 6 *αὐτῶν καὶ ψυχοφθόρου τὸν ὄλ.* P. — 7 *βοσκ. καὶ πρὸς γῆν ἰλυσπομένους καὶ μηδὲν πλέον τῶν ἀλόγων ζώων συναισθανομένους ἐπιγνῶναι* P.

εἰδωλολατροῦντες καὶ τῇ παρ' Ἕλλησιν Ἀφροδίτῃ λεγομένῃ, τοῦτ' ἔστι τῇ ἡδονῇ, προσκυνοῦντες καὶ τὸν ἀστέρα, ταύτης γὰρ εἶναι τὸν ἑωσφόρον μυθολογοῦσιν, ἣν δὴ καὶ Κουβὰρ τῇ ἑαυτῶν κακεμφάτῳ ἐπονομάσαντες γλώσσῃ, ὅπερ ἐστὶ 5 *μεγάλη, διέμειναν ἕως ἄρτι τὴν Ἀφροδίτην θεὸν ὀνομάζοντες. ἵνα δὲ μὴ δόξωμέν τισι ψευδολογεῖν, σαφηνίσωμεν τὸ μέγα αὐτῶν μυστήριον. ἔχει δὲ ἡ λέξις τῆς μυσαρᾶς αὐτῶν καὶ παμβεβήλου προσευχῆς οὕτως· Ἀλλά, Ἀλλά, Οὐά, Κουβάρ, Ἀλλά. καὶ τὸ μὲν Ἀλλά, Ἀλλὰ ἑρμηνεύεται ὁ θεός,* 10 *ὁ θεός, τὸ δὲ Οὐὰ μείζων, τὸ δὲ Κουβὰρ μεγάλη ἤτοι σελήνη καὶ Ἀφροδίτη. ὅπερ ἐστὶν οὕτως· ὁ θεὸς ὁ θεὸς μείζων καὶ ἡ μεγάλη, εἴτ' οὖν σελήνη καὶ Ἀφροδίτη, θεός. καὶ τοῦτο σαφηνίζει ἡ ἐπαγωγὴ τοῦ τελευταίου Ἀλλά. ἅπερ πάντα ἐπικεκρυμμένως τῇ ἰδιότητι τῆς ἑαυτῶν γλώσσης* 15 *λαλοῦσιν οὕτω φύσεως ἐχούσης· ἃ καὶ φανερῶς δημοσιεύειν οὐ θέλουσιν εἰς λογικοὺς ἀνθρώπους καὶ ἐχέφρονας διὰ τὸ τῆς καταγνώσεως πρόδηλον. ἀλλὰ τοὺς μὲν χοιρώδεις τούτους καὶ τελματώδεις καὶ μηδὲν περαιτέρω τῆς ἡδονῆς καὶ ῥαστώνης εἰδότας ἀφέμενος ὁ λόγος ὡς ἀνεπαισθήτως καὶ* 20 *ἀνηκέστως νοσοῦντας πρὸς τὰ ἑξῆς τῆς ἱστορίας χωρείτω.*

Μετὰ δὲ τὸν θάνατον τοῦ θεηλάτου Μουχούμεδ ἐφάνη

21—*p.* 707, 3 *cf.* Theoph. *p.* 336, 21.

2 Post *ἀστέρα* intercidisse quaedam videntur, nisi forte plus solito *ψελλίζει* Georgius. — 3 *κούβαρον* CEV. — 4 *ὀνομάσαντες* AB. — 11 *καὶ ἀφροδίτη*—12 *σελήνη om.* NR. — 12 *εἴτ' οὖν ἡ σελήνη* EG. — *καὶ ante Ἀφροδίτη om.* CEGRV. — 17 *Post πρόδηλον* B *add.: οὐδὲ τὰ ἐν τῷ κουρᾷ βιβλιδαρίῳ ἑαλωκότα μυθάρια πάσης ἀκαθαρσίας μεμεστωμένα.* — 21 *δὲ* ABMP *δέ γε* rell. — *μουχούμεδ hic etiam* E.

3 *μυθολογοῦσιν οἱ μυθοπλάσται καὶ αὐτόνομοι. ἣν* P. — 5 *τὴν ἀφροδίτην* — 17 *πρόδηλον omnino aliter multoque uberius exhibet* P. *Tum in eo sequuntur p.* 699, 11—*p.* 702, 9. — 20 *νοσοῦντας καὶ μὴ νοοῦντας* (*ἄφρονες γὰρ μαστιγωθέντες οὐκ αἰσθάνονται* [Prov. 17, 10]) *πρὸς τ. ἑξῆς τ. ἱστ. χωρείτω λέγων πρὸς αὐτούς· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογί, ᾗ ἐξεκαύσατε* (Jes. 50, 11). P.

κατὰ μεσημβρίαν ἀστὴρ ὁ λεγόμενος δοκίτης προμηνύων τὴν τῶν Ἀράβων τούτων ἐπικράτησιν, καὶ ἔμεινεν ἡμέρας λ´ διατείνων ἀπὸ μεσημβρίας ἕως ἄρκτου ξιφοειδῶς. ἐν ᾧ χρόνῳ ἐπιστρατεύσαντες οἱ Ἄραβες οὗτοι πάλαι μὲν λεγόμενοι, νῦν δὲ Σαρακηνοί, καὶ τὴν Ἀραβίαν καταλιπόντες ἦλθον ἐπὶ τὰ μέρη τῆς Δαμασκοῦ πλῆθος ἄπειρον. ὅπερ μαθόντες Βάνης καὶ Βασιλίσκος οἱ στρατηγοὶ τῆς ἀνατολῆς κατ' αὐτῶν ἐξώρμησαν. εἶτα συμβολῆς γεναμένης, ἡττῶνται λίαν οἱ χριστιανοί. ἀνέμου γὰρ πνεύσαντος κατὰ Ῥωμαίων βιαίου νότου, καὶ μὴ δυνάμενοι τοῖς ἐχθροῖς ἀντωπῆσαι διὰ τὸν πολὺν κονιορτὸν δεινῶς τρέπονται καὶ βαλόντες ἑαυτοὺς εἰς τὰς στενόδους τοῦ ποταμοῦ Ἱερμουχθᾶ διεφθάρησαν ἐκεῖ χιλιάδες μ´. καὶ οὕτω νικήσαντες οἱ Σαρακηνοὶ κατὰ κράτος καὶ λαμπρῶς ἐπὶ τὴν Δαμασκὸν ἐλθόντες, ἣν καὶ δοριάλωτον λαβόντες ὡσαύτως καὶ τὰς χώρας πάσας τῆς Φοινίκης οἰκίζονται ἐν αὐταῖς οἱ ἐναγεῖς καὶ βέβηλοι διὰ τὰ ἄδηλα κρίματα τοῦ θεοῦ.

598 M. — 5 — 10 — 15

Περὶ ἧς ἁγίας γῆς ὁ θεσπέσιος ἔλεγε Μωϋσῆς πρὸς

3—17 *cf.* Theoph. *p.* 337, 23. — 18—*p.* 708, 8 Deuteron. 8, 7 *sqq.*

1 δοκήτης (δωκ. A) ABM. — 5 καταλειπόντες CDGP λειπόντες B. — 7 βαάνης BL Theoph. βανάης V. — 8 γεναμένης AEGNP γενομένης BCLRV. — 11 καὶ βαλόντες — 13 χιλιάδες μ´ *om.* CRV. — 11 βάλλοντες BP. — 12 τὰς στενόδους AGLN Theoph. τὰς στενώδους P τὰς στενωδοὺς E τὰ στενώδη B. — ἱερμουχθᾶ GN ἱερμουχθὰ (ἵερ. A) ABE ἡρμουχθὰ L ϊερμουχθοῦ *corr. ex* -θᾶ *incert. q. m. in* P. — 14 καὶ λαμπρῶς *om.* C λαμπρῶς *om.* B. *In* A *voci* λαμπρῶς *crux appicta, quae in mg. repetitur.* — 15 δοριάλωτον GP *et ut vid.* D *m. 1* δορυάλωτον (δωρ. M) rell. *et* D *m. corr.* — 17 κρίματα τοῦ θεοῦ ABR τοῦ θεοῦ κρίματα rell.

9 χριστιανοὶ διὰ πλῆθος πταισμάτων P. — 10 βιαίου νότου καὶ σφοδροτάτου P. — ἀντιπροσωπῆσαι P (*Eadem var. lect. in codd. Theoph.*). — 14 κατὰ κράτος *om.* P Theoph. — 15 δορ. αὐτίκα λαβόντες P. — ὡσαύτως *om.* P Theoph. — 16—18 οἰκίζονται διὰ τὰς ἁμαρτίας ἡμῶν οἱ ἐναγ. καὶ βέβ. εἰς τὴν ἁγίαν ἐκείνην γῆν, περὶ ἧς ὁ θεσπ. ἔλ. μ. P.

τὸν Ἰσραήλ· ἰδοὺ κύριος ὁ θεός σου εἰσαγάγει σε εἰς γῆν ἀγαθὴν καὶ πολλήν, ἧς χείμαρροι ὑδάτων καὶ πηγαὶ ἀβύσσων ἐκπορευόμεναι διὰ τῶν πεδίων καὶ τῶν ὀρέων, γῆ πυροῦ καὶ κριθῆς, ἄμπελοι καὶ συκαῖ καὶ ῥοαὶ καὶ φοί- 5 νικες, γῆ ἐλαίας ἐλαίου καὶ μέλιτος, γῆ, ἐφ' ἧς οὐ μετὰ πτωχείας φαγῇ τὸν ἄρτον σου καὶ οὐ δεηθήσῃ ἐπ' αὐτῆς οὐδέν, γῆ, ἧς οἱ λίθοι σίδηρος, καὶ ἐκ τῶν ὀρέων αὐτῆς μεταλλεύσῃ χαλκόν, γῆ ῥέουσα γάλα καὶ μέλι, κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν, γῆ, ἣν κύριος ὁ θεός σου ἐπισκο- 10 πεῖται αὐτὴν διὰ παντός, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπ' αὐτῆς ἀπ' ἀρχῆς τοῦ ἐνιαυτοῦ καὶ ἕως συντελείας τοῦ ἐνιαυτοῦ. καὶ γὰρ ὄντως εὐλογημένη γῆ ἐστι καὶ καρποφόρος ἄγαν ὑπὲρ πᾶσαν τὴν γῆν καὶ τῷ παραδείσῳ τοῦ θεοῦ παρεικαζο- 599 M. μένη. ἐπάρας, γάρ φησιν, Λὼτ τοὺς ὀφθαλμοὺς αὐτοῦ εἶδε 15 πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη ὡς ὁ παράδεισος κυρίου καὶ ὡς γῆ Αἰγύπτου, καὶ ἐξελέξατο αὐτήν.

Προσμαρτυρεῖ δὲ τούτοις καὶ ὁ σοφώτατος Ἀριστοτέλης λέγων· καὶ γὰρ πολυάνθρωπός ἐστιν ἡ γῆ τῆς ἐπαγγελίας 20 καὶ σύνδενδρος καὶ παντοίοις καρποῖς εὐθηνοῦσα, ἀμπέλων τε καὶ ἀκροδρύων καὶ φοινίκων πλῆθος ἄπλετον καὶ κτήνη πάμπολλα καὶ διάφορα, καὶ δαψιλὴς ἡ τούτων νομὴ δι' ὅλου τοῦ χρόνου γίνεται διὰ τὴν πολλὴν εὐκρασίαν τῆς γῆς καὶ πιότητα, πολὺ δὲ πλῆθος καὶ τῶν ἀρωμάτων καὶ λίθων

8—9 Num. 13, 28. — 9—11 Deut. 11, 12. — 14—17 Gen. 13, 10. — 18—*p.* 709, 2 Aristeae epist. 112 *sq. p.* 33 *ed.* Wendland.

1 εἰσαγάγει σε BNP εἰσάγει σε AEG εἰσάγισε L *om.* CRV. — 4 ῥόαι GL ῥῶαι N ῥώαις A ῥοιαὶ B. — 5 ἐλαίας *om.* N *et* recc. quidam. — 6 φάγῃ BEGN φάγει C φαγεῖ A. — 8 χρυσόν RV. — μέλι καὶ γάλα GNV. — 11 καὶ ἕως συντ. τοῦ ἐνιαυτοῦ *om.* MV. — ἕως τῆς συντελείας AG. — 12 ἡ γῆ AC *om.* M. — 16 ὡς ὁ παράδ. AP ὁ *om.* rell. — ὡς ἡ γῆ AB. — 24 ποιότητα BDR.

3 καὶ διὰ τῶν ὁραίων P. — 5 καὶ γῆ P. — 11 *Post* ἐνιαυτοῦ *versus aliquot sacrae scripturae add.* P. — 18 ἀρισταῖος P.

πολυτελῶν καὶ χρυσοῦ παρακομιζομένου διὰ τῶν Ἀράβων εἰς τὸν τόπον.

Ὡσαύτως οὖν καὶ Ἰώσηπος ἔφη· πάμφορος γὰρ οὖσα δι' εὔκρατον ἀέρα καὶ πολλὴν πιότητα χειμῶνος ὥρᾳ ἐκφέρει κάρυα καὶ ἐν καύματι φοίνικας καὶ πλεῖστον γεωργεῖ 5 ἔλαιον, καὶ σταφυλὴν μὲν καὶ σῦκα διὰ μηνῶν ι' ἐσθίουσιν οἱ ἐκεῖσε, τοὺς δὲ λοιποὺς καρποὺς δὶς τοῦ ἐνιαυτοῦ τρυγῶσιν.

Τὸ δὲ μέγεθος τῶν βοτρύων τῆς σταφυλῆς ἐκείνης ἐδήλωσεν ἡ γραφὴ λέγουσα περὶ τῶν κατασκόπων ὧν ἀπέστειλε 10 Μωϋσῆς ὅτι· ἦλθον ἕως φάραγγος βότρυος καὶ κόψαντες ἐκεῖθεν κλῆμα καὶ βότρυν σταφυλῆς ἕνα ἦραν αὐτὸν ἐπ' ἀναφορεῦσιν. ἐν ξύλῳ γὰρ ἐσχηματισμένῳ πλαγίως μέσον κρεμασθεὶς καὶ ἐπ' ὤμων ἀνδρῶν β' βασταζόμενος πᾶσιν ἐδήλου τῆς ἁγίας γῆς ἐκείνης τὴν εὐκαρπίαν. δι' ἧς Ἀλέ- 15 ξανδρος ὁ μέγας διαπορευόμενος καὶ ξύλα καρποφόρα, ἐν οἷς καὶ πήγανον θεασάμενος τὸ ὕψος καὶ πάχος ἐφάμιλλον συκῆς, ἐθαύμασε σφόδρα τῆς γῆς τὴν εὐκαρπίαν τε καὶ πιότητα. καὶ γοῦν ἐν τῇ Παλαιστίνῃ πηγή ἐστι παντοίων παθῶν ἀνθρώπων τε καὶ ἀλόγων ἰάσεις παρέχουσα, ἐν ᾗ 20 λόγος τὸν κύριον ἐξ ὁδοιπορίας τοὺς πόδας νίψασθαι. καὶ 600 M δένδρον ἵσταται πάσης ἀρρωστίας ἀλεξίκακον, ἐν ᾧ τόπῳ φασίν, ἡνίκα Ἰωσὴφ τὸν Χριστὸν λαβὼν μετὰ τῆς παναγίας θεοτόκου Μαρίας καὶ πρὸς τὴν Αἴγυπτον ποιούμενος τὴν πορείαν, εἰς γῆν ἐκλίθη τὸ δένδρον καὶ προσεκύνησεν. 25

3—8 Joseph. Bell. Jud. III, 10, 8. — 11 Num. 13, 24. — 16 *cf.* Joseph. Bell. Jud. VII, 6, 3. — 19—*p.* 710, 1 Theod. Lector. exc. eccl. *apud* Cramer Anecd. Paris. II, 96 *ex* Sozom. Hist. eccl. V, 21.

3 οὖσα ἡ γῆ δι' CRV. — 9 τῆς σταφυλῆς τῶν βοτρύων RV τῆς σταφυλῆς *om.* L. — 19 ποιότητα BR ὡραιότητα L. — 21 λόγος] λέγουν A λέγουσι *m. 1 ut vid. ex* λόγος *corr.* B λέγουσι D ε' *in lit. incert. q. m.* — 23 φησίν ABN. — ἡνίκα *om.* AB.

1 παρακομίζεται P Arist. — 11 καὶ ἦλθον P Num. — 23. 24 μετὰ τῆς παρθένου μαρίας P. — 24. 25 τὴν ὁδοιπορείαν ποιούμενος P.

ὅπερ μέχρι νῦν τὸ σχῆμα σώζει τῆς προσκυνήσεως. πρὸς δὲ τὴν ἀρκτῴαν τῆς φάραγγος ῥίζα γίνεται φλογοειδὴς ὀνόματι βατταρίτης, ἀφ' ἧς περὶ τὴν ἑσπέραν ἐξαστράπτον φῶς, οὐδεὶς ἀνθρώπων θίγειν αὐτῆς δύναται διὰ τὸ παραχρῆμα 5 θανατοῖν αὐτόν, εἰ τῆς ῥίζης ἐκείνης περιάψει τὴν χεῖρα. κυκλόθεν οὖν περιορύξαντες καὶ κύνα δεσμήσαντες, ἀνασπᾷ τὴν ῥίζαν ὁ κύων ἐπακολουθεῖν τῷ ἀνθρώπῳ βουλόμενος καὶ παραυτίκα ἀποθνήσκει. τὴν δὲ ῥίζαν περιάπτοντες δαιμονιζομένοις ἀπολύουσιν, τοῦ δαίμονος ἐξ αὐτῶν φυγαδευο-10 μένου.

Καὶ ἄλλη δέ τις πόλις ἐστὶ τῆς Γαλιλαίας παράλιος ἀπὸ σταδίων δύο ποταμὸν ἔχουσα καὶ νησοειδῆ τόπον ἐν αὐτῷ, πήχεις ἔχων τὸ περίμετρον ρ', ἐν ᾧ γίνεται φυσικὸν πρᾶγμα θαύματος ἄξιον. οἱ γὰρ ἄνεμοι τὴν ἔξωθεν ἀργὴν ψάμμον 15 εἰς αὐτὸν κατασύραντες, εὐθέως ὁ τόπος ταύτην εἰς ὕελον μεταβάλλει, καὶ ἐπειδὰν ἱκανὰ πλοῖα περιστάντα καὶ τὴν ὑαλῖτιν ἐκείνην ψάμμον ἐκφορήσωσιν, πάλιν οἱ ἄνεμοι καταπνεύσαντες γεμίζουσι τὸν τόπον. ἀλλὰ μὴν καὶ ὀποβάλσαμον γεωργεῖ πλεῖστον καὶ ἕτερά τινα πάμπολλα δυσπόριστα καὶ 20 ἀνθρώποις ἐπέραστα. κἀντεῦθεν τοίνυν ὡς ἐξαίρετον καὶ διαφέρουσαν ἀσυγκρίτως πάσης τῆς γῆς εἰκότως ἔδωκεν αὐτὴν ὁ θεὸς τῷ ἠγαπημένῳ καὶ πρωτοτόκῳ υἱῷ αὐτοῦ

1—10 *cf.* Joseph. Bell. Jud. VII, 6, 3. — 11—18 *cf.* Joseph. Bell. Jud. II, 10, 2. — 18 *cf.* Joseph. Bell. Jud. IV, 8, 3.

1 μέχρι τοῦ νῦν AR. — 2 τοῦ φάρυγγος CR. — 3 βατταρίτης] βαάρας Jos. *l. l.* — 5 θανατοῦν CR θανατεῖν M. — εἴ τις τῆς A εἰς τῆς L. — περὶ ἅψη C περιάψοι R περιάλη *ut vid. ex* περιάψη B περιάψηται E. — 6 κύκλωθεν ACGNR. — δεσμεύσαντες E δήσαντες B. — 13 ἔχοντα LV. — 14 ἀργεῖν C ὀργὴν P ἀρχὴν R. — 15 εἰς αὐτὴν AV. — κατασύροντες AB. — 16 καὶ *ante* τὴν *om.* BLV. — 17 ὑαλῖτιν A *et* D *lit. ex* ὑαλίτην. ὑαλίτην DEGLPRV ὑαλήτην M ὑαλλάτην B ὑελίτην C. — 19 καὶ δυσπόριστα LP. — 22 ὁ θεὸς *om.* BG. — αὐτοῦ υἱῷ V υἱῷ αὐτοῦ *om.* recc. quidam υἱῷ *om.* AM.

1 καὶ μέχρι P. — 8 παρευθὺς P. — 9 αὐτίκα τοῦ δαίμονος P. — 15 ταύτην ὁ τόπος P. — 21 πᾶσαν τὴν γῆν P.

Ἰσραὴλ εἰς κληρονομίαν τε καὶ ἀπόλαυσιν. εἰσήγαγεν, γάρ φησιν, αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.

Τοιγαροῦν ἐν τῇ ἁγίᾳ ταύτῃ καὶ μακαρίᾳ καὶ ἀγαθῇ γῇ τῆς ἐπαγγελίας πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς 5 λόγος τοῖς προφήταις ὁραθεὶς ἐπὶ χερουβικοῦ ἐπηρμένου θρόνου καὶ χρηματίσας καὶ μέντοι διαφόρως τε καὶ θεοπρεπῶς τὰς θεοφανείας ποιησάμενος, ὡς ἔλεγεν· ἐγὼ ὁράσεις ἐπλήθυνα καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην, ἐπ' ἐσχάτων 601 M. αὖθις ἐπὶ τῆς αὐτῆς ἱερᾶς γῆς ὤφθη σαρκοφόρος καὶ τοῖς 10 ἀνθρώποις συνανεστράφη κατὰ τὴν θείαν πρόρρησιν πληρώσας καὶ τό· μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος. ἐν ᾗ καὶ τὸ σωτήριον πάθος ὑπομείνας τὴν παγκόσμιον εἰργάσατο σωτηρίαν ἐν μέσῳ αὐτῆς, ὡς καί τινες τῶν ἐξη- 15 γητῶν ὀμφαλὸν τῆς γῆς αὐτὴν προσηγορεύκασιν. καὶ μέντοι γε καὶ Χριστὸς αὐτὸς καρδίαν αὐτὴν ἐκάλεσε φάσκων· ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους γ' ἡμέρας καὶ γ' νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς γ' ἡμέρας καὶ γ' νύκτας. 20

Ὅθεν δὴ καὶ ὁ θεῖος Χρυσόστομος εἰς τὸ φάσκον ῥητόν· ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ, φησίν· καὶ γὰρ

1 Psalm. 77 (78), 54. — 5 Hebr. 1, 1. — 8 Hosea 12, 10. — 12 Psalm. 86 (87), 5. — 15 *cf.* Joseph. Bell. Jud. III, 3, 5. — 17 Matth. 12, 40. — 21—*p.* 712, 24 Chrysost. Hom. in Psalm. 49 Migne Tom. 55, 242.

2 αὐτούς φησιν NV αὐτοὺς *om.* BG φησιν *om.* R. — 4 *Desinit ea cod.* G *pars, quae textum vetustiorem exhibet.* — 5 ὁ θεὸς πάλαι N. — 8 θεοφανίας DE θεοφωνίας P. — 13 ἐγενήθη AD. — 16 καὶ μέντοι γε καὶ APV καὶ μέντοι καὶ N καὶ μέν γε καὶ BCLR καὶ μήν γε καὶ E. — 17 ὁ χριστὸς PR. — ἐκάλεσε λέγων C ἔφασκε λέγων R. — 19 οὕτως — 20 νύκτας *om.* AM. — 21 δὴ] δεῖ C δὲ E *om.* R. — 22 καὶ γὰρ καὶ BV γὰρ *om.* R.

3 ἡ δεξιὰ αὐτοῦ καὶ ἐκληροδότησεν αὐτούς P Psalm. *Tum alia quaedam add.* P. — 20 *Multa alia add.* P.

ἐπὶ τῆς παλαιᾶς ἐκεῖθεν ἡ τοῦ θεοῦ γέγονεν εὐπρέπεια, οἷον ὁ βωμός, τὰ ἅγια τῶν ἁγίων, ἡ λατρεία πᾶσα καὶ ἡ πολιτεία τῆς παλαιᾶς νομοθεσίας, καὶ ἱερέων πληθὺς καὶ θυσίαι καὶ ὁλοκαυτώσεις καὶ ὕμνοι ἱεροὶ καὶ ψαλμῳδίαι, καὶ πάντα
5 τὰ ἐκεῖθεν καὶ τῶν μελλόντων προδιεγέγραπτο. ἐπειδὴ δὲ καὶ ἡ ἀλήθεια παραγέγονεν, ἐκεῖθεν τὴν ἀρχὴν ἔλαβεν, ἐκεῖθεν ὁ σταυρὸς ἔλαμψεν, ἐκεῖθεν τὰ μυρία κατορθώματα. διὰ δὴ τοῦτο καὶ περὶ τῆς Χριστοῦ δευτέρας νομοθεσίας ὁ μέγας Ἡσαΐας· ἐκ Σιών, φησίν, ἐξελεύσεται νόμος καὶ
10 λόγος κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. Σιὼν γὰρ ἐνταῦθα ὁλόκληρον λέγει τὸ χωρίον καὶ τὴν παρακειμένην αὐτῷ μητρόπολιν τῶν Ἰουδαίων. ἐκεῖθεν οὖν ὥσπερ ἐκ βαλβῖδός τινος εὔδρομοι ἵπποι καὶ εὐσταλεῖς οἱ ἀπόστολοι εἰς τὴν οἰκουμένην ἅπασαν ἐξεπέμφθησαν,
15 ἐκεῖθεν τὰ σημεῖα ποιεῖν ἤρξαντο. ἐκεῖ γέγονε τὸ σωτήριον πάθος καὶ ἡ ἀνάστασις καὶ ἡ ἀνάληψις, ἐκεῖ τὰ προοίμια
602 M. καὶ ἡ ἀρχὴ τῆς ἡμετέρας σωτηρίας, ἐκεῖ τὰ ἀπόρρητα δόγματα κηρύττεσθαι τὴν ἀρχὴν ἔλαβεν, ἐκεῖ πρῶτον ἀπεκαλύφθη πατήρ, καὶ ἐγνωρίσθη μονογενής, καὶ ἐδόθη τοσαύτη
20 πνεύματος χάρις, καὶ τὸν περὶ τῶν ἀσωμάτων ἐκεῖ λόγον ἐγύμναζον καὶ δωρεῶν καὶ δυνάμεων καὶ τῶν μελλόντων ἀγαθῶν τὰς ἐπαγγελίας, ἅπερ ἅπαντα ὡραιότητα αὐτοῦ λέγει. κάλλη γὰρ θεοῦ καὶ ὡραιότης ἡ ἀγαθότης καὶ φιλανθρωπία καὶ ἡ εἰς πάντας εὐεργεσία.

25 Ἐκεῖ τοίνυν καὶ τὸ πταῖσμα καὶ πτῶμα τοῦ Ἀδὰμ θεραπεύσας καὶ τὴν ταχίστην ὥσπερ καὶ ὑπόπτερον συνέλευσιν τῶν ἁγίων καὶ ὑπάντησιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ αὐτοῦ προϋπεμφαίνων ἔλεγεν· ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

---

9 Jes. 2, 4. — 28 Matth. 24, 28. Luc. 17, 37.

13 καὶ εὐσταλεῖς BLPV καὶ *om.* rell. — 22 αὐτοῦ ὡραιότητα RV. — 25 καὶ τὸ πτῶμα AB.

13 γοῦν P. — 16 ἡ *ante* ἀνάληψις *om.* P. — 24 ἅπαντας P.

Εἰκὸς δὲ μηδὲ τὸν Νῶε τοῦ ἀρχηγοῦ πάντων ἀνθρώπων τὸν τάφον ἀγνοῆσαι, ὡς μετὰ τὸν κατακλυσμὸν ἀπ' αὐτοῦ διαδοθῆναι τὴν φήμην. διόπερ ὁ κύριος τὰς ἀρχὰς τοῦ ἀνθρωπίνου θανάτου διερευνήσας εἰς τὸν λεγόμενον κρανίου τόπον τὸ πάθος ἐδέξατο, ἵνα ἐν ᾧ τόπῳ ἡ φθορὰ 5 *τῶν ἀνθρώπων τὴν ἀρχὴν ἔλαβεν, ἐκεῖθεν καὶ ἡ ζωὴ καὶ τὸ θεόκριτον κήρυγμα τῆς βασιλείας τῶν οὐρανῶν ἄρξηται.*

Ὡσαύτως δὲ καὶ ὁ θεορήμων Ἀθανάσιος εἰς τὸ πάθος Χριστοῦ λέγει· διόπερ οὐκ ἀλλαχόσε πάσχει Χριστὸς οὔτε μὴν εἰς ἄλλον σταυροῦται τόπον ἢ εἰς τὸν κρανίου τόπον, 10 *ἐν ᾧ δὴ καὶ Ἑβραίων οἱ διδάσκαλοί φασι τοῦ Ἀδὰμ εἶναι τὸν τάφον· ἐκεῖ γὰρ αὐτὸν μετὰ τὴν κατάραν τεθάφθαι διαβεβαιοῦνται. διὰ τοῦτο θαυμάζω τοῦ τόπου τὴν οἰκειότητα. ἔδει γὰρ τὸν κύριον ἀνανεῶσαι θέλοντα τὸν πρῶτον ἄνθρωπον ἐν ἐκείνῳ παθεῖν τῷ τόπῳ. καὶ ἐπειδήπερ ἤκουσεν* 15 *Ἀδάμ· γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ταύτῃ τοι πάλιν ἐκεῖ τέθειται, ἵνα, ἐν ᾧ τόπῳ τὴν κατάραν ἔλαβεν, ἐκεῖ καὶ τὴν λύσιν ταύτης δέξηται.*

1—7 Basilius in Jes. V, 1 Migne Tom. 30, 348 B (*cf. not.*). — 8—18 Athanas. or. de passione et cruce *cp.* 12 Migne Tom. 28, 208 A. — 16 Gen. 3, 19.

9 *χριστοῦ* AEP *τοῦ χριστοῦ* CNRV *om.* B. — 11 *καὶ ἑβραίων* ABPV *καὶ om.* rell. Ath. — 12 *τεθάφθαι* NP *τεθάπται* B *et* recc. quidam *τετάφθαι* rell.

1 *Mancum esse textum vulgatum docet* P, *qui sic incipit: καὶ γοῦν ὁ μέγας βασίλειος εἰς τὸν ἡσαΐαν φησὶν ὅτι· λόγος ἐστὶ τοιόσδε κατὰ τὴν ἄγραφον μνήμην ἐν τῇ ἐκκλησίᾳ διασωζόμενος, ὡς ἄρα πρώτη ἰουδαία ἄνθρωπον ἔσχεν οἰκήτορα τὸν ἀδὰμ μετὰ τὸ ἐκβληθῆναι αὐτὸν τοῦ παραδείσου ἐν ταύτῃ καθιδρυσθέντα εἰς παραμυθίαν ὧν ἐστερήθη. πρώτη οὖν καὶ νεκρὸν ἐδέξατο ἄνθρωπον ἐκεῖ τὴν καταδίκην τοῦ ἀδὰμ πληρώσαντος. ὅθεν καινὸν ἐδόκει τοῖς τότε θέαμα εἶναι κεφαλῆς ὀστέον τῆς σαρκὸς περιρρυείσης, καὶ ἀποθέμενοι τὸ κρανίον ἐκεῖσε κρανίου τόπον ὠνόμασαν. εἰκὸς κ. τ. λ.* — 11 *οἱ om.* P. — 13 *καὶ διὰ τοῦτο* P. — 15 *ἤκουσεν ὁ ἀδὰμ ὅτι· γῆ εἶ* P. — 18 P *add.*: *καὶ μέντοι καὶ ὁ θεῖος χρυσόστομος εἰς τὴν κατὰ ἰωάννην ἑρμηνείαν* (Or. 85 [86], 1

603 M. *Καὶ μέντοι γε καὶ ὁ μέγας Ἐφραῒμ ἐν τοῖς κατὰ Καϊανῶν φησιν· καὶ ὁ Κάϊν στένειν καὶ τρέμειν ἐκρίθη ὑπὸ τῆς συνειδήσεως περιεχόμενος, ὑποστήσεται δὲ τοῦτο ἐπὶ τῆς αἰωνίου κολάσεως. τὸ γάρ· στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς*
5 *γῆς δηλοῖ πάντως, ὅτι ἐπὶ τῆς γῆς ταύτης ὁ τόπος τῆς κρίσεως εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος κατὰ τὰς ἱερὰς γραφάς. οὐχ ἡ γῆ διὰ τὴν κρίσιν, οὐδὲ ἡ κρίσις διὰ τὴν γῆν· οὐ γὰρ ἡ γῆ ἥμαρτεν, ἀλλ' ὁ ἄνθρωπος. ἡ γῆ τῆς τοῦ θεοῦ δίκης γίνεται ἀμυντήριον ὡς τῶν κριτῶν τὸ βῆμα*
10 *καὶ τῶν δημίων ὁ σίδηρος, καὶ δύναται, φησίν, ἐν προσκαίροις αἰώνιος γενέσθαι κρίσις. καὶ ἡ σὰρξ τῶν ἀνθρώπων νῦν θνητή ἐστιν, ἀλλὰ τότε γενήσεται ἀθάνατος, καὶ ὁ παράδεισος δι' αἰσθητῶν συνεστὼς αἰώνιον ἔχει τὴν ἀπόλαυσιν. οὐκ ἐν παραβολῇ εἴρηται περὶ τοῦ παραδείσου, οὐκ*
15 *ἐν σχήματι ἐφυτεύθη τῷ πράγματι ἀνύπαρκτος ὤν. Παῦλος αὐτὸν μετὰ πεντακισχίλια ἔτη ἐθεάσατο. ἐκεῖ ἀπεδήμησε καὶ ἤκουσε τὰ τῆς ἐκκλησίας μυστήρια, ἀνέβη καὶ εἰς τρίτον οὐρανὸν καὶ ἤκουσε τὰ τοῦ μέλλοντος ἀΐδια δόγματα. οὐρανὸν καὶ γῆν τὴν αὐτὴν χάριν ὁ θεὸς ἐνέδυσε καὶ τὸν παρά-*
20 *δεισον ἐν ἀϊδίοις ἐπαγγελίαις συστησάμενος. σοὶ μὲν τῷ ἀπίστῳ δοκεῖ τὸ αἰσθητὸν πρόσκαιρον, ἐμοὶ δὲ τῷ πιστῷ καὶ τὸ πρόσκαιρον αἰώνιον. οὐ νοεῖς τὴν δύναμιν, ἐπειδὴ οὐ πιστεύεις τῇ χάριτι, οὐ χωρεῖς τὴν κατάληψιν, ὅτι οὐ γινώσκεις*

---

1 Locum in editis Ephraimi Syri operibus non inveni. — 4 Gen. IV, 12. — 5 Psalm. 83 (84), 7. — 17 2. Cor. 12, 2—4.

1 γε *om.* AB. — καϊανῶν ACP καιάνων E καϊνῶν (καϊνὸν recc. nonnulli) RV κάϊν BM. *In* D κάϊν ὢν *m. 2 ex* κάϊν ὢν *corr. vid.* — 11 αἰωνίως B αἰωνίοις M αἰῶσι R. — 13 αἰωνίως N. — 21 τὸ *ante* πρόσκαιρον *om.* BR.

Migne Tom. 59, 459 *fin.*) ἔφη· καὶ γὰρ εἰς τὸν κρανίου τόπον φασὶ τὸν ἀδὰμ τετελευτηκέναι κἀκεῖ κεῖσθαι, ἔνθα καὶ ὁ θάνατος ἐβασίλευσεν, καὶ ὁ κύριος τὸ σωτήριον πάθος ὑπομείνας τρόπαιον ἔστησεν. — 1 ὁ δέ τοι μέγας ἐφραῒμ P *una litt. post* τοι *erasa.* — 5 ταύτης ἐστὶν ὁ τόπος P.

βουλὴν θεότητος. ἀπαιτεῖς με λόγον, πῶς τὸ πρόσκαιρον αἰώνιον. ἀπαίτησον καὶ Παῦλον, διὰ τί εἶπεν εἶναι διήγησιν, ἣν οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. εἰ δὲ λόγος ἀνέφικτος, πολλῷ μᾶλλον ἡ τοῦ θεοῦ δύναμις ἀνεκδιήγητος. καὶ ὁ παράδεισος τοίνυν αἰσθητός, ἀλλ' οὐ πρόσκαιρος, [καὶ ἡ ἐν αὐτῷ ἐπ- 5 *αγγελία ἐν ξύλοις, ἀλλ' οὐ προσκαίροις], καὶ δὴ καὶ ἡ μητρόπολις Ἱερουσαλὴμ φθαρτὴ νῦν καὶ πρόσκαιρος, ἀλλ' εἰς κατοικητήριον ἐξελέχθη τοῦ ἀφθάρτου φύσει καὶ αἰωνίου θεοῦ, ἥτις γε πάντως μικρὸν ὕστερον ἄφθαρτος καὶ θεοφώτιστος ἐν τῇ παλιγγενεσίᾳ γενήσεται καὶ δικαίων ἐνδιαίτημα κατὰ* 10 *τὴν βροντόφωνον τοῦ υἱοῦ τῆς βροντῆς Ἰωάννου φωνὴν ἐν τῇ ἀποκαλύψει· Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ὄντως θεόδμητος καὶ θεοφρούρητος καὶ θεοκόσμητος καὶ θεοπόθητος. ἀγαπᾷ* 604 M. *κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. ἣν δὴ καὶ ὡς ἔνδοξον καὶ θεοῦ πόλιν σεμνύνων ἐπάγει* 15 *φάσκων· δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ. καί· καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν, ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν. ὁ θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.*

Ταύτην δὴ τὴν ἁγίαν καὶ ἐπιθυμητὴν γῆν καὶ παγγέ- 20 *ραστον καὶ πανεπέραστον, ἐξ ἧς ὁ πρῶτος ἄνθρωπος γέγονε*

---

12 Apocal. 21, 2; 10. — 13 Psalm. 86 (87), 2. — 16 *ib. v.* 3. — 17 Psalm. 47 (48), 9.

5 *καὶ ἡ* — 6 *προσκαίροις om.* ABP. — 6 *καὶ δὴ* — 7 *πρόσκαιρος om.* N. — 6 *δὴ καὶ ἡ* ABP *καὶ om.* rell. — 7 *πρόσκαιρος νῦν καὶ φθαρτὴ* RV. — 11 *φωνὴν post Ἰωάννου ins.* AP *post βροντόφωνον* rell. — 13 *ἀγαπᾷ γὰρ κύριος* EPR. — 15 *ἣν δὴ* — 16 *φάσκων om.* N. — 17 *εἴδομεν* AV *εἴδωμεν* D *ἴδομεν* CE *ἴδωμεν* BMPR.

5 *αἰεσθητός* P. — 11 *βροντοφώνον υἱοῦ* (*om. τοῦ* P). — 14 *Post Ἰακὼβ* P *add.*: *ὅθεν φησίν· κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου* (Psalm. 25 [26], 8). — 16 *τοῦ θεοῦ*] *τοῦ βασιλέως τοῦ μεγάλου* P, *qui add.*: *ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅτ' ἂν ἀντιλαμβάνηται αὐτῆς* (Psalm. 47 [48], 4). — 19 *Alios scripturae sacrae locos add.* P.

καὶ οἱ προφῆται πάντες καὶ ἀπόστολοι ἀνεφύησαν, καὶ μέντοι καὶ αὐτὴ ἡ πάντων οὐρανίων καὶ ἐπιγείων κτισμάτων ὑπερτέρα θεομήτωρ βεβλάστηκε καὶ τὸν τοῦ παντὸς κύριον καὶ δεσπότην ἀπέτεκε καὶ τῆς τοῦ κόσμου σωτηρίας γέγονε πρό-
5 *ξενος, καὶ τὸ θεῖον ὄρος Σιὼν καὶ περιβόητον καὶ τὴν ἱερὰν μητρόπολιν τοῦ βασιλέως τοῦ μεγάλου καὶ σωτῆρος ἡμῶν Ἱερουσαλὴμ κατέσχον οἱ ἄγαν πονηροὶ καὶ ἀκάθαρτοι Σαρακηνοί. ἐπεὶ οὖν περικρατεῖς γενόμενοι τῆς ἁγίας γῆς ἐκείνης καὶ σφόδρα σφόδρα πλεονάσαντες καὶ ὑπερισχύσαντες,*
589 M. 10 *ἐξώπλισε πλοῖα πολλὰ Μαυΐας ὁ τούτων ἀρχηγὸς κατὰ τῆς Κωνσταντινουπόλεως καὶ ἦλθεν εἰς τὸν λεγόμενον Φοίνικα τῆς Λυκίας, ἔνθα Κώνστας ὁ βασιλεὺς ἦν μετὰ τοῦ Ῥωμαϊκοῦ στόλου. μέλλοντος δὲ τοῦ βασιλέως τῇ ἐπιούσῃ ναυμαχεῖν, θεωρεῖ κατ' ὄναρ ἑαυτὸν ὑπάρχειν ἐν Θεσσαλονίκῃ.*
15 *καὶ τοῦτο παραυτίκα γνωστικῷ τινι διηγησάμενος, ἔφη πρὸς αὐτόν· ὦ βασιλεῦ, κακὸν τὸ ἐνύπνιον. τὸ γὰρ εἶναί σε ἐν Θεσσαλονίκῃ θὲς ἄλλῳ τὴν νίκην προσημαίνει, τοῦτ' ἔστι σοῦ ἡττηθέντος ἡ νίκη πρὸς τὸν ἐχθρόν σου τεθήσεται. ἡμέρας οὖν γενομένης, καὶ ἀλλήλοις συμβαλόντες, ἡττᾶται*
20 *ὁ βασιλεὺς καὶ συγκιρνᾶται ἡ θάλασσα τῷ αἵματι τῶν Ῥωμαίων. ἐπιβουλῆς δὲ μηνυθείσης τῷ βασιλεῖ, ἀνακοινοῦται ταύτην γνησίῳ τινὶ τῶν ὑπηκόων ἑαυτοῦ φίλῳ, ᾧ καὶ τὴν*

---

10 *cf.* Theoph. *p.* 345, 16. — 12—*p.* 717, 8 *cf.* Theoph. *p.* 345, 28.

1 *οἱ ἀπόστολοι* BN. — 3 *βεβλάστηκε* ABP *ἐβλάστησε* rell. — 9 *σφόδρα alterum om.* CLNR. — 10 *μαβίας* ER. — 13 *τῇ ἐπιούσῃ ναυμαχεῖν* LP *ναυμαχεῖν τῇ ἐπιούσῃ* AB *τῇ ἐπιούσῃ νυκτὶ ναυμαχεῖν* rell. — 18 *ἐχθρόν σου* ABPV *σου om.* rell. — 20 *τὸ αἷμα* ADELR. — 22 *ἑαυτοῦ φίλῳ* CEP Exc. de insid. *αὐτοῦ φίλῳ* V *αὐτοῦ φίλων* ANR *φίλῳ αὐτοῦ* BL.

6 *μεγάλου θεοῦ καὶ* P. — 7 *σαρακηνοὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ὡς προείρηται* P. *Tum alia permulta inserit.* — 8 *ἐκείνης οἱ παμβέβηλοι σαρακηνοὶ καὶ παμπόνηροι* P. — 10 *ἐξοπλίσας* P. — 11 *καὶ om.* P. — 20—21 *ὁ δὲ βασιλεὺς ἐπιβουλῆς αὐτῷ κατ' αὐτοῦ μηνυθείσης ἀνακ.* P.

ἰδίαν ἐσθῆτα κατὰ τὴν ἐκείνου συμβουλὴν ἐνδύσας καὶ εἰς πενιχρὸν πλοῖον εἰσελθὼν σὺν ὀλίγοις ἀπέπλευσε διὰ τῆς νυκτὸς ἐν Κωνσταντινουπόλει σωθεὶς παραδόξως. τῇ δὲ ἐπαύριον ὁ τὴν βασιλικὴν ἐσθῆτα περιβεβλημένος ἐπιστὰς τῇ βασιλικῇ νηῒ συνάπτει πόλεμον. ὃν οἱ πολέμιοι περι- 5
κυκλώσαντες δοκοῦντες αὐτὸν εἶναι τὸν βασιλέα ἰσχυρῶς ἐπολέμουν. ὁ δὲ πολλοὺς ἐξ αὐτῶν ἀνδρείως ἀνελὼν λαβὼν καὶ αὐτὸς καιρίαν πληγὴν ἐτελεύτησεν, πληρώσας τὸ γεγραμμένον· μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τοῦ φίλου αὐτοῦ. 10

Ὁ δέ γε Κώνστας ἀνελὼν τὸν ἴδιον ἀδελφὸν Θεοδόσιον 590 M.
ἀπῆλθεν ἐν Σικελίᾳ βουλόμενος ἐν Ῥώμῃ τὴν βασιλείαν μεταστῆσαι. σφόδρα γὰρ ἐμισήθη παρὰ τῶν Βυζαντίων οὐ μόνον διὰ τὴν ἀναίρεσιν τοῦ ἀδελφοῦ, ἀλλ' ὅτι καὶ Μαρτῖνον τὸν πάπαν Ῥώμης ἀγαγὼν ἀτίμως ἐν Κωνσταντινουπόλει 15
ἐξώρισεν εἰς Χερσῶνα, καὶ Μαξίμου τοῦ σοφωτάτου καὶ ὁμολογητοῦ τὴν ἱερὰν γλῶσσαν καὶ τὴν δεξιὰν ἀπέτεμε χεῖρα, καὶ μέντοι καὶ πολλοὺς ἑτέρους τῶν ὀρθοδόξων αἰκίαις καὶ ἐξορίαις καὶ δημεύσεσι κατεδίκασε διὰ τὸ μὴ θέλειν αὐτοὺς τῇ τῶν Μονοθελητῶν αἱρέσει αὐτοῦ συνθέσθαι. εἶτα 20
πέμψας ἀγαγεῖν τὴν γυναῖκα καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ Κωνσταντῖνον καὶ Ἡράκλειον καὶ Τιβέριον, οἱ Βυζάντιοι τούτους οὐκ ἀπέστειλαν. ποιήσας οὖν ἐν Σικελίᾳ ἔτη ς'

---

9 Joh. 15, 13. — 11—13 *cf.* Theoph. *p.* 347, 25; 348, 4. — 13—20 *cf.* Theoph. *p.* 351, 16. — 20—23 *cf.* Theoph. *p.* 348, 6. — 23—*p.* 718, 8 *cf.* Theoph. *p.* 351, 28.

4 *ὁ om.* RV. — 7. 8 *καὶ λαβὼν καὶ* A *λαβὼν δὲ καὶ* B *et* recc. nonnulli. — 9 *μείζονα* BCR *et* D *m. 2* *μεῖζον* EP *μείζων* NV *μεῖζων* A *μείζω* L. — 10 *τῶν φίλων* ABR Exc. Joh. *τὸν φίλον* M. — 13 *ὑπὸ* A *et* recc. quidam. — 20 *αὐτοῦ*] *αὐτῷ* A *αὐτοὺς* V *om.* R.

6—9 *τὸν βασιλέα καὶ πολλοὺς αὐτῶν ἀνδρείως ἀνελὼν ἑαυτὸν θανάτῳ παρέδωκεν ὑπὲρ τοῦ φίλου αὐτοῦ καὶ βασιλέως πληρώσας τό· μεῖζον* P.

ἀναιρεῖται λουόμενος ἐν τῷ βαλανείῳ κατὰ κεφαλῆς διὰ τοῦ καδίου λαβὼν καιρίαν πληγὴν ὑπό τινος τῶν παρισταμένων. ὁ δὲ λαὸς ἰδὼν τὸν βασιλέα τελευτήσαντα παρευθὺς ἀναγορεύουσι βασιλέα Μίζιζόν τινα λεγόμενον. ὅπερ ἀκούσας 5 Κωνσταντῖνος κατέλαβε τὴν Σικελίαν μετὰ πλείστης ναυμαχίας, καὶ χειρωσάμενος Μίζιζον καὶ τὸν φονέα τοῦ πατρὸς ἀνεῖλε σὺν τοῖς στασιάσασιν, καὶ οὕτως ἐπανελθὼν ἐν Κωνσταντινουπόλει ἐδέχθη παρὰ πάντων εὐφημούμενος.

605 M. Ἐφ' ὧν χρόνων καὶ ὁ ἀρχηγὸς τῶν Παυλικιάνων ἀν-10 εφάνη Κωνσταντῖνος, ὁ καὶ Σιλουανὸν ἑαυτὸν ὀνομάσας. ἔστι δὲ ἡ αἵρεσις αὐτῶν οὕτως. Παυλικιάνοι οἱ καὶ Μανιχαῖοι μετωνομάσθησαν ἀντὶ Μανιχαίων Παυλικιάνοι ἀπὸ Παύλου τινὸς Σαμωσατέως, υἱοῦ γυναικὸς Μανιχαίας Καλλινίκης τοὔνομα, ἥτις δύο υἱοὺς ἔσχεν, τοῦτον τὸν Παῦλον 15 καὶ Ἰωάννην. τούτους οὖν τὴν Μανιχαϊκὴν αἵρεσιν διδάξασα ἐκ τοῦ Σαμωσάτου εἰς Ἀρμενιάκους κήρυκας τῆς αἱρέσεως αὐτῶν ἀπέστειλεν, οἵτινες ἐλθόντες εἰς κώμην τινὰ τῆς Φαναροίας ἐκεῖσε τὴν ἑαυτῶν αἵρεσιν ἐνέσπειραν. ἔκτοτε οὖν ἡ μὲν κώμη μετωνομάσθη Ἐπίσπαρις, οἱ δὲ μα-

3 παρευθὺ AV. — 4 μιζιζόν Exc. μήζηζον M νίζιζον E νιζίζιον R. — 5 μετὰ πολλῆς ναυμαχίας A μετὰ πλείστης δυνάμεως καὶ πολλῆς ναυμαχίας B μετὰ πλείστης δυνάμεως recc. quidam. — 6 μιζίζονι Exc. μείζηζον A μήζηζον M νίζιζον ER. — τὸν καὶ φονέα A καὶ *om.* Exc. — 7 ἐπανελθὼν ABP Exc. ἀνελθὼν rell. — 9 ἐφάνη AB. — 11 δὲ καὶ ἡ CV *et* recc. plerique. — 13 σαμουσατέως A *et* recc. quidam σαμοσατέως BEV. — 15 ἐκδιδάξασα P ἐκδιδάξας R. — 16 σαμοσάτου BEV. — ἀρμενιακοὺς BEV. — τῆς αὐτῶν αἱρ. V τῆς αἱρ. αὐτοὺς B τῆς αἱρ. αὐτῆς recc. nonnulli. — 18 φαναρροίας E φαναρείας B. — ἐγκατέσπειραν V διέσπειραν E.

8 καὶ ἐκλήθη πουγουνάτος *add. m. 2* P. — 9 *Sequentia de Paulicianorum haeresi* P *in fine imperii Constantini Copronymi exhibet.* — 9 ἐφ' ὧν — 11 οὕτως *om.* P, *qui sic incipit:* ἐφ' οὗ παυλικιάνοι. — 12 ἀπό τινος παύλου P. — 14 τοῦτον] τόνδε P. — 15 τούτους οὖν] οὓς γε P. — 16. 17 κήρυκας τῆς μυσαρᾶς αἱρέσεως αὐτῶν ἐκ σαμ. εἰς ἀρμ. ἀπέστειλεν P. — 18 πρῶτον ἐνέσπειραν P. — 19 ἐπίσπαρις μετωνομάσθη P.

θηταὶ αὐτῶν Παυλικιάνοι ἐκλήθησαν. οὗτοι οἱ Παυλικιάνοι 606 M.
μετὰ χρόνους τινὰς τῆς διδαχῆς τοῦδε τοῦ Παύλου [οὐ
πολλοὺς] ἕτερον ἔσχον διδάσκαλον Κωνσταντῖνον καλούμενον,
ὅστις ἑαυτὸν Σιλουανὸν μετωνόμασεν. τοῦτον οὖν ἔχουσιν
ἀρχηγὸν τῶν διδασκάλων αὐτῶν καὶ οὐχὶ τὸν Παῦλον. οὗτος 5
γὰρ αὐτοῖς παρέδωκε τὰς μὲν αἱρέσεις αὐτοῦ οὐκ ἐγγράφως
ἀλλὰ ἀγράφως κατὰ παράδοσιν, τὸ εὐαγγέλιον δὲ καὶ τὸν
ἀπόστολον ἐγγράφως ἀπαράλλακτα μὲν τῇ γραφῇ καὶ τοῖς
λόγοις ὡς καὶ τὰ παρ' ἡμῖν ὄντα αὐτοῖς παραδούς, δια-
στρέψας δὲ ἕκαστον κεφάλαιον πρὸς τὰς ἑαυτοῦ αἱρέσεις, 10
νομοθετήσας αὐτοῖς καὶ τοῦτο, μὴ δεῖν ἑτέραν βίβλον τὴν
οἱανοῦν ἀναγινώσκειν, εἰ μὴ τὸ εὐαγγέλιον καὶ τὸν ἀπόστολον.

Μετὰ δὲ Κωνσταντῖνον τὸν καὶ Σιλουανὸν δεύτερον
ἔσχον διδάσκαλον Συμεῶνα καλούμενον, μετονομάσαντα δὲ
ἑαυτὸν Τῖτον, τρίτον δὲ Ἀρμένιόν τινα τῷ γένει, Γενέσιον 15
μὲν καλούμενον, μετονομάσαντα δὲ ἑαυτὸν Τιμόθεον, τέταρ-
τον δὲ Ἰωσήφ, μετονομάσαντα δὲ ἑαυτὸν Ἐπαφρόδιτον, καὶ

---

2 *τῆς διδαχῆς om.* BD. — 3 *ἕτερον ἔσχον διδάσκαλον* B *ἕτερον ἔσχον* (*om. etiam διδάσκαλον*) V *οὐ πολλοὺς ἕτ. ἔσχον διδ.* ACD *πολλοὺς ἕτ. ἔσχον διδ.* E *πολλοὺς ἑτέρους εἶχον διδασκάλους* R. — 6 *μὲν* AB *om.* rell. — 7 *ἀλλ'* CDER. — 9 *αὐτοῖς* ABP *om.* rell. — 13 *τὸν om.* AB *et* recc. quidam. — 14 *συμεὼν* AV. — *δὲ αὐτὸν* BC *δ' ἑαυτὸν* recc. quidam *ἑαυτὸν* recc. plerique. — 15 *τίτον* ACDE *et* recc. plerique. — *γεγνέσιον* CDE. — 16 *καὶ τέταρτον ἰωσήφ* A *τέταρτον ἰωσήφ* B. — 17 *δὲ αὐτὸν* B *ἑαυτὸν* (*om. δὲ*) V.

1 *οὗτοι οἱ παυλ.*] *οἵ γε* P. — 2—10 *sic in* P: *τῆς διδ. τοῦ δυσωνύμου παύλου διδάσκ. ἕτ. ἔσχον κωνστ. καλ. ὃς ἑαυτ. σιλ. μετωνόμασεν. ὃν δὴ καὶ τῶν διδ. αὐτῶν ἀρχηγὸν ἔχ. μᾶλλον καὶ οὐχὶ τὸν π. οὗτος γὰρ αὐτοῖς παρέδ. τὰς μὲν ἀρρητοποιΐας καὶ δυσφημίας οὐκ ἐγγράφως, ἀλλὰ μυστικῶς τε καὶ ἀγράφως, τὸν δὲ ἀπόστολον καὶ τὸ εὐαγγέλιον ἐγγράφως ἀπαρ. μὲν τὰ παρ' ἡμῖν αὐτοῖς παραδούς, διαστρ. δὲ πρὸς τὴν ἑαυτοῦ κακόνοιάν τε καὶ αἵρεσιν ἕκαστον κεφ.* — 12 *ἀναγιν. ἢ παραδέχεσθαι πλὴν τὸ εὐάγγ. καὶ τὸν ἀπ. ὡς ἐξείληφε καὶ παρέδωκεν.* P. — 13 *τὸν κωνστ.* P. — *δεύτερον*] *ἕτερον* P. — 14. 15 *συμεῶνα μὲν ὠνομασμένοι μετον. δέ τι τὸν ἑαυτόν. μεθ' ὃν ἀρμ.* P. — 15 *καὶ γέν. μὲν* P. — 16—*p.* 720, 1 *τιμόθεον ἑαυτόν, ἔπειτα ἰωσὴφ καὶ μετακαλέσαντα ἑαυτὸν ἐπαφρ. εἶτα ζαχ.* P.

μετὰ τοῦτον Ζαχαρίαν· ἀλλὰ τοῦτον ὡς μισθωτὸν καὶ οὐκ ἀληθῆ ποιμένα ἀποβάλλονται ἔνιοι ἐξ αὐτῶν. ἕκτον τὸν Βαάνην τὸν Ῥυπαρόν, καὶ ἕβδομον ἔσχον τὸν Σέργιον τὸν καὶ Τυχικὸν ἑαυτὸν μετονομάσαντα. Μάνεντα τοίνυν καὶ 5 *Παῦλον καὶ Ἰωάννην καὶ ἄλλους, οὓς ἐάν τις εἴπῃ αὐτοῖς, προθύμως ἀναθεματίζουσιν, Κωνσταντῖνον δὲ τὸν καὶ Σιλουανὸν ἐπικληθέντα καὶ Συμεὼν τὸν καὶ Τῖτον καὶ Γενέσιον* 607 M. *τὸν καὶ Τιμόθεον καὶ Ἰωσὴφ τὸν καὶ Ἐπαφρόδιτον καὶ Βαάνην τὸν Ῥυπαρὸν καὶ Σέργιον τὸν καὶ Τυχικὸν ὡς* 10 *διδασκάλους αὐτῶν οὐδαμῶς ἀναθεματίζουσιν, ἀλλ' ἔχουσιν αὐτοὺς ὥσπερ ἀποστόλους Χριστοῦ.*

Λέγουσι δὲ καὶ ἓξ ἐκκλησίας ἐν τῇ ὁμολογίᾳ αὐτῶν· τὴν Μακεδονίαν, ἥτις ἐστὶ κάστρον Κολωνείας ἡ Κίβωσσα, ἣν ἐμαθήτευσε Κωνσταντῖνος ὁ καὶ Σιλουανὸς καὶ Συμεὼν 15 *ὁ καὶ Τῖτος· τὴν Ἀχαΐαν, ἥτις ἐστὶ κώμη Σαμωσάτου ἡ Μανανάλις, ἣν ἐμαθήτευσε Γενέσιος ὁ καὶ Τιμόθεος· τὴν τῶν Φιλιππησίων, τοὺς μαθητὰς λέγοντες Ἰωσὴφ τοῦ καὶ Ἐπαφροδίτου καὶ Ζαχαρίου τοῦ μισθωτοῦ ποιμένος παρ' αὐτῶν λεγομένου· τὴν τῶν Λαοδικέων, λέγουσι δὲ* 20 *τοὺς Ἀργαούτας, καὶ τὴν τῶν Ἐφεσίων, τοὺς ἐν Μομψου-*

5 *εἴποι* DR. — 7 *τίτον* CDP. — *γεγνέσιον* CD. — 13 *κολωνείας* BRV *κολονείας* A *κολωνίας* DE *κολονίας* C *καλωνείας* P. — *ἡ κίβοσσα* AR *τὴν κίβωσαν* B. — 15 *τίτος* ACDE *et* recc. quidam. — *σαμοσάτου* EV *et* recc. quidam. *σαμουσάτου* recc. alii *σαμοσάτων* B. — 16 *ἡ μανανάλις* P *ἡ μανάναλις* DV *ἡ μαναάλις* ER *ἡ μανάλις* (-*λης* A) AC *τὴν μάναλιν* B. — *γεγνέσιος* CD. — 20 *μομψουεστία* DR *μομψουἕστια* P *μόμψου ἑστία* E *μομψοῦ ἑστία* A *μοψουεστία* BV *μόψου ἑστία* C.

1 *μισθωτὸν*] *παρείσακτον* P. — 2 *τινὲς αὐτὸν ἀποβάλλονται* P. — 2. 3 *μεθ' ὃν βάνην τὸν ῥυπ. λεγόμενον καὶ γενόμενον καὶ σέργ.* P. — 5 *αὐτοῖς εἴπῃ* P. — 7 *συμεῶνα* P. — 9 *βάνην* P. — *ὡς μεγάλους διδασκάλους* P. — 10. 11 *ἀλλ' ὡς ἀποστ. χρ. καὶ μαθητὰς ἔχουσιν* P. — 12 *ἐν τῇ αὐτῶν ὁμολογίᾳ καὶ δεινοτάτῃ πίστει* P. — 13 *φρούριον καλωνείας ἡ κίβ. λεγομένη* P. — 14 *καὶ συμ. ὁ καὶ τῖτος om.* P. — 16 *μαν. καλουμένη* P. — *ἐδίδαξε* P. — 17 *τὴν τῶν* — 19 *λεγομένου om.* P. — 19 *τῶν om.* P. — 19. 20 *οὓς λέγ. τοὺς ἀργ.* P. — 20 *καὶ et τῶν om.* P.

εστίᾳ, καὶ τὴν τῶν Κολασσαέων, λέγουσι τοὺς Κοινοχωρίτας, ὥσπερ τρεῖς ἐκκλησίας, φησίν, Σέργιος ὁ καὶ Τυχικὸς ἐμαθήτευσεν. τούτους οὖν τοὺς ἑπτὰ αὐτῶν διδασκάλους καὶ τὰς ἓξ ἐκκλησίας ἔχουσιν ἐντίμους, οὓς καὶ σέβονται, πάντας δὲ τοὺς λοιπούς, οὓς ἐὰν εἴπῃ τις αὐτοῖς, καὶ ἀναθεματίζουσι καὶ ἀποβάλλονται. 5

Ἔχουσι δὲ πρώτην αἵρεσιν τὴν τῶν Μανιχαίων δύο ἀρχὰς ὁμολογοῦντες ὡς κἀκεῖνοι. λέγουσι δὲ οὗτοι ὅτι ἕν ἐστι μόνον τὸ διαχωρίζον ἡμᾶς ἐκ τῶν Ῥωμαίων, ὅτι ἡμεῖς μέν, φησίν, ἕτερον θεὸν λέγομεν ὑπάρχειν τὸν πατέρα τὸν ἐπουράνιον, ὃς ἐν τούτῳ τῷ κόσμῳ οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἐν τῷ μέλλοντι, ἕτερον δὲ θεὸν τὸν κοσμοποιητήν, ὅστις ἔχει τοῦδε τοῦ παρόντος κόσμου τὴν ἐξουσίαν. οἱ δὲ Ῥωμαῖοι, φησίν, ἕνα καὶ τὸν αὐτὸν θεὸν ὁμολογοῦσιν εἶναι καὶ πατέρα τὸν αὐτὸν ἐπουράνιον καὶ τοῦ κόσμου παντὸς ποιητήν. καλοῦσι δὲ ἑαυτοὺς μὲν χριστιανούς, ἡμᾶς δὲ Ῥωμαίους. λέγουσι δὲ πρὸς τοὺς ἀγνοοῦντας αὐτοὺς προθύμως· πιστεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὸν ἐπουράνιον πατέρα, καὶ ἀνάθεμα, φησίν, τῷ μὴ οὕτω πιστεύοντι, μεμελετημένως λίαν τὴν ἑαυτῶν κακίαν μεθο- 10 608 M. 15 20

1 κολασσαέων AEPR κολασαέων BDV κολασέων C. — κοινωχωρίτας P κοινοχωρῆτας A κυνοχωρίτας BDV. — 2 φασίν PR. — ἐμαθήτευσεν] ἀνεθεμάτισεν CDER. — 5 εἴπῃ ABEP εἴποι rell. — καὶ *om.* DP. — 12 τὸν (τοῦ B) κόσμου ποιητήν BR.

1 καὶ *et* τῶν *om.* P. — 1. 2 οὓς λέγ. τοὺς κοιν. τὴν φιλίππους ἅπερ σέργιος ἐκκλησίας τρεῖς φασὶν ὁ καὶ τυχικὸς ἐμαθ. P. — 3 διδασκάλους αὐτῶν P. — 4 ἐντίμους (*m. 1 corr. ex* ἐντίμως) ἔχοντες οἱ δυσσεβεῖς καὶ ἄθεοι σέβονται P. — 5 ἀναθεμ. φανερῶς καὶ P. — 7—11 καὶ πρώτην μὲν καὶ ἀρχαίαν ἔχουσιν αἵρεσιν τὴν ἀπὸ τοῦ μάνεντος δύο λέγοντες ἀρχὰς ὡς κἀκεῖνος, ἓν δὲ ἐστίν, φασίν, μόνον τὸ χωρίζον ἡμᾶς ἐκ τ. ῥ. ἐπειδὴ γάρ, φησίν, ἡμεῖς μὲν ἕτ. θ. λέγ. ὑπάρχ. τὸν ἐπουράνιον πατέρα, ὃς ἐν τῷ κόσμῳ τούτῳ παντελῶς ἐξουσ. οὐκ ἔχει νῦν P. — 12 ὅστι δ' ἔχει τοῦ παρ. κ. P. — 16 ποιητὴν καὶ πρύτανιν. οἵ γε χριστ. μὲν ἑαυτ. καλοῦσι P. — 18 εἰς πατέρα υἱὸν καὶ πνεῦμα ἅγιον τὸν ἐπουρ. ὄντα πατέρα P. — 20 πιστεύοντι, κακούργως καὶ λίαν δεινῶς τὴν ἑαυτ. κ. μεθοδ. οἱ ἀνόσιοι P.

12 ὅστι δ'ἔχει de Boor: ὅστι ἔχει collato cod. Paris. Coisl. 305 corr. Boissevain, Götting. Gel. Anz. 168 (1906) 378.

δεύοντες. οὐ γὰρ προστιθέασιν, ὅτε λέγουσι τὸν πατέρα τὸν ἐπουράνιον, ὅτι τὸν μόνον ἀληθινὸν θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς. χρὴ δὲ τὸν προσδιαλεγόμενον ὀρθόδοξον αἰτεῖν τὸν Μανιχαῖον τοῦ
5 εἰπεῖν τὸ σύμβολον τῆς πίστεως ὅ ἐστιν· πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων καὶ τὰ ἑξῆς. ἔπειτα δὲ βλασφημοῦσι μὲν εἰς τὴν παναγίαν θεοτόκον ἄμετρα, ἐὰν δὲ βιασθῶσι παρ' ἡμῶν ὁμολογῆσαι αὐτήν, ἀλληγορικῶς λέ-
10 γουσιν· πιστεύω εἰς τὴν παναγίαν θεοτόκον, ἐν ᾗ εἰσῆλθε καὶ ἐξῆλθεν ὁ κύριος, λέγουσι δὲ τὴν ἄνω Ἱερουσαλήμ, ἐν ᾗ πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός, καθώς φησιν ὁ ἀπόστολος, καὶ οὐ λέγουσι κατὰ ἀλήθειαν τὴν ἁγίαν Μαρίαν τὴν θεοτόκον οὐδὲ ἐξ αὐτῆς σαρκωθῆναι τὸν
15 κύριον. βλασφημοῦσι δὲ καὶ εἰς τὰ θεῖα μυστήρια τῆς ἁγίας κοινωνίας τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντες, ὅτι τὰ ῥήματα αὐτοῦ ὁ κύριος διδοὺς τοῖς ἀποστόλοις ἔλεγεν· λάβετε, φάγετε καὶ πίετε, οὐκ ἄρτον καὶ οἶνον, καὶ οὐ χρή, φησίν, προσάγεσθαι ἄρτον καὶ
609 M. 20 οἶνον. βλασφημοῦσι δὲ καὶ εἰς τὸν τίμιον σταυρὸν λέγοντες,

11 Hebr. 6, 20.

1 ὅτε] οὔτε AR. — 2 θεὸν *om.* BRV. — δὲ καὶ τὸν RV. — 5 τὸ σύμβολον — 7 ἑξῆς *multo uberius in* D. — 7 καὶ ἀοράτων *om.* CDEV. — 17 ἰησοῦ χριστοῦ *om.* AB.

1. 2 τὸν ἐπουράνιον πατέρα P. — 2 μόνον *om.* P. — τὸν καὶ ποιήσ. P. — 3 καὶ τὰ ἐν αὐτοῖς πάντα P. — 4 ἀπαιτεῖν εὐθὺς τὸν P. — τοῦ *om.* P. — 7—10 ἐπεὶ δὲ βλασφημοῦντες εἰς τὴν ἁγίαν θ. ἄμ. εἰ καταβιασθῶσι παρ' ἡμῶν αὐτὴν ὁμολ. πάλιν τῇ κακουργίᾳ χρώμενοι πιστεύομεν, ἀποκρίνονται, καὶ ἡμεῖς εἰς τὴν θεοτόκον P. — 11 ὁ κύριος. ἀλληγορικῶς γὰρ τοῦτο φάσκουσι τὴν ἄνω ἱερ. P. — 12 καθὼς φησιν ὁ ἀπόστ. *om.* P. — 14 τὴν *om.* P. — οὐδὲ παντελῶς ἐξ P. — 15—17 οὐ μὴν δὲ ἀλλὰ καὶ εἰς τὰ θεῖα μυστ. δυσφημοῦντες λέγουσι ὅτι τὰ ῥήματα P. — 19 ὅθεν οὐ χρή φησιν ἄρτον καὶ οἶνον προσάγ. P. — 20—*p.* 723, 10 *sic in* P: καί γε τὸν τίμιον σταυρὸν ἀθετοῦντες λέγουσι ὅτι

15 sqq. εἰς τὰ θεῖα de Boor: τὰ θεῖα collato cod. Paris. Coisl. 305 corr. Boissevain, l. c. p. 378.

ὅτι σταυρὸς ὁ Χριστός ἐστιν, οὐ χρὴ δὲ προσκυνεῖσθαι τὸ ξύλον ὡς κατηραμένον ὄργανον. τοὺς δὲ προφήτας καὶ τοὺς λοιποὺς ἁγίους ἀποβάλλονται, ἔτι δὲ καὶ τὸν ἅγιον Πέτρον τὸν μέγαν πρωτοαπόστολον πλέον πάντων καὶ δυσφημοῦσι καὶ ἀποστρέφονται, ἐξ αὐτῶν μηδένα τινὰ ἐν μέρει τῶν 5 *σωζομένων εἶναι λέγοντες, καθολικὴν ἐκκλησίαν τὰ ἑαυτῶν συνέδρια πρὸς ἡμᾶς ἐν τῇ ἀλληγορίᾳ αὐτῶν λέγοντες, πρὸς ἑαυτοὺς γὰρ ἐκεῖνοι προσευχὰς αὐτὰ λέγουσιν, βάπτισμα δὲ τὰ ῥήματα τοῦ εὐαγγελίου, καθώς φησιν ὁ κύριος· ἐγώ εἰμι τὸ ὕδωρ τὸ ζῶν.* 10

Ταῦτα πάντα καὶ πλείω τούτων, ὅτε φωραθῶσιν, ἀλληγοροῦσιν. ἀλλὰ χρὴ νουνεχῶς καὶ διωρισμένως αὐτοῖς εἰς πάντα διαλέγεσθαι. καὶ γὰρ καὶ τὸ ψεῦδος προχείρως ἔχουσιν ὡς νόμον οἰκεῖον, πάντοτε μέν, μάλιστα δέ, ὅταν βιασθῶσιν, διαψευδόμενοι καὶ λέγοντες καθὼς ἐὰν προσταχθῶσιν ἢ προ- 15 *τραπῶσι καὶ ἀνέγκλητοι ὄντες παρ' ἑαυτοῖς. οὕτω γὰρ αὐτοῖς ὁ Μάνης παρέδωκεν ὅτι· οὐκ εἰμι ἐγὼ ἄσπλαγχος, φησίν,*

---

9 Joh. 4, 10.

2 *τοὺς δὲ προφήτας* ABPV *δὲ om.* rell. — 3 *ἔτι δὲ* — 5 *ἀποστρέφονται v.* 6 *post λέγοντες ins. et alia plura add.* D. — 4 *μέγα* AR *om.* BC. — *πρωταπόστολον* DERV. — 5 *καὶ ἐξ* AR. — 8 *βαπτίσματα* DE. — 9 *καθός* A *καθά* RV. — 11 *πλεῖον τούτων* E *τούτων πλείων* A. — 13 *καὶ ante τὸ om.* BDR. — 14 *μέν om.* D. — *μάλιστα δὲ ὅταν* BV *μάλιστα ὅταν* CDR *μάλισθ' ὅταν* AE.

σταυρός ἐστιν ὁ χριστὸς καὶ οὐ δεῖ προσκ. τὸ ξ. ὡς ἐπάρατον ὄργανον. ἔτι δὲ τοὺς προφ. καὶ τοὺς ἀποστόλους ἐκ περιουσίας ἀποβαλλόμενοι καὶ μηδένα τούτων σώζεσθαι τὸ παράπαν λέγοντες καθολ. ἐκκλ. τὰ ἑαυτῶν συνέδρ. προσαγορεύουσιν, καὶ βάπτ. τοὺς λόγους τοῦ εὐαγγ. διὰ τὸ εἰρηκέναι τὸν κύριον· ἐγώ εἰμι τὸ ζῶν ὕδωρ. — 11 *καὶ τὰ πλείω* P. — *ὅτε φοραθῶσιν ἢ περιστατηθῶσιν εὐθὺς ἀλληγοροῦσιν καὶ δυσσεβῶς τε καὶ θεοστυγῶς παρερμηνεύουσιν οἱ ἐμβρόντητοι. διὸ δὴ λοιπὸν χρὴ* P. — 14—17 *πάντοτε μέν, διαφερόντως δὲ μάλισθ' ὅτ' ἂν βιασθ. ὡς ἀνέγκλητον χρώμενοι τοῦτο κατὰ τὴν παράδοσιν μάνεντος. ἔφη γὰρ ἐκεῖνος ὁ ἀντίχριστος ὅτι οὐκ εἰμι* P. — 17 *φησίν om.* P.

ὡς ὁ Χριστὸς ὁ εἰπών· ὅστις με ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγώ. ἀλλ' ἐγὼ λέγω· τοῦ ἀρνουμένου με ἔμπροσθεν τῶν ἀνθρώπων καὶ τῷ ψεύδει τὴν οἰκείαν σωτηρίαν ποριζομένου ὡς μὴ ἀρνουμένου με μετὰ
5 χαρᾶς προσδέχομαι καὶ τὴν ἀνάκλησιν καὶ τὸ ψεῦδος ὡς τὴν πρὸς ἐμὲ ὁμολογίαν ἀνευθύνως.

Ὁμοίως μέντοι καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς λοιποὺς ἱερεῖς τοὺς παρ' ἡμῖν ἀποβάλλονται. ἐκεῖνοι δὲ καὶ τοὺς ἱερεῖς αὐτῶν συνεκδήμους λέγουσι καὶ νοταρίους ἀδιαφό-
610 M. 10 ρους πᾶσιν αὐτοῖς ὄντας καὶ τοῖς σχήμασι καὶ ταῖς διαίταις καὶ πάσῃ τῇ τοῦ λοιποῦ βίου κατασκευῇ. ἔχουσι δὲ πάντα τὰ τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου ῥητὰ διάστροφα πρὸς τὰ παρ' ἡμῖν ὄντα ἐναντία, παρ' αὐτῶν δὲ συντεθέντα ὡς δῆθεν ἁρμόζοντα ταῖς οἰκείαις αὐτῶν αἱρέ-
15 σεσιν. ὡς γὰρ εἴρηται τῇ γραφῇ καὶ τοῖς λόγοις οὕτως εἰσὶν ὡς καὶ τὰ παρ' ἡμῖν ἀπαράλλακτα, τὰ δὲ νοήματα διαστρέφουσιν, καθὼς περὶ τούτων σαφέστερον ἐν τοῖς διὰ πλάτους μοι λέλεκται. προσκυνοῦσι δὲ τὸ παρ' ἡμῖν εὐαγγέλιον ὅτε τύχοι οὐκ ἐν τῷ σταυρῷ, ἀλλ' ἐν τῷ βιβλίῳ λέγοντες ὅτι·
20 λόγοι τοῦ Χριστοῦ εἰσι καὶ διὰ τοῦτο αὐτοὺς προσκυνοῦμεν. ἐν ἀσθενείᾳ δὲ καὶ πόνῳ τινὲς ἐξ αὐτῶν ὅτε περιπέσωσιν, τὸν

---

1 Matth. 10, 33.

1 ὁ *ante* εἰπών *om.* BP. — ἀρνήσειται (-ειτε E) DE ἀρνήσεται ARV. — 7 τοὺς λοιποὺς AB τοὺς *om.* rell. — 18 ὅτε τύχοι ABR (εἰ τύχοι P) ὅτε τύχῃ rell. — 21 περιπέσουσιν V πέσωσιν B.

2 τὸν ἀρνούμενόν με καταβίαν ἔμπροσθεν P. — 4 ἰδίαν P. — ποριζόμενον ὡς μὴ ἀρνησάμενόν με παντελῶς προσδέχ. μετὰ χαρᾶς καὶ οὐκ ὀνειδίσω P. — 5 καὶ τὴν ἀνάκλησιν — 18 λέλεκται *om.* P. — 18 δὲ καὶ τὸ P. — 21 ἐν ἀσθενείᾳ — p. 725, 11 λέγουσιν *sic in* P: καίτοι γε διαστρόφως τά τε κυριακὰ καὶ ἀποστολικὰ λόγια κατὰ τὸν οἰκεῖον σκοπὸν συνθέντες καὶ παραφθείραντες οἱ θεομισεῖς καὶ διεφθαρμένοι. καὶ γοῦν ἐν ταῖς ἐκκλησίαις τῶν ὀρθοδόξων ἔσθοτε παραγινόμενοι καὶ τῶν μυστηρίων ἔνιοι μεταλαμβάνουσιν, καὶ ἄλλα τινὰ μεθ' ὑποκρίσεως καὶ δόλου προφανῶς ποιῶσι διὰ τὸ δυσφώρατον καὶ πολυποίκιλόν τε καὶ πολύ-

σταυρὸν ἐπιτιθέασιν ἑαυτοῖς, καὶ ὑγείας τυγχάνοντες πάλιν αὐτὸν συγκλῶσι καὶ εἰς πῦρ βάλλουσι πρὸς τὸ κατακαῦσαι, ἢ καταπατοῦσιν αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν καὶ τὰ παιδία ἑαυτῶν βαπτίζουσιν ὑπὸ τῶν ἡμετέρων πρεσβυτέρων αἰχμαλώτων ὄντων παρ' αὐτοῖς, ἕτεροι δὲ εἰσερχόμενοι ἐν τῇ ἐκ- 5
κλησίᾳ τῇ ἡμετέρᾳ τῶν ὀρθοδόξων λεληθότως τῶν θείων μυστηρίων μεταλαμβάνουσι πρὸς πλείονα ἐξαπάτην τῶν ἁπλουστέρων. ταῖς τοιαύταις μεθοδείαις καὶ ὑποκρίσεσι χρώμενοι, πάσῃ δὲ ἀκολασίᾳ τε καὶ μιασμῷ ἑκατέρας ἀνθρώπων φύσεως ἀδιαφόρως καὶ ἀδεῶς χρῶνται. τινὰς δὲ ἐξ αὐτῶν 10
πρὸς τοὺς γονεῖς καὶ μόνον ἑαυτῶν διαφέρεσθαι λέγουσιν.

[κε'. Περὶ Κωνσταντίνου τοῦ Πωγωνάτου.]

Μετὰ δὲ Κώνσταν ἐβασίλευσε Κωνσταντῖνος υἱὸς αὐτοῦ ἔτη ιζ' καὶ ἀπέθανε δυσεντερικῶς. ἐφ' οὗ γέγονεν ἡ ἕκτη 611 M.
σύνοδος τῶν ρο' πατέρων ἐν Κωνσταντινουπόλει. ἡ δὲ ἕκτη 15
σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει συνελθόντων ρο'

3 τὰ παιδία αὐτῶν B τὰ ἑαυτῶν παιδία D. — 8 μεθοδίαις ACDV. — 11 *Permulta alia add.* D. — 13 μετὰ δὲ κ. υἱὸν κωνσταντίνου ἔγγονον δὲ ἡρακλείου ἐβασ. κωνστ. ὁ πωγονάτος (πογωνάτος alii) ὁ τῆς δύσεως R. — κῶνσταν N. — υἱὸς αὐτοῦ ὁ πωγωνάτος V. — 14 δυσεντερικός ACN. — 15 ρο' ἁγίων πατέρων BM. — ἐν κωνσταντινουπόλει *om.* CM. — *Post* κωνσταντινουπόλει AB *add.*: ἀπὸ γοῦν τῆς ε' ἕως τῆς ς' συνόδου γίνονται ἔτη ρκθ'. *Eadem fere in mg.* LN *et* recc. quidam. — 16 συνελθόντων B συνελθόντων τῶν C συνελθοῦσα A συνελθοῦσα τῶν ENRV.

μορφον τῆς δαιμονιώδους αὐτῶν πονηρίας πρὸς ἀπάτην καὶ θήραν τῶν ἁπλουστέρων καὶ ἀμαθεστέρων. πάσῃ δέ γε κατακόρως γυναικομανίᾳ καὶ ἀνδρομανίᾳ μετιόντες ὡς ἔννομον οἱ ἄνομοι τὰς αἰσχρουργείας καὶ ἀκολασίας ἡγοῦνται. — 15 ἡ δὲ ἕκτη — *p.* 726, 23 *sic in* P: κατὰ σεργίου κωνσταντινουπόλεως καὶ πύρου καὶ τῶν ὁμοφρόνων αὐτῶν μονοθελητῶν, οὓς καὶ ἀναθεματίσαντες οἱ θεῖοι πατέρες καὶ ἐπικυρώσαντες λέγεσθαι δύο φύσεις ἐπὶ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ καὶ δύο φυσικὰ θελήματα καὶ τὰς ἐνεργείας αὐτῶν ἐξεφώνησαν κανόνα καὶ περὶ τῶν ἱερῶν τῆς χριστοῦ οἰκονομίας συμβόλων οὕτως· ἔν τισι κ.τ.λ.

ἁγίων πατέρων ἔτει τῆς βασιλείας Κωνσταντίνου τοῦ πατρὸς Ἰουστινιανοῦ ιγ΄. ἧς ἡγοῦντο Θεόδωρος καὶ Γεώργιος πρεσβύτεροι καὶ Ἰωάννης διάκονος τοποτηρηταὶ Ἀγάθωνος πάπα Ῥώμης, Γεώργιος Κωνσταντινουπόλεως, Θεοφάνης Ἀντιοχείας
5 ὑπ᾽ αὐτῆς χειροτονηθεὶς τῆς συνόδου διὰ τὸ τὸν προηγησάμενον Μακάριον καθαιρεθῆναι τότε ὡς ἀντενεχθέντα τοῖς ὑπ᾽ αὐτῶν ὀρθοδόξως δογματιζομένοις, τῆς δὲ διοικήσεως Ἀλεξανδρείας Πέτρος μοναχός, τῆς δὲ Ἱεροσολύμων ὁ δεῖνα, διὰ τὸ τοὺς θρόνους χηρεύειν πατριαρχῶν κατασχεθέντας
10 τηνικαῦτα ὑπὸ τοῦ Σαρακηνῶν ἔθνους, κατὰ Θεοδώρου τοῦ τῆς Φαρὰν ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου τε καὶ Πύρου καὶ Παύλου καὶ Πέτρου Κωνσταντινουπόλεως γεγονότων ἐπισκόπων, ἔτι δὲ καὶ κατὰ τῶν ἀνακαινισάντων τὴν αἵρεσιν τούτων ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ
15 αἱρετικῶν, τοῦτ᾽ ἔστι Μακαρίου τοῦ ὀνομασθέντος Ἀντιοχείας προέδρου, Στεφάνου τοῦ τούτου μαθητοῦ, ἔτι δὲ καὶ Πολυχρονίου τοῦ νηπιόφρονος γέροντος λεγόντων ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ θεοῦ. οὓς ἀναθεματίσασα ἐξεφώνησε δύο θελήματα φυσικὰ ἤγουν
20 θελήσεις καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τοῦ ἑνὸς δείκνυσθαι Χριστοῦ τοῦ θεοῦ ἡμῶν.

Ὡσαύτως καὶ περὶ τῶν ἱερῶν τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν οἰκονομίας συμβόλων ἐξέθετο οὕτως· ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ προδρόμου

10—18 *cf.* Nicephori Patr. Epist. ad Leonem III papam. Migne Tom. 100, 193. — 22—*p.* 727, 15 Concilii Sexti canon 82. Mansi Tom. XI, 977.

2 ιγ΄ *om.* N. — 5 τὸ *om.* ARV. — 8 κατασχεθέντος RV κατασχεθέντων L. — 11 ὀνωρίου E ὀνορίου recc. quidam ὀνορίου M ονορίου *sine spir.* A. — 12 πύρρου E *et* recc. nonnulli. — 13 καὶ *om.* MR. — κατὰ *om.* B. — 14 ἐν ταύτῃ] ἐνταῦθα RV. — 16 τούτου τοῦ μαθ. D τοῦτου μαθ. A τοῦ μαθ. M τοῦ αὐτοῦ μαθ. R τοῦ μαθ. αὐτοῦ B. — 18 ἰησοῦ χριστοῦ BCELMRV ἰησοῦ *om.* AD Nic. — 20 δείκνυσθαι *post* ἡμῶν *ins.* codd. *praeter* AB. — 22 τῆς πίστεως χριστοῦ C. — 23 οἰκονομίας *om.* CRV.

δεικνύμενος ἐγχαράσσεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου καὶ προφητῶν προϋπεμφαίνων ἀμνὸν Χριστὸν τὸν θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι τὴν 5 χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν 10 ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν, δι᾽ αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ θεοῦ λόγου κατανοοῦντες καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως. 15

Ἐφ᾽ ὧν χρόνων ἦλθον οἱ Σαρακηνοὶ ἐν στόλῳ μεγάλῳ κατὰ τῆς Κωνσταντινουπόλεως, καὶ προσορμίσαντες κατὰ τὴν παράλιον τοῦ Ἑβδόμου, ἀντιπαρατάσσεται αὐτοῖς Κωνσταν- 612 M. τῖνος, ὑφ᾽ ὧν πλεῖσται ναυμαχίαι καθ᾽ ἑκάστην ἡμέραν ἐγίνοντο ἀπὸ ἐαρινοῦ καιροῦ μέχρι τοῦ φθινοπώρου. τοῦ 20 δὲ χειμῶνος ἐπιγινομένου διαπεραιωθεὶς ὁ τῶν Σαρακηνῶν στόλος ἐχείμαζεν ἐν Κυζίκῳ, καὶ πάλιν ἔαρος ἀρχομένου ἐκεῖθεν ἀναχθεὶς ὁμοίως τοῦ διὰ θαλάσσης εἴχετο πολέμου. ἑπτὰ οὖν ἔτεσι τοῦ πολέμου διαρκέσαντος οὐδὲν πλέον

16—*p.* 728, 5 *cf.* Niceph. Breviar. *p.* 32.

1 ἐνχαράσσεται NV ἐγχαράσεται E ἐγχαράττεται R Mansi ἐνχαράττεται A. — ὃς] ὧς A ὡς NR. — 9 τοῦ *ante* κόσμου *om.* DEL. — ἀμνὸν BM. — 12 δι᾽ αὐτοῦ τὸ BL Mansi διοῦ τὸ P διὰ τὸ (διατὸ A) ACENV διὰ τοῦτο R. — 17 προσορμήσαντες ACDEP (προσωρμίζετο Nic.). — 21 ἐπιγενομένου BMR. — 22 ἐρχομένου BM. — 23 ἀχθεὶς ADP (ἀνταναχθεὶς Nic.).

16 σαρακ. ἐν κωνσταντινουπόλει ἐν στ. μεγ. P. — 24 ἔτη P.

ὁ τῶν Σαρακηνῶν ἤνυσε στόλος, ἀλλὰ πολλοὺς καὶ ἀναριθμήτους μαχίμους ἄνδρας ἀποβαλὼν ὑπέστρεψε πρὸς τὰ ἴδια. ἐν δὲ τοῖς μέρεσι τοῦ Συλλαίου γενόμενος καὶ ὑπὸ σκληρῶν καὶ ῥαγδαίων ἀνέμων καὶ θαλασσίου κλύδωνος 5 κατασχεθεὶς ἄρδην ἀπώλετο.

Μετὰ δὲ ταῦτα οἱ τοῦ θέματος τῶν ἀνατολικῶν ἐλθόντες ἐν Χρυσοπόλει ἔκραζον λέγοντες· εἰς τριάδα πιστεύομεν, τοὺς τρεῖς ἀναγορεύσωμεν καὶ στέψωμεν. ἐφ' οἷς θυμωθεὶς Κωνσταντῖνος διότι μόνος ἦν ἐστεμμένος, οἱ δὲ δύο αὐτοῦ ἀδελ- 10 φοὶ οὐδεμίαν ἀξίαν εἶχον, ἀποστέλλει πρὸς αὐτοὺς πατρίκιον ὡς δῆθεν ἀποδεχόμενος τοῦτο, καὶ προσκαλούμενος αὐτῶν τὰ πρωτεῖα βουλεύσασθαι μετὰ τῆς συγκλήτου, καὶ δὴ εἰσελθόντων ἐν τῇ πόλει, τούτους μὲν ἀνεσκολόπισεν, τοὺς δὲ ἀδελφοὺς αὐτοῦ ἐρινοτόμησεν.

613 M. 15 Καθ' ὃν χρόνον τὸ τῶν Βουλγάρων ἔθνος ἀπὸ τοῖς ἀρκτῴοις περατικοῖς μέρεσι τοῦ Εὐξείνου πόντου ἐκ τῆς λεγομένης Μαιώτιδος λίμνης ἐπῆλθε τῇ Θρᾴκῃ μετὰ πολλῆς πτωχείας καὶ ἀπορίας. ὅπερ μαθὼν Κωνσταντῖνος καὶ σφόδρα

6—14 *cf.* Theoph. *p.* 352, 14. — 15—18 *cf.* Theoph. *p.* 356, 18. — 18—*p.* 729, 14 *cf.* Theoph. *p.* 358, 11.

1 ἤνυε EV ἴσχυσεν ἀνύσαι B. — 2 ἄνδρας μαχίμους A *et* recc. multi. Nic. μαχίμους *om.* B. — 3 συλλαίου AC σιλλαίου MV *et* recc. quidam συλλέου DP συλαίου BEL σιλαίου recc. alii. — 9 στεμμένος CP. — 10 εἶχον ἀξίαν R ἐξουσίαν εἶχον Exc. de insid. — 15 καθ' ὧν χρόνων ADV καθ' ὧν χρόνον C καθ' ὃν χρόνων M. — ἀπὸ τῶν ἀρκτῴων περατικῶν μερῶν BR. — 17 μεώτιδος ANP μαιότιδος BV μεσότιδος CL μεσόπιδος R.

1. 2 πολλούς τε μαχίμους (*om.* καὶ ἀναρ.) P Nic. — 2 ἀποβαλὼν καὶ δεινῶς τραυματισθέντες καὶ ἡττηθέντες ὑπέστρεψαν P Nic. — 3 γενόμενοι P. — 5 καταληφθέντες ἄρδην ἀπώλοντο πλοῖα χίλια τριακόσια παμμεγέθη παρεκτὸς τέσσαρα μόνα P. — 7 πιστεύωμεν P. — 8 θυμωθεὶς] χαλεπήνας P. — 9 οἱ δὲ λοιποὶ δύο ἀδελφοὶ αὐτοῦ P. — 10 πατρίκιον πρὸς αὐτοὺς P. — 12 συγκλήτου καὶ τὸ θέλημα αὐτῶν ποιῆσαι P Theoph. — 13 ἐν τῇ πόλει εὐθὺς ὁ βασιλεὺς τούτους μὲν ἀνεσκ. εἰς τὴν ἱερείαν P (ἀντιπέραν ἐν συκαῖς Theoph.).

λυπηθεὶς ἐξώρμησε κατ' αὐτῶν μετὰ πλείστης ναυμαχίας τε καὶ πεζομαχίας, καὶ διὰ μὲν τῆς ἠπείρου τοῦ ποταμοῦ Δανούβη τὰ πεζικὰ παρατάξας, διὰ δὲ τῆς πλησιαζούσης ἀκτῆς τὰς ναῦς προσορμίσας, οἱ Βούλγαροι λίαν φοβηθέντες εἰς ὀχύρωμα δυσάλωτον ἑαυτοὺς ἠσφαλίσαντο. τοῦ δὲ βασιλέως 5
ὀξυπαθήσαντος ἐν ποδαλγίᾳ καὶ ἐπὶ Μεσέμβρειαν ἐκβιασθέντος ὑποστρέψαι χάριν βαλανείου μετὰ δρομώνων ε', κατέλιπε τὸν λαὸν καὶ τοὺς στρατηγοὺς κελεύσας παρακαθέζεσθαι καὶ πολεμεῖν τὸ ἔθνος. ὁ δὲ λαὸς τὸν βασιλέα φεύγειν νομίσας εἰς τροπὴν ἔδωκε μηδενὸς διώκοντος. οἱ δὲ Βούλ- 10
γαροι θεασάμενοι καὶ τοῦ ὀχυρώματος ὑπεξελθόντες ἐπεδίωξαν ὀπίσω αὐτῶν, καὶ πολλοὺς ἀνελόντες καὶ λαφυραγωγήσαντες [τὰ αὐτῶν] ἐκράτησαν ἔκτοτε καὶ κατεκυρίευσαν τὴν τῶν χριστιανῶν χώραν. ὅθεν ἀναγκασθεὶς ὁ βασιλεὺς εἰρήνευσε μετ' αὐτῶν πάκτα δοὺς ἐπ' αἰσχύνῃ τῶν Ῥωμαίων 15
ὡς ληϊζομένους πᾶσαν τὴν Θρᾴκην καὶ τὰ ἐπέκεινα ταύτης.

[κϛ'. *Περὶ Ἰουστινιανοῦ.*]

Μετὰ δὲ Κωνσταντῖνον ἐβασίλευσεν Ἰουστινιανὸς υἱὸς 615 M.
αὐτοῦ ἔτη ι'. οὗ ἐπιστρατεύσαντος ἐπὶ τὰ δυτικὰ μέρη πολλὰ 616 M.
τῶν Σκλάβων πλήθη τὰ μὲν πολέμῳ, τὰ δὲ λόγῳ παραλαβὼν 20
ὑπέστρεψεν. ἀφ' ὧν ἐπιλεξάμενος καὶ στρατεύσας χιλιάδας λ'

14—16 *cf.* Theoph. *p.* 359,19. — 19—21 *cf.* Theoph. *p.* 364,11. — 21—*p.* 730, 22 *cf.* Theoph. *p.* 365, 30.

1 *πλείστης*] *πολλῆς τῆς* A *πολλῆς* R. — *τε om.* MR. — 2 *δανούβι* B *δούναβι* M. — 3 *ἀκτὶς* ABN. — 4 *προσορμήσας* ACNP. — 6 *μεσέμβρειαν* V *μεσέμβριαν* ACL *μεσέμβρίαν (sic)* P *μεσύμβριαν* M *μεσημβρίαν* BER. *In* D *μεσιμβρίαν ex μεσημβρίαν corr. vid.* — 7 *δρομόνων* ACEMPR *δρόμων* D. — *κατέλειπε* EN. —
10 *ἔδωκαν* A *et ut vid.* M *ἔδῶ* B. — 13 *τὰ ἑαυτῶν* E *om.* PV. — 16 *λαϊζομένους* P *ληϊζομένων* LR. — 18 *υἱὸς αὐτοῦ om.* CV.

5 *ἀσφαλίζονται πλησίον τοῦ δανούβη* P (*ἀσφαλίζονται etiam* Theoph.). — 10 *νομίσας ἔφυγεν αὐτίκα μηδενὸς* P. — *οὓς οἱ βούλγ. θεασάμενοι* P. — 11 *ὑπεξ. καὶ ἐπιδιώξαντες καὶ πολλοὺς* P. — 19 *ὃς ἐπιστρατεύσας* P.

λαὸν περιούσιον αὐτοὺς ἐπωνόμασεν, οὓς δὴ καὶ καθοπλίσας καὶ ἰδιοποιησάμενος καὶ τῇ τούτων ἀνδρείᾳ καὶ συμμαχίᾳ πεποιθὼς γράφει τοῖς Σαρακηνοῖς ὡς μὴ ἐμμένειν αὐτὸν τῇ ἐγγράφως συμφωνηθείσῃ μεταξὺ Ῥωμαίων καὶ Σαρακηνῶν
5 *εἰρήνῃ, καὶ λαβὼν τὸν περιούσιον ἐκεῖνον λαόν, μᾶλλον δὲ ἀνόσιον, καὶ τὰ λοιπὰ στρατεύματα πρὸς τὴν Σεβαστόπολιν ἀπῆρεν· ἐν ῇ καὶ οἱ Σαρακηνοὶ παραγενόμενοι καὶ προμαρτυρόμενοι αὐτῷ τὰ μεθ' ὅρκων συμφωνηθέντα μὴ διαστρέψαι, ἐπεί τοί γε κριτὴς ὁ θεὸς καὶ ἔκδικος γενήσεται περὶ τού-*
10 *των, οὐ κατεδέξατο παντελῶς τὰ τῆς εἰρήνης ὁ βασιλεύς, ἀλλὰ πρὸς μάχην παρετάσσετο. καὶ δὴ παραυτίκα λύσαντες οἱ Σαρακηνοὶ τὸν τῆς εἰρήνης ἔγγραφον χάρτην καὶ ἐπὶ δόρατος ἀναρτήσαντες ὥρμησαν κατὰ Ῥωμαίων, καὶ συμβολῆς γενομένης ηὐτομόλησαν ἐκ τῶν Σκλάβων ἐκείνων πρὸς τοὺς*
15 *Σαρακηνοὺς χιλιάδες κ΄. καὶ οὕτω τῶν Ῥωμαίων δεινῶς*
17 M. *τραπέντων καὶ ἀναριθμήτων σφαγέντων, ἡ δικαιοκρισία καὶ νίκη πρὸς τοὺς ἐναντίους ἐχώρησε διδάσκουσα μὴ παραβαίνειν θεῖον ὅρκον πώποτε, κἂν πρὸς ἐναντίους καὶ ἀπίστους γένηται. πεφευγότος δὲ τοῦ βασιλέως καὶ ἐν τῷ παρα-*
20 *θαλασσίῳ τοῦ Λευκάτου μετ' αἰσχύνης πολλῆς καὶ ἥττης ἐλθόντος, ἀνεῖλε τὰς περιλειφθείσας δέκα χιλιάδας τῶν Σκλάβων σὺν γυναιξὶ καὶ τέκνοις. ὅθεν ἐπὶ πλεῖον ἔκτοτε θρασυνθέντες οἱ Σαρακηνοὶ σφοδρότερον διελυμαίνοντο τὴν*

22—*p.* 731, 1 *cf.* Theoph. *p.* 367, 1.

1 *καὶ om.* M *et* recc. quidam. — 3 *πεποιθότως* CM *πεποιθώτος* E *πεποιθῶτος* D *m. 1 ut vid.* *θαρρῶν* B. — *μένειν* RV. — *αὐτῶ* CE *αὐτῶν* D *m. 2 corr.* — 4 *ἐγγραφῶς* E *ἐγγράφω* AMP. — 5 *λαὸν ἐκεῖνον* BDR. — *δὲ καὶ ἀνόσιον* A *δὲ τὸν ἀν.* P. — 7 *προμαρτυρόμενοι* BEP *προμαρτυρούμενοι* rell. — 13 *κατὰ τῶν ῥωμ.* BE. — 19 *γεγένηται* CEM.

4 *ῥωμαίων τε καὶ* P. — 14—16 *ἐκείνων χιλιάδες κ΄ πρὸς τοὺς σαρακηνούς. καὶ οὕτως εὐθὺς οἱ ῥωμαῖοι τραπέντες καὶ πολλοὶ τραυματισθέντες καὶ σφαγέντες ἡ δικαιοκρ.* P. — 21 *χιλιάδας ἐκ τῶν* P.

Ῥωμανίαν ἔχοντες μεθ' ἑαυτῶν καὶ τὰς κ' χιλιάδας τῶν προσφυγόντων Σκλάβων. ὁ δέ γε βασιλεὺς εἰσελθὼν ἐν τῇ πόλει καὶ ἀμεριμνήσας ἐξεβιάζετο Καλλίνικον τὸν πατριάρχην εὐχὴν ποιῆσαι, ἵνα καταλύσῃ τὴν πλησίον οὖσαν τοῦ παλατίου ἐκκλησίαν τῆς θεοτόκου τῶν Μητροπολίτου λεγομένην, 5 *θέλων ἐν τῷ τόπῳ στῆσαι φιάλην καὶ βάθρα κτίσαι τοῦ δήμου τῶν Βενέτων, ὅπως ἐκεῖ τὸν βασιλέα δέχωνται. πρὸς* 618 M. *ὃν ὁ πατριάρχης ἔλεγεν ὅτι· εὐχὴν μὲν ἐπὶ συστάσει ἔχομεν, ἐπὶ δὲ καταλύσει ἐκκλησίας οὐδαμῶς παρελάβομεν. ἐπεὶ οὖν κατηνάγκασεν αὐτὸν ὁ βασιλεὺς καὶ φονικῇ βίᾳ τὴν εὐχὴν* 10 *ἠπαίτει, μόγις ποτὲ ἔφη ὁ πατριάρχης· δόξα τῷ θεῷ τῷ ἀνεχομένῳ πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὅπερ ἀκούσας ὅ τε βασιλεὺς καὶ ὁ ἀγυρτώδης ὄχλος καὶ τὸ ἀμὴν ἐπιβοήσαντες κατέλυσαν παραχρῆμα τὴν ἐκκλησίαν. καὶ ποιήσας τὴν φιάλην ἔκτισεν ἑτέραν ἐκκλησίαν* 15 *εἰς τὸ Πετρὶν καὶ προσηγόρευσεν αὐτὴν τῶν Μητροπολίτου. καθ' ὃν χρόνον στασιάσας Λεόντιος ὁ πατρίκιος ἀναγορεύεται* 619 M. *νυκτὸς ὑπὸ τοῦ δήμου τῶν Βενέτων βασιλεύς. ἡμέρας δὲ γενομένης ἐξαγαγὼν Ἰουστινιανὸν εἰς τὸ ἱππικὸν καὶ ῥινοτομήσας ἅμα καὶ γλωσσοτομήσας αὐτὸν ἐξώρισεν εἰς Χερσῶνα.* 20

[κζ'. *Περὶ Λεοντίου.*]

Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσε Λεόντιος ἔτη γ'. ἐφ'

2—16 *cf.* Theoph. *p.* 368, 1. — 17—20 *cf.* Theoph. *p.* 368, 22. — 22—*p.* 732, 8 *cf.* Theoph. *p.* 370, 6.

1 *μετ' αὐτῶν* N. — 5 *τῶν* ABP *τὸν* D (*qui postea λεγόμενον*) *τοῦ* C *τὴν* M *τὰ* RV *et* E *lit. corr. ex τῶ.* — 8 *ὁ om.* PR. — *ἔχωμεν* NP. — 9 *οὐδαμοῦ* B *et* recc. quidam. — 11 *ἠπέτει* CD *ἡπέτει* AE *ὑπέτει* M *ἀπήτει* BRV. — 13 *τε om.* BEMR. — *ὄχλος*] *λαὸς* AB. — 16 *εἰς τὸ πετρὴν* MP *εἰς τὸ πέτριν* V *ἐν τῷ πετρίνῳ* recc. plerique. — *τῶν* ABP *τὸν* D *τὴν* M *τὰ* CERV. — 20 *ἅμα καὶ γλωσσοτομήσας om.* RV. — *ἐν χερσῶνι* RV.

1. 2 *ἔχοντες καὶ τοὺς προσφύγους σκλάβους* P. — 10. 11 *τὴν εὐχὴν ἀπαιτοῦντος ἔφη· δόξα* P. — 18 *ὃς ἡμέρας γενομένης* P. — 20 *αὐτὸν om.* P.

οὗ ἐπιστρατευσάντων τῶν Σαρακηνῶν κατὰ τῆς Ἀφρικῆς, τὸν Ῥωμαϊκὸν στόλον κατ' αὐτῶν ἀπέστειλεν. τῶν δὲ πολε-
620 M. μησάντων καὶ νικησάντων αὐτοὺς κατὰ κράτος, ἀνηγόρευσαν ἑαυτοῖς βασιλέα Ἀψίμαρόν τινα καλούμενον. ὃς καὶ κατα-
5 λαβὼν ἅμα τῷ συνόντι αὐτῷ λαῷ τε καὶ στόλῳ τὴν πόλιν εἰσῆλθε κατὰ προδοσίαν διὰ τῆς τῶν Βλαχερνῶν πόρτης, καὶ τὸν Λεόντιον χειρωσάμενος καὶ ῥινοτομήσας αὐτον ἐν τῇ μονῇ τῆς Δαλμάτου περιώρισεν.

[κη'. Περὶ Ἀψιμάρου.]

10 Μετὰ δὲ Λεόντιον ἐβασίλευσεν Ἀψίμαρος ὁ καὶ Τιβέριος ἔτη ζ'. διώνυμος γὰρ ἦν ὡς Ἰακὼβ καὶ Ἰσραήλ, ὡς Ἰοθὼρ καὶ Ῥαγουήλ, ὡς Σίμων καὶ Πέτρος, ὡς Θωμᾶς καὶ Δίδυμος,
621 M. ὡς Θαδδαῖος καὶ Λεββαῖος. τοῦ δὲ Ἰουστινιανοῦ ἐκ Χερ-
622 M. σῶνος φυγόντος καὶ πρὸς τὸν ἄρχοντα Βουλγαρίας ἐλθόντος,
15 ἀφ' οὗ καὶ λαὸν ἄπειρον εἰληφότος διὰ πολλῶν ὑποσχέσεων καὶ πρὸς τὴν πόλιν ἐλθόντος, εἰσῆλθε σὺν ὀλίγοις ὁμοφύλοις διὰ τοῦ ἀγωγοῦ κατὰ προδοσίαν. ὅπερ μαθὼν Ἀψίμαρος εἰς Ἀπολλωνιάδα φεύγει.

[κθ'. Περὶ Ἰουστινιανοῦ τὸ δεύτερον.]

623 M. 20 Μετὰ δὲ Ἀψίμαρον ἐβασίλευσε πάλιν Ἰουστινιανὸς ὁ ῥινογλωσσότμητος ἔτη ζ'. ὃς τὸν μὲν Ἀψίμαρον κατασχὼν καὶ

11—13 Theodoret. in Num. Quaest. 16. Migne Tom. 80, 368. — 13—18 *cf.* Theoph. *p.* 372, 26. — 21—*p.* 733, 11 *cf.* Theoph. *p.* 375, 2.

4 ὃς καταλαβὼν C ὃς καὶ λαβὼν B ὃς παραλαβὼν D. — 11 ἰοθὼρ V ἰόθὼρ C ἰωθὼρ (*i.* M) EN ἰοθὸρ BR ἰόθωρ P ἰώθορ A ἰωθὴρ C. — 13 λεβαῖος ABV *et* recc. plerique. — 18 εἰς ἀπολλωνίαν διαφεύγει σφοδρῶς D διαφεύγει εἰς ἀπολλωνίαν σφοδρῶς M. — 20 ῥινότμητος RV. — 21 τὸν μὲν ABP μὲν *om.* rell.

1 ἐπιστρατεύσαντες οἱ σαρακηνοὶ P. — 2—4 *sic in* P: ὁ δὲ λαὸς μετὰ τὸ πολεμῆσαι καὶ νικῆσαι στασιάσας ἀναγορεύει βασιλέα στρατηλάτην ἀψίμαρόν τινα καλ. — 5 αὐτῷ *om.* P. — 7 αὐτὸν *om.* P. — 15 εἰληφὼς P. — 16 ἐλθὼν P.

κατὰ πᾶσαν τὴν πόλιν θριαμβεύσας ἀνεῖλεν, τὸν δὲ πατριάρχην Καλλίνικον ἐκτυφλώσας ἐξώρισεν ἐν Ῥώμῃ, ἀνθ' οὗ προβάλλεται Κυριακόν, τὸν ἐν τῇ νήσῳ Ἀμάστρης ἐγκλειστὸν ὄντα, ὡς προαγορεύσαντα αὐτῷ τὴν τῆς δευτέρας βασιλείας ἀποκατάστασιν. οὐ μὴν δὲ ἀλλὰ καὶ κατὰ πάντων ἐκμανεὶς 5 καὶ λυσσήσας ἀναρίθμητον πλῆθος ἔκ τε τοῦ πολιτικοῦ καὶ στρατιωτικοῦ συλλόγου διέφθειρεν. τοὺς μὲν γὰρ προφανῶς ἔσφαζεν, τοὺς δὲ νυκτὸς ἐσάκιζεν, καὶ τοὺς μὲν πρὸς ἀριστόδειπνα κλητορεύων φαρμάκῳ δεινῶς τῆς παρούσης ζωῆς ἐχώριζεν, τοὺς δὲ πρὸς ἐξορίαν δῆθεν ἐκπέμπων ἐφούρκιζεν. 10 ὅθεν τοσοῦτον δέος κατεῖχε τὴν πόλιν ὡς καί τινας αὐτομολῆσαι πρὸς βαρβάρους. καὶ μέντοι καὶ Χερσωνίτας μνησι- 624 M. κακῶν ἀπὸ τῆς ἐξορίας αὐτοῦ στόλον ἐξώπλισε κατ' αὐτῶν καὶ ἀπέστειλεν. οἱ δὲ τὸν μὲν Ἰουστινιανὸν καθύβρισαν, τὸν δὲ ἐκεῖσε ἐξόριστον ὑπὸ Ἀψιμάρου δι' ὑπόνοιαν βασι- 15 λείας Φιλιππικὸν υἱὸν Νικηφόρου τοῦ πατρικίου βασιλέα θᾶττον ἀνηγόρευσαν. ὅπερ γνοὺς ὁ τύραννος Ἰουστινιανὸς καὶ ἐπὶ πλεῖον θυμωθεὶς ἅμα καὶ φοβηθεὶς ἀνῆλθε μέχρι Σινώπης ἀκριβέστερον περὶ τούτου μαθησόμενος. τοῦ δὲ Φιλιππικοῦ τὴν πόλιν σὺν τῷ στόλῳ καταλαβόντος, Ἰουστι- 20 νιανὸς πρὸς τὸν Δαματρὺν ἀπέδρα καταλειφθεὶς ὑπὸ πάντων. ὃν αὐτίκα Φιλιππικὸς χειρωσάμενος αἰσχρῶς ἀνεῖλεν.

12—14 *cf.* Theoph. *p.* 377, 22. — 14—22 *cf.* Theoph. *p.* 379, 27.

3 *Κῦρον* Theoph. Nic. — *ἀμάστρις* A *ἀμάστριδος* LRV. — *ἔγκλειστον* DV *ἔγκληστον* CM *ἔγκλιστον* L. — 4 *προσαγορεύσαντα* A *προαναγορεύσαντα* BR. — 5 *ἐμμανεὶς* (-*εῖς* CL -*ῆς* A) ACELV. — 6 *ἔκ τε*] *ἔκτοτε* BM *ἔκτοτε καὶ* A. — 8 *ἔσφαξεν* C Exc. de insid. — *εἰσάκιζεν* C *ἐσάκκιζεν* DEV. — 12 *χερσονίτας* AP Exc. de ins. *χερσωνίταις* LRV. — 14 *μὲν om.* CENR. — 15 *δι' ὑπόνοιαν βασιλείας* ABP Exc. de insid. *om.* rell. — 21 *δαματρῦν* CV *δαμάτρυν* A *δαματρὴν* B *δαμαντρὺν vel δαμαντρυνὸν* R. — *καταληφθεὶς* AB *et* D *m. 2 corr.*

6 *λυττήσας* P. — 13 *στόλον ἐξοπλίσας κατ' αὐτῶν ἀπέστειλεν* P.

[λ'. Περὶ Φιλιππικοῦ.]

Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσε Φιλιππικὸς ὁ καὶ Βαρ-
625 M. δάνης ἔτη β'. καὶ εἰσελθόντες ἀπὸ τῆς Θρᾴκης ἐπίβουλοί
τινες ἐξ ἐπιτροπῆς Θεοδώρου καὶ Γεωργίου τῶν πατρικίων
5 ἐκτυφλοῦσιν αὐτὸν ἐν τῷ παλατίῳ μερενδίζοντα.

[λα'. Περὶ Ἀρτεμίου.]

626 M. Μετὰ δὲ Φιλιππικὸν ἐβασίλευσεν Ἀρτέμιος ὁ καὶ Ἀνα-
στάσιος ἔτη β'. ὃς Θεόδωρον καὶ Γεώργιον τοὺς πατρικίους
627 M. ἐκτυφλώσας ἐξώρισεν ἐν Θεσσαλονίκῃ. καὶ στασιάσας ὁ ἐν
10 τῷ Ἀδραμυτίῳ λαὸς ἀναγορεύουσι βασιλέα Θεοδόσιόν τινα
ἐκλήπτορα τῶν ἐκεῖσε δημοσίων φόρων. ὅπερ μαθὼν Ἀρτέ-
μιος ἐν Νικαίᾳ τῇ πόλει κατέφυγεν. ὁ δὲ Θεοδόσιος τὴν
πόλιν καταλαβὼν ἐν ὄχλῳ βαρεῖ διὰ τῆς τῶν Βλαχερνῶν
πόρτης κατὰ προδοσίαν εἰσῆλθεν.

15 [λβ'. Περὶ Θεοδοσίου.]

628 M. Μετὰ δὲ Ἀρτέμιον ἐβασίλευσε Θεοδόσιος ἔτη β'. ὃς τὸν
Ἀρτέμιον σχῆμα περιθέμενος μοναδικὸν ἐξώρισεν ἐν Θεσσα-
λονίκῃ μηδὲν περαιτέρω τοῦτον παραβλάψας. ἐφ' ὧν χρόνων
ἐπιστρατεύσας Μάσαλμας ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς κατὰ
20 Ῥωμαίων καὶ πρὸς τὰ μέρη τοῦ Ἀμωρίου γενόμενος γράφει

3—5 *cf.* Theoph. *p.* 383, 10. — 8—9 *cf.* Theoph. *p.* 383, 20. — 9—14 *cf.* Theoph. *p.* 385, 17. — 17—18 *cf.* Theoph. *p.* 386, 10. — 18—*p.* 735, 3 *cf.* Theoph. *p.* 386, 25.

5 ἐκτυφλώττουσιν CERV. — 10 ἀδραμυτίῳ AP ἀτραμυτίῳ (υτι *m. 1 in lit.*) B ἀδραμυττίῳ CDE ἀδραμιττήῳ M ἀδραμυντίῳ R ἀδραμυντείῳ V. — 17 περιθέμενον CE. — μοναχικὸν MB μοναχῶν C. — 18 παραβλέψας BMR *et* A *m. 1 corr.* — ἐφ' ὃν χρόνον CEPR ἐφ' ὃν χρόνων M. — 19 μάσαλμας PV μασαλμᾶς ABE μάλσαμας CLN βάλσαμας R. — στρατηγὸς A βασιλεὺς D. — 20 ἀμορίου BDR.

17 θεσαλονίκῃ P.

πρὸς Λέοντα στρατηγὸν τῶν ἀνατολικῶν· ἡ βασιλεία τῶν Ῥωμαίων σή ἐστιν. ἐλθὲ οὖν καὶ λαλήσωμεν τὰ πρὸς εἰρήνην, καὶ ποιῶ πάντα ὅσα θέλεις. ὁ δὲ πρὸς αὐτὸν ἀποστείλας ὑπάτους καὶ λόγους εἰρήνης ποιησάμενος καὶ ὑπὸ πάντων ὡς βασιλεὺς εὐφημισθεὶς ἐπὶ τὴν Νικομήδειαν 5 *ἔρχεται μετὰ πολυοχλίας. ἐν ᾗ τὸν τοῦ Θεοδοσίου υἱὸν περιτυχὼν καὶ χειρωσάμενος μετὰ τῆς βασιλικῆς ὑπηρεσίας πάσης καὶ τῶν ἐν τέλει ἐπισήμων ἀνδρῶν τοῦ παλατίου καταλαμβάνει τὴν Χρυσόπολιν. ὁ δὲ Θεοδόσιος λόγον ἀπαθείας παρ' αὐτοῦ λαβὼν παρεχώρησεν αὐτῷ τὴν βασιλείαν* 10 629 M *σὺν τῷ υἱῷ κληρικὸς γενόμενος.*

[*λγ'. Περὶ Λέοντος τοῦ Ἰσαύρου.*]

Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσε Λέων ὁ Ἴσαυρος ὁ καὶ Κόνων ἔτη κε'. Θεοδοσίου γὰρ τῷ γένει Ἀδραμυτινοῦ τὰ βασιλικὰ σκῆπτρα ἐγκεχειρισμένου, καὶ Ἰαζὰτ τοῦ τῆς Ἀράβων 15 *ἡγεμονεύοντος ἐξουσίας, δύο τινὲς θεομάχοι Ἑβραίων παῖδες οἱ ἀεὶ πάντοτε τραχηλιῶντες κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ φρυαττόμενοι τερατείαις καὶ βωμολοχίαις καὶ δαιμονιώδεσιν οἰωνίσμασι σχολάζοντες ὡς δῆθεν ἀστρολογι-*

3—4 *cf.* Theoph. *p.* 390, 2. — 5—11 *cf.* Theoph. *p.* 390, 15. — 14—*p.* 738, 6 Epistola ad Theophilum imp. *cp.* 9 *sqq.* Migne Tom. 95, 356 C.

2 *σή*] *σοί* EP. — 3 *θέλης* ACM. — 5 *εὐφημισθεὶς ut vid.* B *εὐφημεισθεὶς* P *εὐφημησθεὶς* CDRV *εὐφημηθεὶς* E *εὐφημιθεὶς* A *et fort.* B *ἀνευφημισθεὶς* M. — 6 *μετὰ πολυοχλίας om.* N *in mg. add.* E. — 11 *σὺν τῷ υἱῷ αὐτοῦ* AV. — 13 *ὁ ante Ἴσαυρος om.* CDEV. — 14 *ἀδραμυτινοῦ* CL *ἀδραμυττινοῦ* (*ἀδρ.* D) DE *ἀδραμυττιανοῦ* A *ἀδραμυντινοῦ* M *ἀδραμυντηνοῦ* RV *ἀτραμυτινοῦ* B (*ἀδραμυτίου* Ep.). — 15 *ἰαζὰ* C *ἰζὴδ* R (*ἰεζὰ* Ep.). — 17 *πάντοτε om.* BR.

6 *ἀνέρχεται* P. — 13 *ὁ ἤσαυρος συρογενὴς ἀπὸ ἠσαῦ τοῦ θεοστυγοῦς, ἐξ οὗ καὶ ἡ ἠσαυρία χώρα τὴν ἐπωνυμίαν ἔσχε, καταγόμενος καὶ ἤσαυρος λεγόμενος* P. — 14 *θεοδοσίου* — *p.* 738, 9 *om.* P. *Quae sequuntur alio ordine et partim ex aliis fontibus desumpta narrantur.*

κήν τινα μεταδιώκοντες ἐπιστήμην καταλαμβάνουσι τὴν τῶν Ἀράβων βασιλικὴν αὐλήν, καὶ δὴ καταμηνύονται τῷ προρρηθέντι Ἰαζὰτ καὶ τούτῳ χρησμῳδίας πολυευζωίας καὶ πολυχρονίου διαμονῆς μυοῦνται, εἴ γε ἄρα τὴν τῶν Χριστιανῶν
5 *καταρράξαι διακόσμησιν δυνηθείη τόν τε τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θεανδρικὸν χαρακτῆρα καὶ τῆς αὐτὸν τεκούσης θεομήτορος ἐκ τῶν ἐκκλησιαστικῶν περιβόλων ἀπαλεῖψαι. καὶ δὴ ὁ φιλόζωος ἐκεῖνος καὶ χοιρόβιος ἄνθρωπος ὑπήκουσε τῇ συμβουλῇ τῶν ἀπατεώνων καὶ πάσας τὰς τῆς*
10 *ἑῴας ἐκκλησίας διεσάλευσεν ἐν πάσῃ τῇ ἀρχῇ αὐτοῦ. ἀλλ' ἠπατήθη ὁ δείλαιος. οὔπω γὰρ ἐνιαυτοῦ πληρωθέντος, καὶ τοῦτον ἡ θεία δίκη μετεχειρίσατο, ὁ δὲ υἱὸς αὐτοῦ διαδεξάμενος τὴν ἡγεμονίαν αὐτοῦ τούτους ἠβουλήθη ὡς ψευδο-*
630 M. *μάντας ἀποκτεῖναι. οἵτινες φοβηθέντες ᾤχοντο ἀνακάμ-*
15 *ψαντες πάλιν ἐν τοῖς Ἰσαυρικοῖς μεθορίοις. εἶτα εἰς πηγήν τινά που ἀναψυχόντων αὐτῶν, ἰδοὺ νεανίσκος τις τοὔνομα Λέων καλὸς τῷ εἴδει, ὡραῖος τῷ προσώπῳ, εὐμήκης τῷ σώματι, βάναυσος τὴν τέχνην ἐξ αὐτῆς τὴν ζωὴν πορίζόμενος, καὶ δὴ ἐκ τοῦ ὑποζυγίου τὸν φόρτον περιελόμενος ἐκάθισε*
20 *καὶ αὐτὸς ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη. εἶτα οἱ τῶν ἐγγαστριμύθων μύσται μυοῦνται αὐτῷ τοῦ κατάρξαι αὐτὸν τῆς Ῥωμαϊκῆς βασιλείας τῶν σκήπτρων. καὶ δὴ τοῦ Λέοντος ἀναβαλλομένου καὶ διαποροῦντος πρὸς τὸ ἀκρότατον τῆς ἑαυτοῦ εὐτελείας ἀφορῶντος, ὅρκοις πληροφορεῖται ὑπὸ τῶν*
25 *μισοχρίστων ὅτι ταῦτα οὕτω δεῖ γενέσθαι. καὶ δὴ αἰτοῦνται αὐτὸν ὁρκωμοσίους λόγους πληροφορηθῆναι παρ' αὐτοῦ, ἵν', εἰ ἄρα γε εἰς πέρας τοῦτο ἄγοιτο, πᾶν εἴ τι οὖν αἰτηθείη*

---

3 *ἰζὴθ* R. — *πολυζωίας* B *εὐζωίας* L. — *πολυχρόνου* A Ep. — 12 *μετεχειρήσατο* ACDE *μετεχειρώσατο* R (*ἐχειρώσατο* Ep.). — 13 *ψευδομάντεις* BLR Ep. — 15 *εἶτα om.* N. — 19 *περιελώμενος* AM *περιαλώμενος* B *ἑλόμενος* CR. — 25 *δεῖ*] *δὴ* ACMV. — 26 *ὁρκομοσίοις λόγοις* BM *ὁρκομοσίας λόγους* recc. plerique (*ὁρκωμοσίας λόγοις* Ep.). — *ἵν'*] *ὃν* A *om.* C. — *ἄρα* ACN *et* recc. quidam. — 27 *γε om.* AN. — *οὖν εἴ τι* AB. — *αἰτηθῇ* V *et* recc. quidam.

παρ' αὐτῶν ἀνυπερθέτως δοθῆναι αὐτοῖς παρ' αὐτοῦ. ἦν δὲ πλησίον ναὸς τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου. καὶ εὐθὺς ἑτοιμότατα εἰσελθὼν ὁ βάναυσος Λέων καὶ περικρατὴς γενόμενος τῶν ἱερῶν καγκέλλων τοῦ θυσιαστηρίου δέδωκεν ἐγγυητὴν τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ, ἑστώτων τῶν 5 Ἰουδαίων ἐν τοῖς πυλῶσι τοῦ ναοῦ καὶ δεχομένων τὸν ὅρκον παρ' αὐτοῦ. καὶ αὖθις ᾤχετο ἕκαστος εἰς τὰ ἴδια. ἦν δέ τις τῶν ἀνατολικῶν στρατηγίας τὴν ἡγεμονίαν περιέπων πατρίκιος τοὔνομα Σισίννιος στρατολογίαις τὴν χώραν περιπολεύων. ἐν οἷς καὶ Λέων ὁ βάναυσος στρατολογηθεὶς ἐν 10 ὀλίγῳ χρόνῳ εἰς προκοπὴν μεγάλην ἀναβιβάζεται σπαθαρικῷ ἀξιώματι προχειρισθεὶς ὑπὸ τοῦ αὐτοῦ βασιλέως Θεοδοσίου. καὶ δὴ ὑπ' αὐτοῦ εἰς τὰ ἑσπέρια μέρη ἐκπεμφθεὶς εἰς Καμπανίαν καὶ Ἀμάλφην καὶ Νεάπολιν, τηνικαῦτα βαρβαρισάντων, καταλαβὼν δὲ τὰ ἐκεῖσε ἐν πλωτηρσίοις δρόμωσι 15 τὸν ἀριθμὸν ρκ' καὶ τροπαιοφόρῳ νίκῃ τὴν εἰρήνην βρα- 631 M. βεύσας καταλαμβάνει τὰ βασίλεια, καὶ αὖθις ὑπὸ τῶν στρατιωτῶν ἀναγορεύεται βασιλεύς. καὶ δὴ Θεοδόσιος ὁ πραότατος βασιλεὺς προϋπαντᾷ αὐτῷ καὶ ἄρας τὸ στέφος ἐκ τῆς ἑαυτοῦ κεφαλῆς περιτίθησι τῷ Λέοντι. περιβοήτου δὲ ἐπ' 20 εὐφημίαις γενομένου τοῦ Λέοντος, ἰδοὺ οἱ φαρμακοὶ Ἰουδαῖοι δρομαῖοι εἰσελαύνουσιν εἰς τὰ βασίλεια, εἶτα ὑπὸ τοῦ νέου ἄνακτος δεξιολαβηθέντες τὴν ὀφειλὴν ἀποτιννύουσιν ἀσυγχώρητα. τοῦ δὲ ἑτοίμως ταύτην ἐπαγγελλομένου ἀποδιδόναι, ἀποκριθέντες εἶπον οἱ θεομάχοι· τοῦτο αἰτούμεθα 25

---

4 καγκέλων E καγγέλλων B καγγέλων recc. plerique. — 8 τις] τῆς EM *et* D *m. 2 ex* τις *corr.* τις *om.* A. — 9 σισίνιος C *et* recc. quidam. — 12 προχειρισθεὶς AB Ep. τιμηθεὶς rell. — 14 ἀμάλφιν A (ἀμαλφίαν Ep.). — 15 πλωτηρσίοις (πλοτ. B) AB (πλωτορσίοις Ep.) πλωτῆρσι rell. — 16 τροπαιοφόρῳ (τροφαιοφό *compendio scr.* B) νίκῃ τὴν AB τροπαιοφόρον νικητικὴν (νικητὴν CR) rell. (τροπαιοφόρον νίκην Ep.). — 17 αὖθις] εὐθὺς Ep. — 19 προσυπαντᾷ CE *et* recc. quidam (rell.: προσυπαντήσας). προσαπαντᾷ N. — 20 ἑαυτοῦ] αὐτοῦ BC. — 21 φαρμάκοι ACD. — 24 διδόναι B Ep. — 25 οἱ θεομάχοι εἶπον AB. — εἶπαν CDE.

παρά σου, κράτιστε βασιλεῦ, ἵνα τὸν χαρακτῆρα τοῦ Ναζωραίου Χριστοῦ καὶ τῆς μητρὸς αὐτοῦ Μαρίας ἐκ πάσης ἐκκλησιαστικῆς ἱστορίας ἀπαλείψῃς. καὶ τοῦτο ποιῶν μέλλεις βασιλεύειν ἄχρι χρόνων ἑκατὸν ἐν τῇ γενεᾷ σου. ὁ δὲ εὐήθης καὶ ἀστήρι-
5 *κτος τῇ πίστει ὥσπερ ὑπὸ ὄφεων τοῖς δυσὶ μυκτῆρσι πιεζόμενος ἑτοιμότατα τὸ αἰτηθὲν ἐπιτελεῖν ἐπαγγέλλεται. ὢ τῆς ἀνοίας, ὢ τῆς φρενοβλαβείας. ὁ χριστιανικώτατος βασιλεὺς Ἑβραίοις ὑπόσπονδος ὤφθη, ὁ τὰ σκῆπτρα τῆς βασιλικῆς δυναστείας ὑπὸ θεοῦ ἐγκεχειρισμένος ὑπὸ θεομάχων ἀνδρῶν τερατεύεται.*
10 *Ἐκμανεὶς οὖν κατὰ τῆς ὀρθῆς τε καὶ ἀρχαιοτάτης πίστεως μεταστειλάμενος τὸν ἀοίδιμον Γερμανὸν τὸν πατριάρχην ἤρξατο προστρίβεσθαι αὐτῷ καὶ μέμφεσθαι πάντας τοὺς πρὸ*
632 M. *αὐτοῦ βασιλεῖς καὶ ἀρχιερεῖς καὶ πάντας τοὺς Χριστιανοὺς ὡς εἰδωλολατρήσαντας ἐπὶ τῇ προσκυνήσει τῶν ἁγίων εἰκόνων.*
15 *ὁ δὲ μέγας ἔφη Γερμανός· ἄκουσον, ὦ βασιλεῦ. τοῦ μὲν κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ σαρκὸς ἐπιφανέντος καὶ τοῖς ἀνθρώποις συναναστραφέντος καὶ πᾶσιν ὁραθέντος (πάντες γάρ, φησίν, εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν), πᾶσα εἰδωλολατρεία ἐκποδῶν γέγονε καὶ πᾶν ἄγαλμα εἰδωλι-*
20 *κὸν ἐξηφάνισται. καθὼς καὶ προαναφωνῶν Ζαχαρίας ὁ προ-*

10—14 *cf.* Theoph. *p.* 407, 15 *et* 406, 25. — 15—*p.* 739, 11 Stephani Diaconi Vita Stephani Junioris Migne Tom. 100, 1084 C. — 17 Hebr. 8, 11.

1 *κράτιστε βασιλεῦ παρὰ σοῦ* AR. — 10 *ὀρθῆς πίστεως καὶ ἀρχ.* (*om. τε*) A *ὀρθ. καὶ ἀρχαιτάτης (sic) πίστεως* (*om. τε*) B *ὀρθῆς πίστεως* (*om. τε καὶ ἀρχ.*) C. — 13 *ἀρχιερεῖς*] *πατριάρχας* LRV. — *τοὺς om.* ADE. — 14 *εἰδωλολατρήσαντας* (-*ίσαντας* A) ABP Theoph. *εἰδωλολάτρας* rell. — *ἐπὶ* BP Theoph. *ἐν* rell. — 15 *ὦ βασιλεῦ* CLPV *ὦ om.* rell. Steph. — 17 *ἀναστραφέντος* AB. — 18 *γάρ φησιν εἰδ. με* LP *γὰρ εἰδ. μέ φησιν* (*ἔφη* R) RV *φησὶν om.* rell. — *ἀπὸ μικροῦ αὐτῶν καὶ* (*καὶ om.* B) *ἕως μεγάλου, πᾶσα* BP. — 20 *ἠφάνισται* (-*στε* A) AB.

10 *οὖν ὁ ἀλάστωρ κατὰ* P. — 11—12 *καὶ τὸν θεῖον Γερμ. μεταστειλάμενος ἤρξατο* P. — 13 *ἀρχιερεῖς καὶ χριστιανοὺς λαοὺς ὡς* P Theoph. — 14 *ἁγίων om.* P. — 19 *εἰδωλικὴ λατρεία* P Steph. — 20 *ὁ προφήτης om.* P.

φήτης ἔφη· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος Σαβαώθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς καὶ οὐκέτι αὐτῶν ἔσται μνεία. ἀπὸ δὲ τῆς αὐτοῦ πρὸς ἡμᾶς συναναστροφῆς καὶ τῶν ἀποστόλων αὐτοῦ διδασκαλίας ἕως τοῦ νῦν παρῆλθον ἔτη ψλς′, καὶ οἱ ἐν τοσούτοις ἔτεσι 5 *διαπρέψαντες πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας ὀρθόδοξοι οὐδὲν τοιοῦτον περὶ τῶν ἁγίων εἰκόνων ἐνενόησαν ἢ ἐλάλησαν. ἐξ ἀρχῆθεν γὰρ μετὰ τὴν τοῦ Χριστοῦ εἰς οὐρανοὺς ἀνάληψιν ἡ εἰκονικὴ ὅρασις ἀνετυπώθη. παρά τε γὰρ τῆς αἱμόρρου εἰς τὴν ἐπ' αὐτὴν γεγονυῖαν θαυμα-* 10 *τουργίαν ἡ τοῦ Χριστοῦ εἰκὼν ἐστηλογραφήθη. περὶ ἧς εἰκόνος Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ ἐν βιβλίῳ ἑβδόμῳ οὕτως ἔφη· ἐπειδὴ τῆσδε τῆς πόλεως τῆς Φιλίππου Καισαρείας, ἣν Πανεάδα Φοίνικες προσαγορεύουσιν, εἰς μνήμην ἦλθον, οὐκ ἄξιον ἡγησάμην παρελθεῖν διήγησιν καὶ* 15 *τοῖς μεθ' ἡμᾶς μνημονεύεσθαι ἀξίαν. τὴν γὰρ αἱμορροοῦσαν, ἣν ἐκ τῶν ἱερῶν εὐαγγελίων πρὸς τοῦ σωτῆρος ἡμῶν τοῦ πάθους ἀπαλλαγὴν εὕρασθαι μεμαθήκαμεν, ἐνθένδε ἔλεγον ὁρμᾶσθαι τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι καὶ τῆς ὑπὸ τοῦ σωτῆρος εἰς αὐτὴν εὐεργεσίας* 20 *θαυμαστὰ τρόπαια παραμένειν. ἑστάναι γὰρ ἐφ' ὑψηλοῦ*

---

1 Zach. 13, 2. — 11—*p*. 740, 15 Euseb. H. eccl. 7, 17; 18.

6 *διαπρέψαντες* ABP *et* recc. quidam *διαλάμψαντες* L *διατρίψαντες* rell. (*περιελθόντες* Steph.). — 7 *τοιούτων* AL. — *ἐνόησαν* DL. — 8 *ἐξαρχῆθεν* AN. — *τοῦ χριστοῦ* ABLP *et* recc. quidam Steph. *τοῦ om.* rell. — 10 *ἐπ' αὐτὴν* ANP *ἐπ' αὐτῇ* BCELV Steph. *ἐπ' αὐτῆς* R. — 12 *ἐκκλησ. αὐτοῦ ἱστορίᾳ* AB. — 12. 13 *ἐν ἑβδόμῳ βιβλίῳ* N *ἐν βίβλῳ ἑβδόμῳ* RV. — 14 *πανιάδα* ACEN. — 17 *πρὸς*] *πρὸ* CB *et fort.* D *in quo πρὸς m. 2 corr. vid.* — 18 *εὑράσθαι* C *εὑρᾶσθαι* ALNRV. — *ἔνθεν δὲ* AC *ἐνθένδεν* B.

4 *καὶ τῆς τῶν* P Steph. — 6—7 *διαπρέψ. πατέρες ὀρθόδοξοι ὄντες οὐδὲν τοιοῦτόν τι* P (*Similiter* Steph.). — 11 *sqq. Locum Eusebii om.* P.

λίθου πρὸς μὲν ταῖς πύλαις τοῦ αὐτῆς οἴκου γυναικὸς ἐκτύπωμα χάλκεον ἐπὶ γόνυ κεκλιμένον καὶ τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερσὶν ἱκετευούσῃ ἐοικός, τούτου δὲ ἄντικρυς ἄλλο τῆς αὐτῆς ὕλης ἀνδρὸς ὄρθιον σχῆμα διπλοΐδα κοσμίως
5 *περιβεβλημένον καὶ τὴν χεῖρα τῇ γυναικὶ προτεῖνον, οὗ παρὰ τοῖς ποσὶν ἐπὶ τῆς στήλης αὐτῆς ξένον τι βοτάνης εἶδος*
633 M. *φύειν, ὃ μέχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος ἀνιὸν ἀλεξιφάρμακόν τι παντοίων νοσημάτων τυγχάνειν. τοῦτον δὲ τὸν ἀνδριάντα εἰκόνα τοῦ Ἰησοῦ φέρειν ἔλεγον,*
10 *ἔμεινε δὲ καὶ εἰς ἡμᾶς, ὡς καὶ ὄψει παραλαβεῖν ἐπιδημήσαντας αὐτοὺς τῇ πόλει. καὶ θαυμαστὸν οὐδὲν τοὺς πάλαι ἐξ ἐθνῶν εὐεργετηθέντας πρὸς τοῦ σωτῆρος ἡμῶν ταῦτα πεποιηκέναι, ὅτε καὶ τῶν ἀποστόλων αὐτοῦ τὰς εἰκόνας Πέτρου καὶ Παύλου καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ διὰ χρω-*
15 *μάτων ἐν γραφαῖς σωζομένους ἱστορήσαμεν.*

Πάλιν οὖν ὁ θεοφόρος Γερμανὸς πρὸς τὸν ἀνήμερον ἔφη λύκον· ἔστι δὲ καὶ ἐν Ἐδέσῃ τῇ πόλει ἡ ἀχειροποίητος εἰκὼν τοῦ Χριστοῦ παράδοξα ἐργαζομένη θαύματα, ἣν αὐτὸς ὁ κύριος ἐν σουδαρίῳ τῆς οἰκείας μορφῆς τὸ εἶδος ἐναπο-
20 *μαξάμενος διὰ Θαδδαίου τοῦ ἀποστόλου σώζουσαν τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης μορφῆς αὐτοῦ Αὐγάρῳ τοπάρχῃ τῆς Ἐδεσηνῶν πόλεως ἀπέστειλε καὶ τὴν νόσον αὐτοῦ ἰάσατο.*

16—*p.* 741, 8 Composita e Vita Stephani Migne 1085 A *et* Epistola ad Theophilum *cp.* 5 Migne 352 B *et cp.* 4 Migne 349 C.

1 *τοῦ αὐτῆς οἴκου* CERV Eus. *τοῦ ἑαυτῆς οἴκου* N *τοῦ οἴκου αὐτῆς* A *τοῦ οἴκου τῆς αὐτῆς* B *τοῦ οἴκου τῆς αὐτῆς γυναικὸς* L. — 3 *ἱκετευοῦσι* CM *ἱκετευούσης* L *ἱκετεύουσαν* B *ἱκετευούσαις* R. — 6. 7 *φύειν εἶδος* CM. — 8 *τυγχάνει* NR. — 9 *δὲ*] *οὖν* BN (*om.* Eus.). — 15 *σωζομένας* LR *et* D *m. 2.* — 17 *ἔστι*] *ἔστη* ACM. — *ἐδέσσῃ* AELMV *αἰδέσῃ* B. — 22 *ἐδεσηνῶν* ER *αἰδεσηνῶν* B *ἐδεσινῶν* CLN *ἐδεσσηνῶν* V *ἐδεσσινῶν* A.

16—*p.* 741, 5 *sic in* P: *μεθ' ἧς ἀχειροποίητος ἐν ἐδέσῃ τῇ πόλει, καὶ μέντοι καὶ ἡ παρὰ τῷ εὐαγγελιστῇ λουκᾷ ἱστορηθεῖσα τῆς θεομήτορος ἀπὸ ἱεροσολύμων πρὸς θεόφιλον* (*sola Stephani verba, omissis iis quae supra ex epistola ad Theophilum admixta sunt*).

καὶ μέντοι καὶ ἡ παρὰ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθεῖσα τῆς πανάγνου καὶ θεομήτορος ἔτι ζώσης αὐτῆς ἁγία εἰκὼν καὶ πεμφθεῖσα ἐν Ῥώμῃ πρὸς Θεόφιλον, πρὸς ὃν καὶ τὸ εὐαγγέλιον καὶ τὰς πράξεις τῶν ἀποστόλων ἀπέστειλεν. ἥτις καὶ ἕως τοῦ νῦν θαυματουργεῖ. διὸ δὴ καὶ 5 *αἱ ἓξ οἰκουμενικαὶ σύνοδοι ταύτας εὑροῦσαι προσκυνουμένας καὶ τιμωμένας ἀπεδέξαντο καὶ οὐδὲν περὶ αὐτῶν ἐλάλησαν ἐναντίον. πλὴν οὖν τὴν μὲν καθαίρεσιν τῶν ἱερῶν εἰκόνων ἀκούομεν μέλλειν ἔσεσθαι, ἀλλ' οὐκ ἐπὶ τῆς σῆς βασιλείας. τοῦ δὲ καταναγκάσαντος αὐτὸν ἐπὶ ποίας εἰπεῖν βασιλείας* 10 *καὶ ἀκούσας· ἐπὶ Κόνωνος, ἀποκριθεὶς εἶπεν· ὄντως ἐγώ εἰμι καὶ οὕτω παιδιόθεν ἐκλήθην. καὶ ὁ μέγας Γερμανὸς ὑπολαβὼν ἔφη· μὴ γένοιτο, δέσποτα, διὰ τῆς σῆς βασιλείας πραχθῆναι τὸ κακὸν τοῦτο καὶ θεοστυγές. ἀντιχρίστου γάρ ἐστι πρόδρομος ὁ τοῦτο πληρῶν καὶ τῆς ἐν σαρκὶ τοῦ θεοῦ* 15 *λόγου ἐπιδημίας ἀνατροπεὺς καὶ ἀντίδικος. ὁ δὲ θεομάχος τύραννος ταῦτα ἀκούσας καὶ ὡς λέων βρύξας αὐτίκα καὶ* 634 M. *σφόδρα χαλεπήνας ἀτίμως τὸν δίκαιον ἐξήλασεν εἰδωλολάτρην ἀποκαλέσας, καὶ ταῖς ἰδίαις χερσὶ ῥαπίσας τῶν βασιλείων ἐξελαύνει.* 20

8—16 *cf.* Theoph. *p.* 407, 18. — 16—20 Vita Stephani Migne 1085 B?

1 *καὶ εὐαγγελιστοῦ om.* CN. — 4 *ἀπέστειλεν* ACMR *ἐπέστειλεν* BDELV. — 5 *τοῦ om.* CV. — 6 *αἱ om.* PV. — 8 *ἁγίων* BLR. — 9 *ἔσεσθαι μέλλειν* AB *μέλλειν om.* L. — 11 *ἀκούσας ὅτι ἐπὶ* codd. *praeter* AP *et* recc. quosdam. — *κώνωνος* DP *κόνονος* recc. plerique. — 12 *παιδόθεν* PV. — 13 *ὑπολαβὼν om.* N.

8 *οὖν*] *οἷον* P. — 10 *καταν. εἰπεῖν αὐτὸν ἐπὶ τίνος βασιλείας* P Theoph. — 12 *μέγας om.* P. — 14 *πραχθῆναι*] *τελεσθῆναι* P Theoph. — 15 *καὶ τῆς ἐνσάρκου καὶ θείας οἰκονομίας ἀνατροπεὺς καὶ ἀντίδ.* P Theoph. — 16—20 *sic in* P: *ὁ δὲ κακοῦργος οὐδὲν ἧττον θηριώδη τὴν γνώμην ἔχων ἢ τὴν προσηγορίαν ἀκούσας ταῦτα καὶ ὡς λέων αὐτίκα βρύξας καὶ σφ. χαλ. ἀτίμως αὐτὸν ἐξήλασεν εἰδωλ. ἀποκαλέσας* (*om. καὶ ταῖς — ἐξελαύνει*) P.

Φασὶ δέ τινες καὶ τοῦτο πιστότατοι ἄνδρες, ὅτι πρὸς τῇ Βασιλικῇ καλουμένῃ κινστέρνῃ τῇ οὔσῃ πλησίον τῶν Χαλκοπρατείων παλάτιον ἦν σεμνόν, ἐν ᾧ ὑπῆρχε κατὰ τύπον ἀρχαῖον οἰκουμενικὸς διδάσκαλος ἔχων μεθ' ἑαυτοῦ ἑτέρους 5 μαθητὰς αὐτοῦ καὶ συλλήπτορας προύχοντας ἄνδρας τὸν ἀριθμὸν ιβ' πᾶσαν ἐπιστήμην μετερχομένους καὶ τὰ ἐκκλησιαστικὰ κρατύνοντας δόγματα, βασιλικὰς διαίτας καὶ βίβλους ὡσαύτως ἔχοντας, ὧν οἱ βασιλεῖς ἄνευ βουλὴν ἢ γνώμην οὐκ ἐθέσπιζον. τούτους ὁ ἀγριώτατος θὴρ καὶ δυσώνυμος 10 βάναυσος προσκαλεσάμενος ἐπειρᾶτο πείθειν συνθέσθαι αὐτοῦ τῇ ἀθεΐᾳ. τῶν δὲ τοῦτο μὴ καταδεξαμένων, ἀλλὰ καὶ μᾶλλον ἐλεγξάντων αὐτοῦ τὴν ἀσέβειαν, προσέταξε συρομένους αὐτοὺς ἀτίμως ἐν τῷ αὐτῷ τόπῳ τοῦ διδασκαλείου αὐτῶν ἐγκλεισθῆναι. τούτου δὲ γενομένου τῇ νυκτὶ πάλιν ἀποστείλας 15 ὁ ἀνήμερος δράκων νυκτεπάρχους τινὰς καὶ ἀπηνεῖς ἄνδρας προσέταξε συναχθῆναι πλῆθος ξύλων καὶ τούτων ὑπαφθέντων κατακαῆναι τοὺς ἄνδρας σὺν τῶν οἰκημάτων καὶ τῶν βιβλίων καὶ τῶν λοιπῶν αὐτοῖς ὑπαρχόντων. οὗ γενομένου πάντες ἄρδην κατεφλέχθησαν. ἔκτοτε οὖν ἡ τῶν ἐπιστημῶν 20 γνῶσις ἐν Ῥωμανίᾳ ἐσπάνισε τῇ τῶν βασιλευόντων γνωσιμάχων ἀπονοίᾳ μειουμένη ἕως τῶν ἡμερῶν Μιχαὴλ καὶ Θεοδώρας τῶν εὐσεβῶν καὶ πιστῶν βασιλέων.

1—22 *cf.* Codinus de aedificiis *p.* 83.

2 *κινστέρνῃ* BMRV *κιγστέρνῃ* L *κιστέρνῃ ut vid. m. 1* D. *γιστέρνῃ* A *γηστέρνῃ* E *et m. 2* D. *γεστέρνῃ* C. — *χαλκοπρατίων* ABM *et* recc. quidam. — 3 *κατὰ τὸν τύπον ἀρχ.* recc. quidam *κατὰ τὸν ἀρχ. τύπον* recc. rell. *ἀρχαῖον om.* M. — 4 *ἑταίρους* A. — 8 *βουλὴν ἢ γνώμην* A *βουλὴν καὶ γνώμην* CELNV *βουλῆς ἢ γνώμης* B *βουλῆς* (*αὐτῶν add.* nonnulli) *καὶ γνώμης* R. — 10 *αὐτῷ* N. — 13 *διδασκαλίου* BCN. — 17 *σὺν*] *μετὰ* BRV. — 18 *τῶν λοιπῶν τῶν* BV *λοιπῶν τῶν* L. — 19 *ἐπιστήμων* A *ἐπιστίμων* C *ἐπιστημόνων* R.

1—22 *om.* P *aliaque inserit seorsim edenda.*

Ἐν τούτοις ἐξουσιαστικῶς ἅμα καὶ δυσσεβῶς τῆς αἱρέσεως ἀπάρχεται καὶ τὴν ἐπὶ τῆς Χαλκῆς πύλης τοῦ παλα- 635 M.
τίου εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατεάξας καὶ σιλέντιον ἀσεβείας κατὰ τῶν ἁγίων εἰκόνων ποιήσας προσκαλεῖται πάλιν τὸν τίμιον Γερμανὸν οἰόμενος πείθειν αὐτὸν 5
ὑπογράψαι κατὰ τῶν ἱερῶν εἰκόνων. ὁ δὲ μηδ' ὅλως εἴξας τῇ θωπείᾳ ἢ τῇ ἀπειλῇ τοῦ ἀλάστορος θεὶς τὸ ὠμόφορον ἀπετάξατο τὴν ἱερωσύνην καὶ οὕτως ἐξῆλθεν ἐκ μέσου αὐτῶν. ὁ δὲ θεομάχος ἀντ' αὐτοῦ χειροτονεῖ Ἀναστάσιον πρεσβύτερον τῆς μεγάλης ἐκκλησίας συνθέμενον κατὰ τὴν ἀσεβῆ 10
αὐτοῦ βουλὴν πάντα ποιεῖν. πᾶσαν δὲ εἰκονικὴν ἀνατύ-

1—3 Stephanus Vita Stephani Migne 1085 C. — 3—11 *cf.* Theoph. *p.* 408, 32. — 11—*p.* 744, 10 *cf.* Theoph. 409, 14 *et* 404, 5.

2 *τοῦ παλατίου πύλης* P *τοῦ παλατίου om.* R. — 4 *σιλέντειον* V *σελέντιον* B *et* recc. quidam Theoph. *λεόντιον* C recc. alii *λέντιον* recc. nonnulli. — 5 *τίμιον* AB *ὅσιον* CENV *et* recc. quidam *ἅγιον* recc. alii *(ἁγιώτατον* Theoph.) *om.* P. — 6 *ἁγίων* ADV. — 7 *ὠμόφορον* BV *ὁμόφορον* P *ὁμόφορον* CN *ὠμοφόριον* (*ὁμ.* A) A *et* recc. quidam. — 9 *ἀντ' αὐτοῦ χειροτονεῖ* AB *χειροτονεῖ ἀντ' αὐτοῦ* CDEV *et* recc. plerique. *ἀντ' αὐτοῦ post πρεσβύτερον ins.* M *om.* recc. nonnulli.

1 *ἐν τούτοις οὖν ἐξ.* P Steph. — *δυσσ. δραξάμενος ὁ τύραννος τῆς αἱρ. καὶ τὴν* P Steph. — 3 *καταξέσας* P (*κατενέγκας* Steph.). — 4 *ἀσεβείας om.* P Theoph. — 5 *πάλιν καὶ τὸν* P Theoph. — 6 *Post εἰκόνων alia ins.* P. — 8 *ἀπετάξατο* (*m. 2 ex ἀπετάξω*) *τὴν ἱερ. ἐπιδοὺς τὸ ὁμόφορον καὶ εἰπὼν μετὰ πολλοὺς διδασκαλικοὺς λόγους· ἐγὼ βασιλεῦ χωρὶς οἰκουμενικῆς συνόδου καινοτομῆσαι πίστιν οὐ δύναμαι, καὶ οὕτως* P Theoph. — 9—*p.* 744, 10 *sic in* P: *ὁ δὲ θεομ. ἀντεχειροτόνησεν ἀναστ. τὸν ψευδώνυμον μαθητὴν καὶ σύγκελλον τοῦ θείου γερμανοῦ ὡς συνθ. τῇ αἱρέσει αὐτοῦ διὰ φιλαρχείαν καὶ φιλαργυρίαν. ὅθεν γρηγόριος ὁ ἱερὸς πρόεδρος ῥώμης τὸν μὲν ἀναστάσιον ἀνεθεμάτισεν, τὸν δὲ τύραννον ὡς ἀσεβοῦντα δι' ἐπιστολῆς ἀπήλεγξε καὶ μέντοι καὶ τὴν ῥώμην σὺμ πάσῃ τῇ ἰταλίᾳ τῆς βασιλείας αὐτοῦ παρευθὺς ἀποστήσας τοὺς φόρους ἐκώλυσεν. ἐφ' οἷς ὁ δυσώνυμος καὶ ἀλητήριος ἐκμανεὶς μᾶλλον καὶ πλέον κατὰ τῶν ὀρθοδόξων ἐπιτείνας διωγμὸν πολλοί τε κληρικοὶ καὶ μοναχοὶ καὶ λαϊκοὶ τῆς ἀληθείας ὑπερεκινδύνευσαν. Eadem fere* Theoph.

πωσιν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ καὶ τῆς θεομήτορος καὶ πάντων τῶν ἁγίων κατέστρεψε καὶ κατέκαυσε
636 M. *καὶ διωγμὸν μέγαν ἐγείρας πολλοὺς ἱερεῖς καὶ μονάζοντας καὶ λαϊκοὺς διαφόροις τιμωρίαις καὶ θανάτοις ὑπέβαλεν. διὰ*
5 *ταῦτα οὖν καὶ ὁ τῆς μεγάλης Ῥώμης πρόεδρος Γρηγόριος τὴν τῆς αὐτοῦ βασιλείας ὑποταγὴν ἐκτιναξάμενος τὸ αἱρετικὸν αἶσχος ἀποδιδράσκει σπονδὰς εἰρηνικὰς εἰς τὴν τῶν Φράγγων ὑποταγὴν εἰσδεξάμενος σὺν πάσῃ τῇ Ἰταλίᾳ, καὶ τοὺς φόρους εὐθὺς κωλύσας τὸν Ἀναστάσιον καὶ τοὺς σὺν*
10 *αὐτῷ ἀνεθεμάτισεν.*

Ἐφ' ὧν χρόνων σεισμὸς ἐγένετο μέγας καὶ φοβερώτατος, καὶ ἐπτώθησαν ἐκκλησίαι πολλαὶ καὶ οἶκοι τά τε χερσαῖα τῆς πόλεως τείχη καὶ φρούρια πολλὰ καὶ χωρία τῆς Θρᾴκης. καὶ τέθνηκε λαὸς ἀναρίθμητος, καὶ ἡ γῆ ἐσείετο ἐπὶ χρόνους
15 *δύο, ὥστε καὶ τὴν θάλασσαν τῶν ἰδίων ὅρων ἔν τισι τόποις ὑποχωρῆσαι. ἐν τούτοις ὁ παμμίαρος καὶ ἀλάστωρ Λέων ὁ βάναυσος ὡς ἄνθρωπος ἀποθνήσκει δυσεντερικῶς καὶ ὡς εἷς τῶν ἀρχόντων πέπτωκεν.*

637 M. *Ὁ οὖν Μάσαλμας, καθὼς ἀνωτέρω εἴρηται, τὴν Ἄβυδον*

11—16 *cf.* Theoph. *p.* 412, 6. — 16—18 Epistola ad Theophilum *cp.* 12 Migne 360 B. — 17 Psalm. 81 (82), 7. — 19—*p.* 745, 8 *cf.* Theoph. *p.* 395, 15.

1 *ἡμῶν post σωτῆρος om. et post θεοῦ ins.* A. — *ἰησοῦ om.* AD. — 4 *ὑπέβαλλεν* AM. — 6 *τὸ αἱρ. αἶσχος ἀποδιδράσκει v.* 8 *post εἰσδεξάμενος ins.* AB. — 8 *φραγγῶν* D *et* recc. quidam *φαράγγων* C *et ut vid. m. 1* A, *in quo ante ρ littera erasa. φράγκων* recc. alii *φράγγκων* M. — 11 *ἐφ' ὃν χρόνον* ACEMP *καθ' ὃν χρόνον* V. — 18 *ἀρχόντων*] *ἀνθρώπων* MR. — 19 *μασαλμᾶς* A *μαλσαβάς* B.

11 *γενόμενος* P. — 12 *καὶ ante ἐπτώθησαν om.* P. — *πλεῖσται* P (*om.* Theoph.). — 13 *τῆς πόλεως om.* P. — *πολλὰ om.* P Theoph. — 16 *Post ὑποχωρῆσαι* P *alia e Theophane desumpta addit.* — 16—18 *sic in* P: *ἀπέθανε δυσεντερικῶς ὁ δύστηνος ψυχῇ καὶ σώματι.* — 19—*p.* 746, 6 *post ἔτη κε' p.* 735, 14 *inserit* P. — 19 *ὁ οὖν μ. ἐν τῇ ἀσίᾳ παραχειμάσας ἐξεδέχετο τὰς τοῦ λέοντος ὑποσχέσεις, μηδὲν δὲ παρ' αὐτοῦ δεξάμενος καὶ γνοὺς ὅτι ἐνεπαίχθη τὴν ἄβυδον καταλ.* P Theoph.

καταλαβὼν καὶ ἀντιπεράσας λαὸν ἄπειρον καὶ πρὸς τὴν πόλιν ἐξορμήσας γράφει πρὸς Σουλεϊμᾶν τὸν πρωτοσύμβουλον ἐλθεῖν ἐν τάχει μετὰ τοῦ στόλου. καὶ τῇ μὲν ιε´ τοῦ Αὐγούστου μηνὸς παρακαθίσας τὴν πόλιν καὶ τὸ χερσαῖον τεῖχος περιχαρακώσας ἐλυμαίνετο σφόδρα τὰ Θρᾳκῷα μέρη, τῇ δὲ α´ 5 *τοῦ Σεπτεμβρίου μηνὸς ἀνέβαλεν ὁ Σουλεϊμᾶν ἔχων παμμεγέθεις ναῦς καὶ πολεμικὰς τειχήρεις καὶ δρόμωνας μεγάλους πάνυ χιλίους ὀκτακοσίους. ὁ δὲ βασιλεὺς τὰς ἐμπυρίους ναῦς κατ' αὐτῶν ἐκπέμψας πυριαλώτους ἐποίησε τὰς πλείστας καὶ φοβερὰς ναῦς ἐκείνας. αὐτίκα γοῦν αἱ μὲν* 10 *εἰς τὰ παράλια τείχη πυρπολούμεναι προσαπερρίφησαν, αἱ δὲ εἰς τὸν βυθὸν αὔτανδροι συνωθούμεναι κατεποντίσθησαν, ἕτεραι δὲ μέχρι τῆς Ὀξείας νήσου καὶ Πλατείας ἀπηνέχθησαν καταφλεγόμεναι. κἀντεῦθεν τοίνυν οἱ μὲν τῆς πόλεως θάρσος ἔλαβον, οἱ δὲ πολέμιοι κατέπτηξαν μεγάλως καὶ ἐξελύθησαν.* 15 *τῷ δὲ ἐαρινῷ καιρῷ λοιμικὴ νόσος εἰς αὐτοὺς ἐνσκήψασα μετὰ λιμοῦ πλῆθος ἀναρίθμητον ἐξ αὐτῶν διέφθειρεν. ἐξ* 638 M. *ὧν οἱ περιλειφθέντες πόλεμον ἐν τῇ Θρᾴκῃ μετὰ Βουλγάρων συνάψαντες ἀνῃρέθησαν χιλιάδες κβ´. τῇ δὲ ιε´ τοῦ Αὐγούστου μηνὸς ἐκ τῆς πόλεως ἀπάραντες, καὶ ἀνέμου σφοδρο-* 20 *τάτου πνεύσαντος, οἱ μὲν ἐν Προικονήσῳ καὶ ταῖς ἄλλαις*

8—15 *cf.* Theoph. *p.* 396, 8. — 16—19 *cf.* Theoph. *p.* 397, 23. — 19—*p.* 746, 6 *cf.* Theoph. *p.* 399, 6.

2 *σουλεϊμὰν* CD *σουλεημὰν* M *σουλιμᾶν* R *συλεΐμαν* A. — *πρωτοσύμβολον* A *πρωτοσύγγελον* B. — 3 *μετὰ στόλου* BM *et* recc. plerique. — *τῇ μὲν* ABDP *μὲν om.* CLMRV. *In* E *τῇ πεντεκαιδεκάτῃ sed π ex μ corr.* — 4 *παραχαρακώσας* N. — 6 *σουλεϊμὰν* D *σουλεημὰν* M *σελουίμαν* A *σουλιμᾶν vel σουλιμὰν* R. — 12 *αὔτανδροι συνωθούμενοι* ELR *om.* C. — 15 *διεξηλύθησαν* (-*ασι* M) N. — 16 *ἐν αὐτοῖς* N. — 18 *μετὰ βουλγάρων ἐν τῇ θράκῃ* RV. — 19 *τῆς δὲ πεντεκαιδεκάτης* N. — 21 *προικονήσῳ* (-*ίσῳ* C) BCV *προικωνήσῳ* recc. quidam *προικοννήσῳ* recc. alii *πρυκονήσῳ* P *πρηκονήσῳ* M *προκονήσῳ* E *πρωκονήσῳ* D *προκονίσσῳ* A.

7 *τειχήρεις κατήνας καὶ* P (*κατήνας om. τειχήρεις* Theoph.). — 10 *πλείστους* P. — 13 *πλάτης* P.

ἀκταῖς ἀπώλοντο, οἱ δὲ ἐξαβυδίσαντες, ἀθρόως ἐπελθὸν νέφος χαλάζης πλῆρες καὶ τετριγὸς ὀλέθριον μετὰ ῥαγδαίου ἀνέμου, ὑποβρύχιοι πάντες ἐγένοντο. διεσώθησαν δὲ παραδόξως ἐκ τῶν ͵αω΄ πέντε μόνα πλοῖα, ἃ καὶ ἀπήγγειλαν εἰς τὰ ἴδια
5 *τὴν τῶν Ῥωμαίων νίκην τε καὶ σωτηρίαν καὶ τὴν ἑαυτῶν ἧτταν καὶ πανωλεθρίαν.*

640 M. *Ἐφ' ὧν χρόνων ὑπῆρχεν ἐν Κωνσταντινουπόλει ἄνθρωπός τις διαβόητος καὶ περιφανὴς ἄγαν πλούσιός τε σφόδρα καὶ φιλόπτωχος ἄκρως, εἶχε δὲ καὶ ἐξ ἐνεργείας τοῦ πονηροῦ*
10 *τὸ πάθος τῆς πορνείας. εἰς γῆρας οὖν ἐλθὼν καὶ μήτε τῆς πολλῆς καὶ καθ' ὑπερβολὴν ἐλεημοσύνης παύσας, μήτε μὴν ἐκ τῆς πορνείας διὰ τὴν χρόνιον καὶ κακίστην συνήθειαν ἐκκόψας ἐτελεύτησεν αἰφνίδιον. ζητήσεως δὲ γενομένης περὶ αὐτοῦ παρά τε τοῦ πατριάρχου Γερμανοῦ καὶ τῶν ἐπισήμων*
15 *ἐπισκόπων, καὶ τῶν μὲν λεγόντων· ἐσώθη διὰ τὸ γεγράφθαι· λύτρον ψυχῆς ὁ ἴδιος πλοῦτος, ἐξ ἰδίων γὰρ καὶ δικαίων πόνων καὶ οὐκ ἐξ ἀλλοτρίων καὶ ἀδίκων ἐποίει τὴν ἐλεημοσύνην· τῶν δὲ μὴ παραδεχομένων, ἀλλ' ἀντιλεγόντων ὡς ἄμωμον εἶναι χρὴ τὸν δοῦλον τοῦ θεοῦ καὶ τέλειον, γέ-*

16 Prov. 13, 8.

1 *ἐξαβυδήσαντες* A *ἐξαβυθίσαντες* (*-ήσαντες* alii) R. — *ἐπελθὼν* ANP. *In* D *m. 2 corr.* — 4—6 *ἀπήγγειλαν τὴν ἑαυτῶν πανωλεθρίαν* (*rell. om.*) B. — 5 *τε καὶ σωτηρίαν om.* RV. — 6 *ἧττάν τε καὶ* AN. — *πανολεθρίαν* CEN *et* recc. nonnulli. — 7. 8 *ἄνθρ. τις περιφανὴς καὶ πλούσιος σφόδρα* (*rell. om.*) B. — 8 *τις om.* AN. — *διαβόητος καὶ περιβόητος καὶ περιφανὴς* N. — 9 *ἄκρος* AN. — *καὶ ante ἐξ om.* AB. — 11 *καὶ om.* BCLR. — 12 *καὶ om.* CR. — 16 *τῆς ψυχῆς* R *ψυχῆς ἀνδρὸς* EN. — 16. 17 *πόνων καὶ δικαίων* N.

3. 4 *ἐγένοντο παρεκτὸς ε΄ μόνα πλοῖα ἃ καὶ παραδόξως ἐκ τῶν ͵αω΄ περισωθέντα ἀπήγγειλαν* P. — 6 *Alia sequuntur in* P *e Theophanis narratione excerpta.* — 7—10 *ἐφ' οὗ* (*cf. p.* 744, 18 *not.*) *ἄνθρωπός τις ἐν κωνσταντινουπόλει — εἶχεν ἐξ ἐνεργ. τ. πον. καὶ τὸ πάθος* P. — 13. 14 *περὶ οὗ ζητήσεως γεν. παρά τε τοῦ μεγάλου γερμ.* P. — 19 *χρὴ τὸν*] *χρηστὸν* P.

γραπται γάρ· ἐάν τις ὅλον τὸν νόμον πληρώσῃ, πταίσῃ δὲ
ἐν ἑνί, γέγονε πάντων ἔνοχος, καί· ἐν ᾧ εὕρω σε κρινῶ
σε, φησὶν ὁ θεός — ἐκηρύχθη νηστεία καὶ προσευχὴ ὑπὸ
τοῦ πατριάρχου, καὶ ἐδήλωσεν εἰς ὅλα τὰ μοναστήρια καὶ
ἡσυχαστήρια δεηθῆναι τοῦ θεοῦ τοῦ γνωρίσαι αὐτοῖς διά 5
τινος ἀποκαλύψεως τὰ περὶ τοῦ ἀνθρώπου τούτου. οὗπερ
γενομένου, ἀπεκάλυψεν ὁ θεὸς ἐγκλειστῷ τινι μεγάλῳ καὶ
θεοφόρῳ, πῶς καὶ ποῦ τυγχάνει ὁ ἄνθρωπος. καὶ δὴ μετα-
στειλάμενος αὐτίκα τὸν πατριάρχην διηγήσατο αὐτῷ μετὰ
πολλῶν δακρύων ἐνώπιον παντὸς τοῦ λαοῦ λέγων οὕτως· 10
θεωρῆσαί με † τῇ νυκτὶ ταύτῃ προσευχομένῳ κατὰ θείαν
ἔκστασιν τόπον τινὰ ἐκ δεξιῶν μὲν ἔχοντα παράδεισον ἀνεξ-
ήγητον κάλλος περικείμενον, ἐξ εὐωνύμων δὲ κάμινον, ἧς 641 M.
ἡ φλὸξ μέχρι τῶν νεφελῶν ἀνέβαινεν, καὶ τὸν τελευτήσαντα
πλούσιον τοῦτον μεταξὺ τοῦ παραδείσου καὶ τῆς φοβερᾶς 15
ἱστάμενον καμίνου καὶ πολλὰ στενάζοντα καὶ πυκνὰ πρὸς
τὸν παράδεισον ἀποβλέποντα. ἐν τῷ οὖν στενάζειν αὐτὸν
καὶ ὀδύρεσθαι ὁρῶ τινα λαμπροφόρον ἐπιστάντα καὶ λέγοντα
πρὸς αὐτόν· τί μάτην στενάζεις, ἄνθρωπε; ἰδοὺ γὰρ διὰ τῆς
ἐλεημοσύνης σου ἐλυτρώθης τῆς γεέννης, διὰ δὲ τοῦ μὴ 20

1 Ep. Jac. 2, 10.

1 πταίσει BCDPR. — 3 καὶ ἐκηρύχθη A ἐκηρύχθη οὖν V. — 7 ἐγκλείστῳ ELMV *et* recc. multi. — 10 ἐνώπιον πάντων λέγων LP. — 11 με *om.* AV μοι *scripsit et* ἔτυχεν *addendum esse conj.* Muralt. — προσευχόμενον B προσευχομένου R προσευχομένῳ μοι V. — 12 ἀνεκδιήγητον B ἀδιήγητον V. — 14. 15 τελευτ. δὲ τουτονὶ πλούσιον V. — 15 τοῦτον *om.* CP. — πλούσιον μεταξὺ τούτων τοῦ M. — 20 τοῦ] τὸ BL.

3. 4 ἐκηρύχθη νηστεία καὶ λιτὴν μεγάλην καὶ σύναξιν ποιήσας ὁ πατριάρχης ἐδήλωσεν P. — 5 αὐτοῖς *om.* P. — 6 οὗπερ γενομένου *m. 2 ex* ὅπερ γενομένῳ P. — 8 ὁ ἄνθρωπος *om.* P. — 9 πατριάρχην] ἀρχιερέα P. — αὐτῷ *om.* P. — 10 οὕτως *om.* P. — 12 ἐκ *om.* P. — 13 κάμινον ἅπτουσαν, ἧς P. — 16 στενάξαντα P. — 18 καὶ ὀδύρεσθαι *om.* P. — 19 ἄνθρωπε *om.* P. — διὰ μὲν τῆς P. — 20 σου *om.* P.

ἀποστῆναί σε τῆς ἀκαθάρτου καὶ βδελυρᾶς πορνείας ἐστερήθης τοῦ παραδείσου. καὶ ταῦτα ὅ τε πατριάρχης καὶ οἱ σὺν αὐτῷ πάντες ἀκούσαντες φόβῳ μεγάλῳ συσχεθέντες πρὸς ἀλλήλους ἔλεγον· δικαίως οὖν καὶ ἀξίως ὁ ἀπόστολος ἔγραφεν·
5 φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. καὶ γὰρ ὁ θεὸς ἐν τῷ νόμῳ παρεγγυᾷ φάσκων· γίνεσθε ἅγιοι ὅτι ἐγὼ ἅγιός εἰμι. καί· οὐ πορνεύσεις, οὐ μοιχεύσεις. καί· οὐκ ἔσται πορνεία ἀπὸ θυ-
10 γατέρων Ἰσραὴλ καὶ οὐκ ἔσται πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ. ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες ὅτι, κἂν πορνεύωμεν, ποιοῦμεν ἐλεημοσύνην καὶ σωζόμεθα. ὁ γὰρ ὄντως ἐλεήμων ἑαυτὸν ὀφείλει πρῶτον ἐλεῆσαι καὶ τὸν ἁγιασμὸν τοῦ σώματος κατορθῶσαι, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. οὐκοῦν οὐδὲν
15 ὠφελήσει τὸ ἀργύριον διδόμενον ἐκ χειρὸς ῥυπαρᾶς καὶ ψυχῆς ἀμετανοήτου καὶ μεμολυσμένης καὶ διεφθαρμένης ὑπὸ τῶν ἀκαθάρτων ἔργων.

Ἐγένετο δὲ καὶ ἐν τῇ μεγάλῃ Ῥώμῃ τι τοιοῦτον· μοναχός
642 M. τις ἀφορισθεὶς ὑπὸ Γρηγορίου τοῦ πάπα ὡς παρὰ γνώμην
20 τοῦ ἡγουμένου αὐτοῦ καὶ παρὰ τὸν θεσμὸν τοῦ μοναστηρίου

4 1. Cor. 6, 18. — 8 Levit. 11, 44. — Exod. 20, 13 Deut. 5, 18. — 9 Deut. 23, 17. — 13 Hebr. 12, 14. — 18—*p.* 749, 15 *cf.* Joh. Moschi Pratum spir. *cp.* 192. Migne Tom. 87, 3, 3072.

1 *βδελλυρᾶς* ABMRV. — 2 *καὶ ante ταῦτα om.* AB. — 4 *ἔγραψεν* C *ἔλεγε γράφων* V. — 5 *ὅτι πᾶν* MV. — 18 *τι om.* AB.

1 *ἀκαθάρτου καὶ βδελυρᾶς om.* P. — 3—5 *ἀκούσαντες καὶ μεγάλως ἐκπλαγέντες καὶ φοβηθέντες εἶπον· εἰκότως οὖν ἔλεγεν ὁ θεῖος ἀπόστολος· φεύγετε* P. — 5 *πᾶν — 7 ἁμαρτάνει om.* P, *sed multos alios scripturae sacrae locos inserit.* — 11 *λέγοντες κἂν πορν. ἀλλὰ ποιοῦμεν* P. — 14 *τὸν κύριον, δηλαδὴ μετὰ σωτηρίας ἀλλὰ μετὰ κατακρίσεως. πόρνους γάρ φησι καὶ μοιχοὺς κρινεῖ ὁ θεός. ἀφιλάργυρος ὁ τρόπος. οὐκοῦν* P. — 15 *ῥυπαρᾶς om.* P. — 17 *Alia quaedam add.* P. — 18 *καὶ μοναχὸς δέ τις ἐν ῥώμῃ ἀφορισθεὶς* (*om. ἐγένετο — τοιοῦτον*) P.

τοῦ αὐτοῦ Γρηγορίου ποιήσαντά τι μετ' ὀλίγας ἡμέρας ἐτελεύτησεν. ὅπερ ἀκούσας ὁ πάπας μεγάλως ἐλυπήθη, ὅτι ἀπῆλθεν ὁ ἀδελφὸς ἐξαίφνης δεδεμένος, καὶ γράψας ἐν χάρτῃ εὐχὴν λύουσαν τὸν τεθνεῶτα ἐκ τοῦ ἀφορισμοῦ ἔδωκέ τινι διακόνῳ εἰπών· ἄπελθε ἐπὶ τὸν τάφον τοῦ ἀδελφοῦ καὶ 5 *ἀνάγνωσον αὐτήν. καὶ τούτου γενομένου, θεωρεῖ ὁ ἡγούμενος κατ' ὄναρ τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· λύπην ἔχομεν, ἀδελφέ, περί σου, ὅτι δεδεμένος ἐτελεύτησας. εἰπὲ οὖν ἡμῖν πῶς ὑπάρχεις. ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὄντως, πάτερ, εἰς φυλακὴν ἤμην ἕως τῆς χθὲς ἡμέρας. σήμερον δὲ διὰ τοῦ* 10 *θεοῦ ἀπελύθην. ὅπερ ἐξηγησάμενος ὁ ἡγούμενος τῷ πάπᾳ, ἐγνώσθη πᾶσιν ὅτι, καθ' ἣν ὥραν ὁ διάκονος ἀνέγνω τὴν εὐχὴν ἐπὶ τοῦ τάφου, τότε καὶ τοῦ δεσμοῦ ὁ ἀδελφὸς ἐλύθη. καὶ πάντες οἱ ἀκούσαντες ἔδωκαν δόξαν τῷ θεῷ τῷ δόντι τοιαύτην ἐξουσίαν τοῖς ἑαυτοῦ δούλοις.* 15

Διὰ δὴ τοῦτό φησι καὶ ὁ μέγας Χρυσόστομος· ἡμεῖς μὲν οὖν κατὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν τὰ δεσμὰ περιβάλλομεν. εἰ δέ τις καταφρονοίη τούτων, ἐπιστήσεται ὁ τοῦ

---

16 Chrysostomi locum in editis non inveni.

1 *ποιήσαντά τι* CDEP (*cf. infra*) *ποιήσαντι* AM *ποιήσας τι* BLV *ποιήσας* recc. nonnulli, *om.* recc. rell. — 10 *τῇ — ἡμέρα* ACDEL *τὴν — ἡμέρα* P. — *διὰ τοῦ χριστοῦ ἐλύθην* ER. — 14 *οἱ om.* AB. — *διδόντι* V *et fort.* E *in quo δι eras. vid. διδοῦντι* R. — 15 *αὐτοῦ* V *et* recc. plerique. — 16 *καὶ ὁ μέγας* ABPV *καὶ om.* rell. — *ὁ μέγ. χρ. φησι* RV *φησιν ὁ μέγας καὶ θεῖος χρ.* L.

1. 2 *ποιήσαντά τι καὶ ἐπὶ τούτῳ* (*τούτο cod.*) *μετ' οὐ πολὺ τελευτήσαντα μεγάλως ὁ πάπας ἐλυπήθη* P. — 4—6 *ἐκ τοῦ ἀφορ. καὶ διά τινος διακόνου ἐπὶ τὸν τάφον τοῦ ἀδελφοῦ κελεύσας ἀναγνωθῆναι, θεωρεῖ ὁ ἡγούμενος* P. — 8. 9 *ἐτελεύτησας. πῶς οὖν ὑπάρχεις* (*-χῃς cod.*); *ὁ δέ φησιν* P. — 10. 11 *καὶ σήμερον ἀπελύθην* (*om. δὲ διὰ τοῦ θεοῦ*) P. — 14. 15 *καὶ πάντες φοβηθέντες ηὐχαρίστησαν κυρίῳ τῷ δόντι ἐξ. τοιαύτην* P. — 15 P *add.*: *ἔφη γάρ· ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα καὶ ἐν τῷ οὐρανῷ* (Matth. 18, 18).

θανάτου καὶ τῆς κρίσεως καιρὸς διδάσκων αὐτὸν ὡς ἀψευδὴς ὁ λόγος τοῦ κυρίου καὶ ὁ νόμος τῆς αὐτοῦ ἐκκλησίας. ὅθεν λοιπὸν ἐγὼ μὲν ἀνεύθυνός εἰμι, τὸ γὰρ ἐμαυτοῦ πεποίηκα, ἐκεῖνος δὲ τὸν θεῖον ζυγὸν ἀπορρίψας καὶ τὰ ἱερὰ
5 δεσμὰ διαρρήξας, ὁ λόγος αὐτῷ ἔσται πρὸς τὸν ἐμοὶ κελεύσαντα δῆσαι. οὐδὲ γάρ, εἰ βασιλέως προκαθημένου τῶν παρεστώτων δορυφόρων τις ἐπετράπη δῆσαί τινα τῶν ὑπηκόων καὶ τὰ δεσμὰ περιβαλεῖν, ἐκεῖνος δὲ οὐ μόνον ἀπώσατο τοῦτον, ἀλλὰ καὶ τὰ δεσμὰ διαρρήξειεν, ὁ δορυφόρος ἐστὶν
10 ὁ τὴν ὕβριν πεπονθώς, ἀλλ' ὁ κελεύσας βασιλεύς. καὶ μάλα εἰκότως. τὰ γὰρ εἰς τοὺς διδασκάλους γινόμενα προσοικειούμενος ὁ πάντων βασιλεύς τε καὶ κύριος αὐτὸς ὡς τετιμημένος ἢ ὑβρισμένος διακείσεται.

643 M. [λδ'. Περὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου.]

15 Μετὰ δὲ Λέοντα ἐβασίλευσε Κωνσταντῖνος ὁ Κοπρώνυμος υἱὸς αὐτοῦ ἔτη λδ', ἐκ δεινοτάτου λέοντος ποικιλότροπος πάρδαλις, ἐκ σπέρματος ὄφεως ἀσπὶς δεινὴ καὶ ὄφις πετόμενος, ὁ ἐκ Δὰν ἀντίχριστος. οὗτος τὴν πατρῴαν βασιλείαν τε καὶ δυσσέβειαν διαδεξάμενος πλείω καὶ μᾶλλον ἐκ θεοῦ
20 καὶ τῆς θεομήτορος καὶ πάντων αὐτοῦ τῶν ἁγίων διΐσταται, κἀντεῦθεν λοιπὸν μαγείαις καὶ ἀσελγείαις καὶ δαιμόνων ἐπικλήσεσι καὶ ἄλλοις πονηροῖς ἐπιτηδεύμασι χαίρων καὶ σχο-

16—18 Theosterícti Vita Nicetae *cp.* 28 Act. Sanct. April. I. *p.* XXVIII.

7 τῶν ὑπηκόων τινα L τινα *om.* CEV. — 9 ὁ δορυφόρος ABLP οὐ δορυφ. CERV οὐχ ὁ δορυφ. N. — 10 ἀλλ' οὐχ ὁ B. — 12 ὁ παμβασιλεύς CELRV. — 15 ὁ κοπρώνυμος *post* υἱὸς αὐτοῦ *ins.* M *om.* LP ὁ καβαλλῖνος καὶ κοπρώνυμος ὁ R. — 16 ποικιλοτρόπος AMV *et* recc. quidam. — 17 πετώμενος BLPR *et* E *m. 2.*

2 τοῦ *om.* P. — 16—18 πάρδαλις ποικιλότροπος. ἐκ γὰρ σπέρμ. ὄφ. ἐξῆλθεν ἀσπὶς καὶ ὄφις πετώμενος, ὃς δὴ τὴν πατρ. βασ. P. — 21 ἀσελγείαις καὶ αἱμοθυσίαις καὶ δαιμ. ἐπικλ. P.

λάζων ἐξαίρετον ὄργανον καὶ λίαν ἐπιτήδειον τοῦ πατρὸς αὐτοῦ καὶ διδασκάλου γέγονε διαβόλου. καὶ γὰρ εἰς τοσαύτην ἀπόνοιαν καὶ παραπληξίαν ἐξώκειλεν, ὡς καὶ θεσμὸν ἐπὶ λαοῦ καθολικὸν ἐκθέσθαι, μὴ λέγεσθαί τινα τῶν θεραπόντων κυρίου τὸ παράπαν ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων 5 *εὑρισκόμενα διαπτύεσθαι καὶ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν. οὐδὲν γὰρ ἰσχύουσιν. εἶτα προσθεὶς ὁ ἀνόσιος καὶ παμβέβηλος λέγει· μηδὲ τῆς Μαρίας ἐπικαλείσθω τις πρεσβείαν, οὐ γὰρ δύναται βοηθεῖν τινι, μηδ' αὖ πάλιν θεοτόκον αὐτὴν ὀνομαζέσθω. καὶ δὴ λαβὼν ἐν χειρὶ βαλάντιον πλῆρες χρυ-* 10 644 M. *σίου καὶ ὑποδείξας αὐτὸ πᾶσιν ἤρετο· τίνος ἄξιόν ἐστιν; τῶν δὲ πολλοῦ εἰπόντων, κενώσας τὸ χρυσίον πάλιν ἤρετο· τίνος ἐστὶν ἄξιον; καὶ λέγουσιν· οὐδενός. οὕτως, ἔφη, καὶ ἡ Μαρία (οὐ γὰρ θεοτόκον ὁ ἄθεος ἠξίου λέγειν) ἕως μὲν εἶχε τὸν Χριστὸν ἐν ἑαυτῇ τετιμημένη ὑπῆρχεν, ἀφ' οὗ δὲ* 15 *τοῦτον ἀπέτεκεν, οὐδὲν τῶν λοιπῶν γυναικῶν διενήνοχεν. φεῦ τῆς τολμηρᾶς δυσφημίας τοῦ σαρακηνοπίστου καὶ ἰουδαιόφρονος. οὐ γὰρ ἦν χριστιανός, μὴ γένοιτο, ἀλλὰ Παυλικιάνος ἤ, τό γε ἀληθέστερον εἰπεῖν καὶ οἰκειότερον, εἰδωλολάτρης καὶ δαιμόνων ὑπηρέτης καὶ ἀνθρωποθύτης. τὴν γὰρ* 20

7—17 Theosterictus *l. l.*

3 *δεσμὸν* CENLR. — 3. 4 *καθολικὸν ἐπὶ λαοῦ* BMR. — 5 *κυρίου* ABP Exc. de virt. *τοῦ κυρίου* rell. — 7 *γάρ φησιν ἰσχύουσιν* PV. — 8 *τις m. 2 ut vid. ex τι* P *τὴν* B. — 9 *μηδ' αὖ — ὀνομαζέσθω om.* L. — *θεοτόκος αὐτῇ* Exc. — 10 *ὀνομαζέσθω* BCP *et* recc. nonnulli Exc. *ὀνομάζεσθαι* AEMV *et* recc. alii *ὀνομαζέτω* D (*ὀνομάζεσθαι ἤθελεν* Theost.). — *βαλλάντιον* MV *βαλλάτιον* Exc. — 13 *ἐστὶν om.* A Exc. *et* recc. quidam. — 14 *ἡ om.* C *et* recc. quidam; *in* recc. aliis *m. 1 spr. vers.* — *ἠξίου λέγειν ὁ ἄθεος* L *et* recc. quidam *λέγειν ἠξίου ὁ ἄθεος* recc. rell. — 15 *ἐν αὐτῇ* BCL Exc. — 16 *διενήνοχε γυναικῶν* N. — 18 *παυλικιανὸς* ER. — 20 *τὴν μὲν γὰρ* ELRV *τὴν μὲν* C.

7 *καὶ παμβέβηλος om.* P. — 9 *τινά* P. — 18. 19 *χριστιανὸς ἀλλὰ χρυσιανὸς καὶ χρυσολάτρης ἢ τό γε ἀληθ. καὶ οἰκειότερον εἰπεῖν εἰδωλ.* P.

πανάχραντον θεοτόκον καὶ τοὺς ἁγίους πάντας ὁ ἐναγὴς καὶ δύσθεος ἐκτρεπόμενος τὴν παρ' Ἕλλησι τιμωμένην Ἀφροδίτην καὶ τὸν Διόνυσον ἐθρήσκευεν ὁ νέος Ἰουλιανὸς καὶ ἀνθρωποθυσίας αὐτοῖς ἀνέφερε πέρα τῆς πόλεως, ἔνθα τῆς ἁγίας 5 ἦν ὁ ναὸς μάρτυρος Μαύρας, ὅνπερ ὁ μισάγιος ἐκδαφίσας καὶ φονευτήριον ποιήσας Μαῦραν ὠνόμασε τὸν τόπον, ἐν ᾧ καὶ τὰς πρὸς τοὺς δαίμονας τελετὰς νύκτωρ ποιούμενος παῖδα κατέσφαττεν. καὶ μαρτυρεῖ τὸ πρὸς θυσίαν σφαγιασθὲν τοῦ Σουφλαμίου παιδάριον, ὅπερ ὁ δαιμονιώδης ἐν 10 παραβύστῳ θύσας, ἔκδηλον ὁ θεὸς τοῖς πολλοῖς τοῦτο πεποίηκεν.

648 M. Τῶν δέ γε Σαρακηνῶν κατ' ἀλλήλων μαχομένων ἀκούσας ἐκστρατεύει πρὸς τὰ μέρη τῆς Συρίας καὶ διὰ τὴν τοιαύτην πρόφασίν τε καὶ ἄδειαν προσλαβόμενος λόγῳ τοὺς συγγενεῖς 15 αὐτοῦ Ἀρμενίους καὶ Σύρους αἱρετικοὺς εἰς τὸ Βυζάντιον μετῴκισεν, ὧν οἱ πλείους οἰκοῦντες ἐν τῇ Θράκῃ μέχρι νῦν Θεοπασχῖται κατὰ Πέτρον εἰσὶ τὸν δείλαιον.

647 M. Αὐτίκα γοῦν ἤρξατο ἀθρόως τε καὶ ἀοράτως γίνεσθαι σημεῖα ἔν τε τοῖς τῶν ἀνθρώπων ἱματίοις καὶ εἰς τὰ τῶν 20 ἐκκλησιῶν ἱερὰ ἐνδύματα, σταυροί τινες ἐλαιώδεις πλεῖστοι. καὶ οὕτω κατέλαβεν ἡ θεομηνία τοῦ βουβῶνος, λοιμικὴ

4—11 Stephani Vita Stephani Migne 1170 C. — 12—17 *cf.* Theoph. *p.* 422, 11. — 18—*p.* 753, 15 *cf.* Theoph. *p.* 423, 5.

4 πέραν LR Exc. παρὰ M. — 4. 5 τῆς ἁγίας μαρτ. μ. ἦν ὁ ναὸς N *et* recc. quidam τῆς ἁγ. μάρτ. ἦν ὁ ναὸς μαύρας V *et* recc. rell. τῆς ἁγ. μαύρας ὁ ναὸς Exc. — 6 μαύραν E Exc. — 8 παῖδας P Exc. — 10 τοῖς πολλοῖς *om.* L Exc. — 12 γε *om.* N. — 16 μετῴκησεν codd. *praeter* V *et* recc. quosdam. — 17 θεοπασχίται P θεοπασχῆται BV θεοπασχηταὶ A θεοπασχεῖται (-τε C) CEN. — 18 ἤρξατο AP ἤρξαντο rell. — 21 βομβῶνος BCE μομβῶνος D βομβόνος M βόμβονος A.

7 τελετὰς καὶ συνθήκας P (συνθήκας Steph.) — 11 *Alia quaedam add.* P. — 12 κατ' *om.* P. — 19 σημεῖα *om.* P Theoph. — 21 θεομήνεια P.

νόσος, οὐ μόνον τοὺς ἐν τῇ πόλει, ἀλλὰ καὶ τοὺς ἐν τοῖς περιχώροις αὐτῆς δεινῶς ὀλοθρεύουσα. καὶ πρὸς τούτοις ἐγίνοντο καὶ φαντασίαι τινὲς εἰς πολλοὺς τῶν ἀνθρώπων καὶ δείματά τινα ἐξαίσια. γινόμενοι γὰρ ἐν ἐκστάσει ἐνόμιζον ξένοις τισὶ καὶ βριαρέοις προσώποις ὁδεύειν, οἳ καὶ 5 τοὺς ἀπαντῶντας ὡς φίλους δῆθεν προσαγορεύοντες διελέγοντο. καὶ ταῦτα μὲν ἐν τῷ χειμῶνι γέγονεν. ἐν δὲ τῷ ἐαρινῷ καιρῷ μειζόνως ἐπέτεινεν ἡ νόσος, καὶ τῷ θερινῷ τοσοῦτον ἐξεκαύθη, ὥστε καὶ ὁλοκλήρους οἴκους τέλεον κλεισθῆναι, ὅθεν ἐκ πολλῆς περιστάσεως εἰς ἄλογά τε καὶ ἁμάξας 10 ἐπιστοιβάζοντες αὐτοὺς ἐξεκόμιζον. ἐν δὲ τῷ πληρωθῆναι τὰ ἐνάστεια πάντα καὶ τὰ προάστεια μνήματα, ἔτι μὴν καὶ λάκκους ὀρυχθῆναι καὶ ἀμπελῶνας κατασκαφῆναι συνέβη καὶ ἔνδον τῶν παλαιῶν τειχῶν κήπους εἰς τὴν τοιαύτην προσχωρῆσαι ταφὴν τῶν ἀνθρώπων. σὺν πᾶσι δὲ τούτοις ἔφθασεν 15 648 M. ἡ ὀργὴ καὶ εἰς τὸν ἀνίερον Ἀναστάσιον τὸν φατριάρχην, καὶ οἰκτίστῳ πάθει τῷ λεγομένῳ χορδαψῷ καταλύει τὸν βίον.

15—17 *cf.* Theoph. *p.* 427, 25.

3 καὶ φαντασίαι ABP Theoph. καὶ *ante* εἰς *ins.* V *om.* rell. — 5 βριαρέοις (-αίοις B) BCEV *et* A *sed* έο *in lit.* βρυαρέοις (-αίοις M) N βρυεροῖς R (βριεροῖς P βριεροῖς *vel* βριαροῖς codd. Theoph.). — 8 μειζόνως ABP Theoph. τοσοῦτον rell. — 8 καὶ τῷ — 9 ἐξεκαύθη *add.* ABPV Theoph. *om.* rell. — 11 ἐπιστοιβάζοντες BEPV ἐπιστυβάζοντες ACLN ἐπιστιβάζοντες recc. plerique. — αὐτοὺς *om.* N. — 12 ἐνάστια πάντα MP ἐναστείαπαντα A ἐν ἄστει ἅπαντα BEV. — 13 καὶ ἔνδον τῶν ABP καὶ τοὺς ἔνδον τῶν N Theoph. καὶ τοῦ ἔνδον τῶν CE καὶ τῶν ἔνδον V καὶ τοὺς τῶν ἔνδον τῶν R. — 14 τὴν *om.* CDERV. — προχωρῆσαι B *et* recc. plerique Theoph. — 15 σὺμ πᾶσι B συμπᾶσι CER.

6 φίλοις P. — 10 *Post* κλεισθῆναι P *e Theoph. add.*: καὶ μηδὲ τοὺς ὀφείλοντας εἶναι τοὺς νεκροὺς ἐκφέρειν καὶ θάπτειν —12 ἔτι μὴν καὶ κιστέρνας ἀνύδρους καὶ λάκκους P Theoph. — 13 καὶ πλείστας *(sic)* ἀμπελῶνας P Theoph. — κατασκαφῆναι *om.* P *invito* Theophane. — 15 σὺν πᾶσι — 17 βίον *om.* P *et p.* 754, 2 *post* πολλοῦ *pergit:* παντὸς οὖν οἴκου ἐκ τῆς τοιαύτης διαφθαρέντος συμφορᾶς διὰ τὴν μυσαρὰν αἵρεσιν τοῦ παλαμναίου

Ὁ δέ γε τύραννος βασιλεὺς τὴν πόλιν ἐάσας τὴν Νικομήδειαν καταλαμβάνει καὶ ἐκεῖσε διέτριβε μέχρι πολλοῦ. ἐπανελθὼν δὲ σύνοδον συναθροίζει κατὰ τῶν ἁγίων εἰκόνων ἐν Βλαχέρναις, ἐν ᾗ πολλὰ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ
5 *Χριστοῦ αὐτοῦ κενολογήσαντες οἱ ἱερεῖς τῆς αἰσχύνης καὶ τὰς μιαρὰς χεῖρας εἰς ὕψος ἄραντες καὶ ἀλαλάξαντες ἔρρηξαν τὴν ἐλεεινὴν φωνὴν ἐκείνην λέγοντες· σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν, ὅτι σύ, βασιλεῦ, ἐλυτρώσω ἡμᾶς ἐκ τῶν*
649 M. *εἰδώλων. ὢ τῆς ἐσχάτης καὶ τολμηρᾶς αὐθαδείας καὶ ἀπο-*
10 *νοίας καὶ βλασφημίας τῶν χριστομάχων καὶ ἱεροκαπήλων καὶ τῆς ἀκολάστου γλώσσης αὐτῶν καὶ γνώμης ἀγνώμονος. εἰ γὰρ ὁ τῆς ἀσεβείας πρόμαχος οὗτος αἴτιος τῆς εἰδώλων καθαιρέσεως, μάτην ἄρα γέγονεν ἡ ἐνανθρώπησις Χριστοῦ, κενὴ δὲ καὶ ἡ τῶν ἀποστόλων διδασκαλία. φυσηθεὶς οὖν*
15 *ὁ δείλαιος ἐπὶ τῇ ἀπηχεστάτῃ φωνῇ ταύτῃ προσέθετο καὶ*

1—2 *cf.* Nicephori Patr. Antirrhet. III *cp.* 65 Migne Tom. 100, 496 B. — 3—14 Stephani vita Stephani Migne 1120 D. *sqq.* — 14—*p.* 755, 4 *cf.* Theoph. *p.* 428, 2.

1 *γε om.* AR. — 7 *ἐκείνην φωνὴν* MV *φωνὴν om.* recc. nonnulli. — 10 *καὶ βλασφημίας om.* LP. — 11 *γνώμης αὐτῶν καὶ γλώσσης* D *γνώμης αὐτῶν καὶ γνώμης (sic)* R. — *καὶ ἀγνώμονος* C *om.* D. — 12 *πρόμαχος* PR *πρόταρχος* AEN *προύταρχος* L *πρώταρχος* BCV *(eadem varia lectio in codd. Stephani).* — *τῆς τῶν εἰδώλων* ALR. — 13 *χριστοῦ* ABP *τοῦ χριστοῦ* rell. — 14 *φυσιθεὶς* A *et* recc. nonnulli *φυσιωθεὶς* V *φυσιοθεὶς* recc. quidam.

καὶ ἀναστασίου τοῦ ἀνιέρου τεθνηκότος οἰκτίστῳ πάθει τῷ λεγομένῳ χορδαψῷ κόπρον διὰ στόματος ἐμέσαντος κωνσταντῖνος κατὰ τῶν ἁγίων εἰκόνων παράνομον συνέδριον ἀνοσίων ἐπισκόπων ἐν Βλαχέρναις ἐποίησεν ἐν ᾗ (sic) κ. τ. λ. (= Theoph. *p.* 424, 1 *et* 427, 25). — 1 *βασιλεὺς om.* P. — *ἐάσας καὶ εἰς νικ. ἀπελθὼν ἐκεῖσε* P. — 14 *καὶ κενὴ τῶν ἀποστόλων ἡ διδασκαλία* P. *Tum addit: ὅθεν εἰκότως ἀνεθεματίσθησαν καὶ ἀπερράγησαν ἀπὸ τῶν λοιπῶν ἁγίων θρόνων ὡς ἄχρηστα μέλη καὶ σεσηπότα διὰ τὴν τοιαύτην θεομαχίαν. et persequitur: καὶ οὕτως ὁ βέβηλος φυσηθεὶς ἐπὶ.*

12 *πρόμαχος* de Boor: *πρώταρχος*, quod praebent codices praestantissimi, recte defend. Praechter, Byz. Zeitschr. 15, 319.

ἕτερον παρανομίας εἶδος. ἀνελθὼν γὰρ ἀθέσμως καὶ ἀνιέρως ἐν τῷ ἄμβωνι χειροκρατῶν Κωνσταντῖνον ἐπίσκοπον τοῦ Συλλαίου γενόμενον ἐξεφώνησε μετὰ κραυγῆς μεγάλης· Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη, ποιήσας αὐτὸν δῆθεν πατριάρχην ὁ πεφενακισμένος καὶ ματαιόφρων ἐξ ὑπο- 5 βολῆς τῶν ἀνιέρων καὶ χριστεμπόρων. περὶ ὧν δικαίως ἂν λέξειεν ὁ μὲν Ἰεξεκιήλ· τάδε λέγει κύριος· οἱ ἱερεῖς ἠθέτησαν νόμον μου καὶ ἐβεβήλουν τὰ ἅγιά μου. ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον, καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ καθαροῦ οὐ διέκρινον. ὁ δὲ μέγας Δανιὴλ ἐμβριθέστερον 10 στηλιτεύσειε φάσκων· ἐξῆλθεν ἀνομία ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν τὸν λαὸν κυβερνᾶν. ὄντως γὰρ ἀληθῶς οὗτοι συνέλαβον πόνον καὶ ἔτεκον ἀνομίαν, ἐπειδὴ τὰ τῇ ἱερωσύνῃ καὶ τοῖς θείοις κανόσιν ἀνακείμενα λαϊκοῖς χαριζόμενοι ἐπέτρεπον ἐπιτελεῖν. καὶ θαυμαστόν γε οὐδέν. εἰ 15 γὰρ τὸν υἱὸν τοῦ θεοῦ καταπατῆσαι διὰ τῆς πρὸς τὴν ἱερὰν αὐτοῦ εἰκόνα ὕβρεως καὶ καθαιρέσεως οὐ πεφρίκασιν, πῶς ἂν τῆς ἱερωσύνης αὐτοῦ ἐφείσαντο; τίς οὖν οὐκ ἐκπλαγείη καὶ φρίξειεν ἀκούων καὶ βλέπων τὸν ἀσπιδοφόρον ἱεροθέτην καὶ τὸν πολέμοις ἐσχολακότα καὶ φόνοις ἱεροτελεστήν. ἀλλ' 20

---

7 Ez. 22, 26. — 11 Susanna *v.* 5. — 13 Psalm. 7, 15. — 18—20 Steph. vita Stephani Migne 1112 C.

1. 2 *ἐν τῷ ἄμβωνι ἀθέσμως καὶ ἀνιέρως* recc. quidam *ἐν τῷ ἄμβωνι om.* N. — 2 *συλλαίου* CP *et* recc. quidam *συλλέου* N *et* recc. plerique *συλαίου* ABEV. — 13 *τῆς ἱερωσύνης* BCER. — 19 *ἀσπιδοφόρον* AEP Steph. *ἀσπιδηφόρον* BRV *ἀσπιδιφόρον* CD *ἀποδιφόρον* M. — 20 *ἐσχολακότα πολέμοις* N. — *ἱεροτελέστην* V *et* recc. quidam *ἱεροτελετήν* E *om.* M.

1 *ἕτερόν τι παρ. εἶδος ἐπ' ὀλέθρῳ τῆς θεοστυγοῦς αὐτοῦ ψυχῆς δρᾶσαι. παραχρῆμα γὰρ ἀνελθὼν ἀθέσμως* P. — 3 *ἐξεφώνησε*] *ἔφη* P. — *μεγάλης om.* P (*μεγάλῃ τῇ φωνῇ* Theoph.). — 11 *ἀνομία ἐκ βαβυλῶνος ἐκ* P. — 14 *χαριζόμενοι καὶ ὑπὸ φιλαρχίας πιεζόμενοι δυσσεβῶς ἐπέτρεπον* P. — 15 *ἐπιτελεῖν om.* P. — 20 *Post ἱεροτελεστήν permulta alia addit* P *e Stephani vita partim desumpta. Tum persequitur: ἀλλ' ὅ γε τύραννος ὄν-*

οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἄξια τῆς χειροτονίας αὐτοῦ εἰς
650 M. τὸν χειροτονηθέντα ὑπ' αὐτοῦ διεπράξατο ἔργα. μαθὼν γὰρ
ἀκριβῶς ὁ ἀλάστωρ, ὅτι κρατήσας ὁ πατριάρχης αὐτοῦ τὰ
τίμια ξύλα πολλοὺς ἐπληροφόρησε λέγων· μὰ τὸν προσηλω-
5 θέντα εἰς ταῦτα κύριον, οὕτω μοι εἶπεν ὁ βασιλεύς, ὅτι·
οὐκ ἔστι θεὸς ὁ Χριστός, διὰ τοῦτο οὐδὲ τὴν Μαρίαν ἔχω
θεοτόκον, ἐξεμάνη σφόδρα κατ' αὐτοῦ ὡς τὸ μυστήριον τῆς
βλασφημίας αὐτοῦ θριαμβεύσαντος, καὶ ἐπιθεὶς αὐτῷ πολλὰς
πληγὰς ἐθριάμβευσεν αὐτὸν ἐπὶ λαοῦ καὶ ἱπποδρομίας ἐμ-
10 παιζόμενον, ἐμπτυόμενον, συρόμενον. εἶτα ἀσφαλισάμενος
αὐτὸν ἔν τινι τόπῳ ἀποστέλλει πρὸς αὐτὸν πατρικίους καί
φησιν· τί λέγεις ἄρτι περὶ τῆς πίστεως ἡμῶν καὶ τῆς συν-
όδου ἧς ἐποιήσαμεν; ὁ δὲ ματαιωθεὶς ταῖς φρεσὶ καὶ οἰό-
μενος αὐτὸν πάλιν ἐξευμενίσασθαι ἀποκριθεὶς εἶπεν· καλῶς
15 πιστεύεις καὶ καλῶς τὴν σύνοδον ἐποίησας. οἱ δὲ ἐπιγελά-
σαντες τῇ αὐτοῦ ἀνοίᾳ εἶπον· ἡμεῖς τοῦτο καὶ μόνον ἠθέ-
λομεν ἀκοῦσαι παρὰ τοῦ μιαροῦ σου στόματος. ἀπὸ δὲ τοῦ
νῦν ἄπελθε εἰς τὸ ἀνάθεμα καὶ εἰς τὸ σκότος. παραχρῆμα

11—*p*. 757, 3 *cf*. Theoph. *p*. 442, 1.

3 αὐτοῦ *om*. N. — 8 βλασφημίας] βασιλείας CR. — 9 ἱππο-
δρομίου AR(P).

τως καὶ αὐθάδης ταῦτα παραγραψάμενος καὶ τὸν ὁμώνυμον αὐτοῦ χειροτονήσας, ὡς ᾤετο, δεινῶς ὕστερον ἐξεμάνη κατ' αὐτοῦ ὡς τὸ μυστήριον τῆς βλασφημίας αὐτοῦ θριαμβεύσαντα. μαθὼν γὰρ ἀκριβῶς ὅτι κρατήσας τὰ τίμια ξύλα κ. τ. λ. *usque ad v*. 7 θεοτόκον. διὸ τοῦτον ὁ μιαιφόνος μετὰ πολλῶν ἐμπαιγμῶν καὶ μαστίγων ἐπὶ λαοῦ καὶ ἱπποδρομίου ἐκπομπεύσας ἀποστέλλει πρὸς αὐτὸν πατρικίους καὶ φησίν· τί λέγεις ἄρτι κ. τ. λ. (*v*. 12). — 6 καὶ διὰ τοῦτο P. — 14 ἐξευμενίσασθαι· καλῶς, ἔφη, πιστεύεις P. — 15. 16 ἐποίησας. οἱ δὲ ἀποκριθέντες εἶπον· ἡμεῖς P Theoph. — 18—*p*. 757, 4 ὃν καὶ παραχρῆμα καρατομήσαντες τὴν μὲν κεφαλὴν αὐτοῦ ἐν τῷ φόρῳ ἐκρέμασαν, τὸ δὲ σῶμα ἐκ τῶν ποδῶν σχοινίῳ (δήσαντες καλωδίῳ τὸν πόδα Theoph.) σύραντες ἔρριψαν εἰς τὰ πελαγίου, ἔνθα ἦν ὁ τοῦ ἁγ. μάρτ. πελ. ναός κ.τ.λ. (Steph.) P, *qui post* Πελαγίου *p*. 757, 5 *addit:* πολλοὶ γὰρ τῷ φόβῳ τοῦ δυσμενοῦς ἐπαμφοτερίζοντες μετὰ διπλόης τὴν ὁμολογίαν τῆς πίστεως εἶχον. *Tum alia sequuntur theologica.*

δὲ ἐξαγαγόντες αὐτὸν ἀπεκεφάλισαν, καὶ τὴν μὲν κεφαλὴν αὐτοῦ ἐν τῷ Φόρῳ ἐκρέμασαν, τὸ δὲ σῶμα σύραντες ἔρριψαν εἰς τὰ Πελαγίου, ἔνθα πρώην μὲν ὑπῆρχεν ὁ τοῦ ἁγίου μάρτυρος Πελαγίου ναός, ὃν ὁ θεομισὴς καταλύσας καὶ τάφον καταδίκων ποιήσας ἐκάλεσε τὰ Πελαγίου. οὕτως οὖν 5 τὸν ὑπ' αὐτοῦ χειροτονηθέντα καὶ δοξασθέντα φατριάρχην τιμήσας ἀντιχειροτονεῖ πάλιν τὸν εὐνοῦχον Νικήταν καὶ Σκλάβον.

Οὕτω δὲ καὶ Πέτρον τὸν ἱερὸν στυλίτην μὴ πεισθέντα 651 M τοῖς πονηροῖς αὐτοῦ δόγμασι πολλὰ βασανίσας εἰς τὰ Πελα- 10 γίου συρόμενον ζῶντα ῥιφῆναι προσέταξεν. ὡσαύτως μὲν οὖν καὶ τὸν θεῖον Στέφανον ἐν τῇ ἀκρωρείᾳ τοῦ ὄρους Αὐξεντίου τοῦ θεοφόρου ποιήσαντα ἔτη μ' ἐν οἰκίσκῳ μικρῷ πολλὰ τιμωρήσας ἐπέτρεψε συρέντα ῥιφῆναι εἰς τὰ Πελαγίου ὡς οὐ μόνον ἀντιπίπτοντα καὶ μαχόμενον αὐτοῦ τῇ κακο- 15 δοξίᾳ, ἀλλὰ καὶ πολλοὺς μεταφέροντα πρὸς τὸν μονήρη βίον καὶ καταφρονεῖν πείθοντα βασιλικῶν ἀξιωμάτων καὶ χρημάτων. καὶ ἦν ἰδεῖν κατὰ πᾶσαν πόλιν καὶ χώραν θρῆνος ἐπὶ θρῆνον καὶ οὐαὶ ἐπὶ οὐαὶ παρὰ τῶν εὐσεβούντων, παρὰ δὲ τῶν ἀσεβούντων ἱερὰ πατούμενα καὶ σκεύη μεταποιούμενα 20 ἐκκλησίας τε ἀνορυττομένας καὶ θείας εἰκόνας κατασπωμένας.

3—5 Stephani Vita Stephani Migne 1177 C. — 5—8 *cf.* Theoph. *p.* 440, 12. — 9—11 *cf.* Theoph. *p.* 442, 19. — 11—17 *cf.* Theoph. *p.* 436, 26 Niceph. Brev. *p.* 72. — 18—21 Stephani Vita Stephani Migne 1112 D.

1 *αὐτὸν ἔξω ἀπεκ.* N. — 10 *τοῖς αὐτοῦ πονηροῖς* RV. — 18 *πόλιν καὶ χώραν* BCMPR *χώραν καὶ πόλιν* ADELRV Steph. — *θρῆνος* ABP Steph. *θρῆνον* rell. — 21 *κατασπωμένας* AP *ἀνασπωμένας* B *πατουμένας* rell.

8 P *add.*: *ἀλλ' ὢ τῆς ἐσχάτης ἀπονοίας καὶ ἀπανθρωπίας τοῦ ἀτασθάλου. πῶς οὐκ αἰδέσθη τὴν ἁγίαν κολυμβήθραν. δύο γὰρ αὐτοῦ τέκνα δεξάμενος ἦν ἐκ τῆς τρίτης γυναικός* (Theoph. *p.* 442, 13). — 11 *συρόμενον ἐκ τῶν ποδῶν ζῶντα* P (Theoph.). — *μὲν οὖν*] *γε μὴν* P. — 19 *εὐσεβούντων μέν* P. — 20 *παρατούμενα* P. — 21 *Post κατασπωμένας* P *add. ex Steph. vita* 1113 A:

πολλῶν τοίνυν ἀρχόντων καὶ στρατιωτῶν διαβληθέντων εἰκόνας προσκυνεῖν διαφόροις τιμωρίαις καὶ πικροτάταις αἰκίαις τούτους ὁ τρισάθλιος καὶ τῆς ἀληθείας ἐχθρὸς παραδοὺς κατὰ Βουλγάρων ἐστράτευσεν, καὶ ἐξοπλίσας ἐκ τῶν θεμάτων χε-
5 *λάνδια δισχίλια ἑξακόσια ἐπὶ Ἀχελὸν ἀπέστειλεν. ἐν δὲ ταῖς ἀκταῖς προσορμισθέντα, καὶ τοῦ βορρᾶ βιαίως πνεύσαντος, ἅπαντα μικροῦ δεῖν συνετρίβησαν, καὶ ἐπνίγη λαὸς ἀναρίθμητος. ὅπερ μαθόντες οἱ Βούλγαροι πόλεμον πρὸς αὐτὸν συνάπτουσι καὶ τὰ πλήθη αὐτοῦ δεινῶς συγκόψαντες, ὑπ-*
10 *έστρεψε μετ᾽ αἰσχύνης μεγάλης καὶ ἥττης.*

652 M. *Ἐφ᾽ ὧν χρόνων γέγονε ψύχος μέγα καὶ πικρότατον, ὥστε καὶ τὴν ἀρκτῴαν τοῦ Πόντου παράλιον ἐπὶ μίλια ρ´ ἀπολιθωθῆναι τὸ πέλαγος ἐκ τοῦ κρύους καὶ ἐπὶ πήχεις λ´ τὸ βάθος. οὗπερ ἐπιχιονισθέντος, ηὐξήθη ἐπ᾽ ἄλλας κ´ πήχεις,*
15 *ὥστε συμμορφωθῆναι τὴν θάλασσαν τῇ ξηρᾷ καὶ πεζοπορεῖσθαι ὕπερθεν τοῦ κρύους ὑπὸ ἀγρίων τε καὶ ἡμέρων ζώων. τῷ δὲ Φευρουαρίῳ μηνὶ κατὰ θεοῦ κέλευσιν τοῦ*

1—10 *cf.* Theoph. *p.* 437, 9. — 11—*p.* 759, 15 *cf.* Theoph. *p.* 434, 6.

5 *δισχίλια* ABCP Theoph. *δισχίλια corr. ex χίλια* E *χίλια* rell. — *ἀχελὸν* (*τὸν ἀχελὸν* A) AN *ἀχελὼν* BR *ἀχελῶν* CEV *ἀγχιλῶν* P *m. 1, sec. m. in ἀγχίαλον mut.* — 7 *ἐπνίγησαν* D *ἐπλήγη* B. — 9 *αὐτοῦ*] *αὐτῶν* ER. — *συγκόψαντες δεινῶς* N. — *ὑπέστρεψε* ABP *ὑπέστρεψαν* (*ἀπ.* N) rell. — 11 *καὶ πικρότατον om.* N. — 13 *ἐκ τοῦ κρύους* ABP Theoph. *om.* rell. — 14 *χιονισθέντος* R *ἐπιχιονιθέντος* P (*ἐπιχιονηθέντος* Theoph.). — *ηὐξήνθη* BGM. — *ἐπὶ ἄλλας* BDR *ἐπάλας* C.

ἐν πελέκει (*πέλεκι* cod. *πέλυκι* Steph.) *καὶ λαξευτηρίῳ κατὰ τὸ εἰρημένον* (Psalm. 73 [74], 6; 7) *καὶ ἐμπυριζομένας ἐπὶ τὸ ἁγιαστήριον τοῦ θεοῦ, ἀντιζωγραφούμενα δὲ ὄρνεα καὶ θηρία παντοῖα.* (*ib.* 1120 C): *καὶ γὰρ ἀλογίᾳ καὶ ἀσεβείᾳ συζῶντες ἀναμέσον ἁγίου καὶ βεβήλου καὶ καθαροῦ καὶ ἀκαθάρτου διαστεῖλαι παντελῶς οὐ διέγνωσαν* (Ez. 22, 26). — 4 *χελάνδια m. 2 corr. ex χελάν* P. — 7 *ἀναρίθμητος*] *ἀμύθητος* P. — 8 *μαθόντες m. 2 ex μαθὼν* P. — 9 *ἀνάπτουσι* P. — 10 *Alia quaedam e Theophanis chronographia excerpta add.* P. — 12 *πάραλον* P (*παραλίαν* Theoph.).

τοιούτου πάγους εἰς πλεῖστα καὶ ὀροφανῆ τμήματα διαιρεθέντος, καὶ τῇ τῶν ἀνέμων βίᾳ ἐπὶ Δαφνουσίαν καὶ τὸ Ἱερὸν κατενεχθέντων, οὕτω διὰ τοῦ Στενοῦ ἐπὶ τὴν πόλιν ἔφθασαν κἀκεῖθεν μέχρι τῶν νήσων καὶ Ἀβύδου πᾶσαν τὴν παράλιον ἐπλήρωσαν ἔχοντα καὶ ζῶα διάφορα προσπεπηγμένα 5 ἥμερά τε καὶ ἄγρια. διὸ πᾶς ὁ βουλόμενος ἀπὸ Σοφιανῶν εἰς τὸν ἅγιον Μάμαντα καὶ εἰς τὴν πόλιν, ἀφ' ἧς πάλιν εἰς Χρυσόπολιν, ὡς διὰ ξηρᾶς ἐβάδιζεν. ἐκ δὲ τῶν μεγάλων ἐκείνων τμημάτων δύο προσραγέντων, τὸ μὲν τῇ σκάλᾳ τῆς Χρυσοπόλεως, τὸ δὲ τῷ τείχει τῆς πόλεως, ἡ μὲν συνετρίβη, 10 τὸ δὲ μεγάλως ἐκ τῶν θεμελίων ἐδονήθη μετὰ τῶν ἔνδοθεν πλησίον οἰκημάτων. ὅπερ οὖν τμῆμα διαιρεθὲν εἰς τρία καὶ ἀπὸ τῶν Μαγγάνων ἕως τοῦ Βοοσφορίου τὴν πόλιν διαζῶσαν ὑπερεῖχε πολὺ τῷ ὕψει τὰ τείχη. ταῦτα θεωροῦντες 653 M. οἱ τῆς πόλεως καὶ διαποροῦντες ἐθρήνουν ἀπαρηγόρητα. 15

Ἐν οἷς καὶ πλάνη γέγονε περὶ τοῦ πάσχα, καὶ παρηλλαγμένως τῆς ἀκριβείας τῶν ὀρθοδόξων οἱ παράπαιστοι πασχάσαντες ὕστερον ἐπιγνόντες τὴν ἑαυτῶν πλάνην ᾐσχύνοντο. καὶ τῷ Ἀπριλλίῳ μηνὶ δρόμος ἀστέρων γέγονεν ἐν τῷ ἀέρι, καὶ κατεσπῶντο πρὸς τὴν γῆν, ὡς τοὺς ὁρῶντας 20 νομίζειν εἶναι συντέλειαν. αὐτίκα δὲ καὶ αὐχμὸς ἐγένετο πολὺς καὶ λιμὸς μέγας, ὡς ξηρανθῆναι πηγὰς καὶ ποταμούς, καὶ πραθῆναι τὸν μόδιον τῆς κριθῆς ἐν τῇ πόλει νομισμά-

16—19 *cf.* Theoph. *p.* 431, 13. — 19—22 *cf.* Theoph. *p.* 435, 5. — 23—*p.* 760, 1 *cf.* Theoph. *p.* 419, 25.

2 τῷ ἱερῷ A τοῦ ἱεροῦ R. — 4 μέχρι *om.* N. — πᾶσαν τὴν παράλιον γῆν R πᾶσαν παράλιον τὴν γῆν G. — 9 ἐκείνων τμημάτων ABDLP τμημάτων ἐκείνων rell. — 10 Χρυσοπόλεως] ἀκροπόλεως Theoph. — 12 οὖν *om.* N. — 13 βοοσπορίου B βοοσφόρου DR φωσφωρίου M. — διαζώσαντα BR διασείσαντα G. — 14 τὰ τείχη τῷ ὕψει ARV. — 16 καὶ *ante* πλάνη *om.* EG. — καὶ περὶ CGV. — 17 τῆς ἀκριβείας τῶν ὀρθοδόξων *om.* N.

7 μάμαν P. — 8 ἀκωλύτως ὡς P Theoph. — 10 τῆς πόλεως *om.* P Theoph. — 14 ταῦτα δὲ θεωρ. P. — 21 ἀχμὸς P.

των ιβ'. ἐν δὲ τῇ Συρίᾳ γέγονε σεισμὸς μέγιστος καὶ πολλὴ πτῶσις, ὥστε αἳ μὲν τῶν πόλεων ὁλοκλήρως ἠδαφίσθησαν, αἳ δὲ ἐξ ἡμισείας, ἕτεραι δὲ ἀπὸ τῶν ὀρείων εἰς τὰ ὑποκείμενα πεδία σὺν τῶν τειχῶν καὶ τῶν οἰκημάτων ἄρδην
5 *μετέστησαν ἀβλαβεῖς ὡς ἀπὸ μιλίων β'. ἡ δὲ γῆ τῆς Μεσοποταμίας ἐπὶ μίλια γ' σχισθεῖσα καὶ ἑτέραν ἀναβράσασα λευκὴν καὶ ἀμμώδη γῆν, ἀνῆλθε παραδόξως ἐκ μέσου ταύτης ἡμίονος ἀνθρωπίνῃ φωνῇ φθεγγομένη καὶ προμηνύουσα ἐπιδρομὴν ἔθνους· ὅπερ καὶ γέγονε μετ' ὀλίγον.*

10 *Ὁ δὲ τύραννος καὶ ἀλάστωρ ἐξελθὼν μετὰ ταῦτα πάλιν*
655 M. *κατὰ Βουλγάρων καὶ δεινῶς κατὰ τῶν σκελῶν ἀνθρακωθεὶς καὶ πυρετῷ λάβρῳ καὶ διακαεῖ συσχεθεὶς κατὰ τὴν Ἀρκαδιούπολιν ἀνέστρεψεν ἐγκλίνιος, καὶ ἐλθὼν ἐν Συλιμβρίᾳ καὶ ἐμπλοΐσας μέχρι τοῦ Στρογγύλου καστελλίου θνήσκει ψυχῇ*
15 *καὶ σώματι βοῶν καὶ λέγων ὅτι· ζῶν πυρὶ ἀσβέστῳ παρεδόθην διὰ τὴν Μαρίαν· ἀλλ' ἀπὸ τοῦ νῦν ὑμνείσθω καὶ τιμάσθω.*

656 M. *Περὶ οὗ καὶ ὁ θεῖος Νικηφόρος Κωνσταντινουπόλεως*

1—9 *cf.* Theoph. *p.* 426, 17. — 10—17 *cf.* Theoph. *p.* 448, 12. — 18—*p.* 762, 17 Niceph. Antirrh. III *cp.* 70 Migne Tom. 100, 504 B.

1 *δὲ τῇ* CNP *δέ γε τῇ* rell. — *μέγας* BN. — 3 *ὀρείων scr. e* Theoph. *qui ὀρεινῶν habet. ὀρέων* B *ὁρίων* (ὡρ. M) ACELNPV *ἀερίων* R *ἀγρίων* G. — 4 *σὺν*] *μετὰ* G. — *σὺν τοῖς τείχεσι καὶ τοῖς οἰκήμασι* V. — 12 *λαύρῳ* BRV. — 13 *συλιμβρίᾳ* AP *σιλιμβρίᾳ* B *σηλιμβρίᾳ* R *συλυμβρία* C *σηλυμβρίᾳ* EG *συλλιβρίᾳ* D *σιλιβρία* M *σιλυβρία* V. — 14 *ἐμπλοΐσας* DEP *ἐμπλοήσας* C *εὐπλοήσας* V *εὐπλωΐσας* M *ἐκπλοίσας* ABR. — *στρογγύλου* AEPRV *στρογγίλου* M *στρογγυλοῦ* rell. — *καστελίου* BCV. — 16 *ὑμνείσθω καὶ τιμάσθω* ABP *τιμάσθω καὶ ὑμνείσθω* rell.

12 *ἀρκαδίου πόλιν* P. — 17 P *add. ex* Theoph.: *καὶ οὕτως ὁ θεήλατος καὶ δυσμενής τε καὶ ἄσπονδος ἐχθρὸς τοῦ χριστοῦ καὶ τῆς παναχράντου μητρὸς αὐτοῦ καὶ τῶν ἁγίων πάντων κατέλυσε τὸν βίον πολλοῖς χριστιανῶν αἵμασι μεμολυσμένος καὶ δαιμόνων ἐπικλήσεσι καὶ θυσίαις καὶ μέντοι καὶ μυσαραῖς πράξεσιν ὁ ἐξάγιστος. καὶ γὰρ παντοίοις ὑπερακμάσας κακοῖς οὐχ ἧττον ὤφθη διοκλητιανοῦ καὶ ἰουλιανοῦ καὶ τῶν πάλαι δυσσεβῶν καὶ τυράννων.*

τοιάδε φησίν· ἐπειδὴ δέ τινα παρὰ τοῖς χριστομάχοις περιθρυλλεῖται, ἅπερ αὐτοῖς ὁ τοῦ ψεύδους πατὴρ ἐμπνεύσειεν, φέρε καὶ ταῦτα διασκεψώμεθα. καταψεύδονται γὰρ διὰ τὴν εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν αὐτοῦ ὕβριν χρόνους μηκίστους καὶ παρατεταμένην ζωὴν καὶ βίον εὐπαθῆ μεμετρῆσθαι 5 *τῷ Μαμωνᾷ, καὶ εὐημερίας εἰς ἄκρον ἐλάσαι, νίκας τε κατὰ βαρβάρων αὐτῷ καὶ ἀνδραγαθήματα ὡς πλεῖστα ἐπιγράφοντες, ἃ τοῖς σώφροσιν οὐδὲ εἰς ἀκρόασιν ἔρχεσθαι δίκαιον. ὡς δ' ἂν τῶν ἁπλουστέρων ἢ ἀμαθεστέρων τινὰς τοῖς ἐκ τῆς ἀπάτης ἀναπλασμοῖς μὴ βλάπτοιεν, τούτων διευθύνον-* 10 *τες ἕκαστα κενοῖς λόγοις ἑαυτοὺς φενακίζοντας ἀποφήνωμεν τοὺς ματαιόφρονας. ὅτι μὲν γὰρ ὁ βίος ἐκείνου πάναισχρος γέγονε βδελυκτός τε θεῷ καὶ ἀγγέλοις καὶ ἀνθρώποις τοῖς εὐσεβέσιν ὑπῆρχεν οὐκ ἀσυμφανές. καὶ γὰρ εἰς τὰ σαρκὸς πάθη κατασυρόμενος καὶ τοῖς ἀπηγορευμένοις βαρβάροις καὶ* 15 *Ἕλλησι σῶμα καὶ ψυχὴν ὁ δείλαιος ἐμμολυνόμενος τὴν τῶν ἀλόγων ζώων παρήλασε κτηνωδίαν. καὶ ταῦτα οὐκ ὀλίγιστοι τῶν ὑπηρετησαμένων αὐτῷ μέχρι δεῦρο περιόντες ἀπαγγελλέτωσαν, μεθ' ὧν καὶ τἄλλα δή, ἃ περὶ τὸ σῶμα αὐτῷ ἀπήντει. πόνοις γὰρ καὶ ἀλγηδόσιν ἀρρήτοις, οἷα* 20 *εἰκὸς τοὺς ἡλκωμένους πάσχειν, βαλλόμενος πονηρῶς ἄγαν*

---

5 *μεμετρεῖσθαι* AB *μὴ μετρεῖσθαι* R *μετρεῖσθαι* (*-σθω* M) GM *ἐκμετρεῖσθαι* P (*ἐκμεμετρῆσθαι* Nic.). — 7 *ὡς om.* AB. — *ἐπιγράφοντες αὐτοῖς σώφρ. οὐδὲ* C *ἐπιγράφοντες αὐτοῖς ἃ οὐδὲ* G *ἐπιγράφονται αὐτοῖς σώφρ. ἃ οὐδὲ* R. — 8 *σωφρονοῦσιν* A *σωφρονεῖν* C. — 11 *φενακίζοντες* (*φαιν.* R) AGR. — *ἀποφίνομεν* AC *ἀποφαίνομεν* R *ἀπεφήναμεν* M. — 12 *ὁ ἐκείνου βίος* B *ὁ ἐκείνου* (*om. βίος*) G *οὖν ἐκείνου* (*om. βίος*) R *qui pro πάναισχρος exhibent πᾶν αἰσχρὸν.* — 14 *καὶ γὰρ εἰς* ABP *et* recc. quidam Nic. *καὶ γὰρ καὶ εἰς* rell. *praeter* E, *in quo καὶ posterius supra vers. adscr.* — 15 *καὶ Ἕλλησι*] *ἔγκλησιν* R *om.* G. — 17 *ὀλιγοστοὶ* DV *ὀλίγοι* B *ὀλίγοις* R *ὀλίγοις τοῖς* A. — 19 *δὴ ἃ*] *δι' ἃ* ER *διὰ* A *δεινὰ* B *τὰ* V. — 20 *ἀπήντη* C *m. 1* *ἀπήντησε* G *et* C *m. 2* *ἀπήντα* BV Nic. *κατήντησαν* R. — 21 *ἡλκωμένους* B *ἡλκομένους* (*ἡλ.* A) ADV *εἱλκομένους* (*εἱλ.* M) CGMP. — *πονήρως* ENRV.

13 *γεγονὼς* P Nic. — *βδελυκτὸς καὶ θεῷ καὶ ἀγγέλοις ἀνθρώποις τε τοῖς εὐσ. καθίστη* P Nic.

καὶ ἀνηκέστως διέκειτο, καί τινα τῶν μελῶν ὑπὸ τῆς ἑλκώσεως καὶ διαβρώσεως ἀπερρυηκότων αὐτῷ ἐλεεινῶς ἀπηχρείωτο. συνεχέστατα δὲ ὑπὸ τῶν ἐρινύων ἐκδειματούμενος πικρῶς τε καὶ ἀΰπνως πολλάκις τὸν νυκτερινὸν χρόνον διή-
5 νυεν. παρείσθω τὰ νῦν λέγειν τὸ τῆς διαίτης ἀηδές τε καὶ αἴσχιστον· ὅπερ γὰρ ἂν προσάραιτο βρώσεως οὐ τέλεον κατα-
657 M. ποθὲν παρὰ τοὺς ἐμέτους ἔφθανεν ἐκκρινόμενον. τὸ δὲ περὶ τοὺς ὑπηρετουμένους ἰταμὸν καὶ θηριῶδες τοῦ τρόπου καὶ τῆς ὑπηρεσίας τὸ δυσαχθέστατον ποῖα ἄν τις εἴποι τὰ φέ-
10 ροντα σώματα; μάστιξι γὰρ ἑκάστης ἡμέρας πολλαῖς καταξαίνων αὐτῶν τὰ νῶτα καὶ τὰς ὄψεις παίων πὺξ καὶ λὰξ ἐναλλόμενος οὐδὲν τῶν σαρκοβόρων θηρίων φιλανθρωπότερον ἔπραττεν, ἐκτομὰς δὲ μελῶν καὶ ὀφθαλμῶν πηρώσεις καὶ τἄλλα ὅσα δεινὰ κολαστήρια καὶ σφαγὰς ἀδίκους ἀν-
15 δρῶν ἀθώων καὶ τοὺς διὰ πυρὸς πικροτάτους θανάτους, μάλιστα δὲ κατὰ τῶν ὀρθοδοξούντων, ἐπιδεικνύμενος, τί χρὴ καὶ λέγειν; οἱ γὰρ τῆς μανίας αὐτοῦ καὶ δυσσεβείας ὑπασπισταὶ καὶ δορυφόροι ῥῖνας μὲν ὡς πλείστας ἀνθρώπων ὁσίων ἀποτέμνοντες, ὥσπερ τὴν τοῦ προδρόμου πάλαι κεφα-
20 λὴν Ἡρώδῃ προσέφερον, οὕτω καὶ τῷ ἐφ' ἡμῶν Ἡρώδῃ οἷον δῶρον ἡδὺ καὶ ἐπέραστον ἐκόμιζον ἐπὶ πίνακος. ὀφθαλμῶν γὰρ ἐξορύξεις καὶ γενειάδος ἐμπυρισμοὺς καὶ αἱμάτων ἐκχύσεις μαρτυροῦσιν οἱ μέχρι νῦν τὰ σύμβολα περιφέροντες, θανάτους δὲ βιαίους τῶν τοιούτων καὶ ἐξαισίους ὁ τῆς
25 θαλάσσης βυθὸς ἐπίσταται, καὶ οἱ λίθοι κράζουσιν. ἃς δὲ

25—*p.* 763, 20 Niceph. *l. l. cp.* 72 Migne 508 A.

3 ἐριννῶν A ἐρυνίων C ἐρρυνίων D ἐριννύων BEM *et* recc. quidam ἐρριννύων recc. alii. — 6 πρὸς ἄραιτο (ἄρ. M) βρ. MP προσάρετο βρ. E *et* D *m. 2 corr.* προσαρετοβρώσεως A πρὸς ἀρετοβρώσεως C πρὸς ἄριστον βρώσεως R. — 7 ἐμετοὺς AER. — ἐκκρινόμενος B ἐνκρινόμενος A κρινόμενον R. — 9 ποία CDGP *et* B, *qui post* εἴποι *add.* φωνή. ποίας A πῶς RV (ὁποῖα Nic.). — 22 ἐμπρησμοὺς BP. — 23 μέχρι τοῦ νῦν G μέχρι καὶ νῦν R. — φέροντες BM. — 25 κράξουσιν CE παράξουσιν B.

11 πὺξ δημοσίᾳ καὶ P.

περιπλάττουσιν αὐτῷ νίκας οἱ ἐμβρόντητοι καὶ λυσσώδεις ὁμόφρονες αὐτοῦ, ἵνα μιᾶς τῶν κρατίστων αὐτῶν ἐπιμνησθῶμεν, τοιαῦταί εἰσιν. ἐπειδὴ παρεσκεύαστο πρὸς τὸ ἐν δυσμαῖς ᾠκισμένον Σκυθικὸν ἔθνος ἀμύνασθαι, συναθροίζει πᾶν τὸ ὑπ' αὐτὸν στράτευμα, εἰς χεῖράς τε τοῖς πολεμίοις 5 *ἰὼν ὁποῖον αὐτῷ τὸ τοῦ πολέμου τέλος κατώρθωτο μαρτυρεῖ τὰ φαινόμενα. μέχρι γὰρ καὶ τήμερον τὰ κατὰ τὴν Ἀχελὸν καλουμένην πόλιν κοῖλα καὶ πεδιάσιμα χωρία, ἃ τῶν ἀνῃρημένων ἐδέξαντο τὰ κῶλα, σαφῶς ὑποδεικνύουσιν. ἔργον γὰρ τῆς Σκυθικῆς μαχαίρας ἅπαν σχεδὸν τὸ στράτευμα τῶν Ῥω-* 10 *μαίων γέγονεν. εἰ δέ τι μικρὸν καὶ οὐ πάνυ ἀξιόλογον ἔδρασεν, τοῦτό ἐστιν. τοὺς γὰρ πρὸς ἀνατολὰς οἰκοῦντας βαρβάρους ἀκηκοὼς περὶ τοὺς οἰκείους ἡγεμόνας διαστασιάζοντας καὶ πρὸς τὸν ἐμφύλιον πόλεμον ἀσχολουμένους, λῃστρικώτερόν πως μᾶλλον ἢ στρατηγικώτερον ὡς λήσων ἐπιὼν* 15 *τοῖς τῆς Ἀρμενίας καὶ Συρίας χωρίοις τῶν ἐκείνῃ φρουρίων αἱρεῖ ὁμολογίᾳ τῶν προσοικούντων καὶ ἐπὶ τὴν Θρᾴκην αὐτοὺς μετήγαγεν. τοιαῦτα μὲν οὖν τὰ ἐκείνου ἀνδραγαθήματα καὶ τὰ κατ' ἐχθρῶν σχεδιαζόμενα τρόπαια, τοιαῦτα* 658 M. *δὲ καὶ τὰ κατὰ τῆς ἀληθείας καὶ εὐσεβείας νεανιεύματα.* 20

---

2 *αὐτῶν om.* BCV Nic. — 5 *ὑπ' αὐτὸν m. 2 ex ὑπ' αὐτῶι ut vid.* P *ὑπ' αὐτῶν* C *ὑπ' αὐτοῦ* NR. — 6 *κατόρθωτο* ACEM *κατώρθωται* (*κατόρθ.* V *et* recc. quidam) RV. — 7 *ἀχελὼν* BDER *ἄχελον* C *ἀγχιαλὸν* P (Nic.). — 12 *ἔδρασαν* R *ἔδρασε* P *sed ε in fin. m. 2 in lit.* — 14 *καὶ πρὸς — ἀσχολουμένους om.* EN. — *ληστικώτερον* EN. — 15 *λήσων* DPV *λησῶν* C *ληίσων* B *λύσσων* M *λυσσῶν* AER. — 16 *χωρίοις om.* N *spr. vers. add.* E. — *ἐκείνῃ* P Nic. *ἐνεκείνοις* B *ἐκείνοις* rell.

9 *ὑποδείκνυσι* P Nic. — 10 *τὸ om.* P. — 16 *καὶ Συρίας om.* P Nic. — 17—18 *προσοικούντων. οὐ γὰρ ἐχθρῷ (-ῶν* cod.) *ἀλλοφύλῳ ὑπηντήκει πώποτε, ἀλλὰ τούτους αὐτοὺς μόνους ἀρμενίους καὶ σύρους χριστιανοὺς ὑπάρχοντας διὰ λόγου καὶ ὁρκωμοσίας ἐπὶ τὴν θρᾴκην μετήγαγεν. οὗ τὴν ἔφοδον οἱ σαρακηνοὶ γνόντες ἀπόμοιράν τινα ὁπλιτικῆς φάλαγγος ἐκπέμπουσι κατ' αὐτοῦ εἰς πεντακισχιλίους ἄνδρας ἠριθμημένην, ὧν τὴν ὁρμὴν ἐπαισθόμενος αὐτίκα φυγὰς ἅμα τῷ σὺν αὐτῷ πλήθει ᾤχετο, μηδὲ ὡς πλησιέστατα οἷός τε ὢν τούτοις γενέσθαι. τοιαῦτα κ. τ. λ.* P Nic.

ἀπηναισχύντησε γὰρ κατά τε τοῦ θεοῦ μανεὶς καὶ κατὰ τῶν ἱερῶν ἀνδρῶν τῶν ὥσπερ αὐτῷ ἀναθήματα προσηκόντων. καὶ τὸ ἀγγελικὸν δὴ τοῦτο καὶ ἀποστολικὸν τοῦ μοναστικοῦ βίου σχῆμα βδελυττόμενος ὁ θεομισής τε καὶ βέβηλος ἐπώ- 5 *νυμον τῆς θεοσεβείας τὸ ἀμνημόνευτον αὐτοῖς ἐπέγραψεν ὄνομα. βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια, καὶ ὅσιος ἀκάθαρτος παρὰ κακούργοις. οἷα δὲ εἰς αὐτοὺς τυραννίδι ἐπιὼν ὁ τύραννος ἔδρασεν, τίς ἄν, ὡς ἔφην, ἀξίως διηγήσεται; τάς τε γὰρ πρὸς θεὸν ἐπηγγελμένας αὐτοῖς ὁμολογίας* 10 *καὶ συνθήκας ἀθετεῖν ἐκβιαζόμενος καὶ τὸ ἱερὸν σχῆμα ἀπορρίψαντας τὸ τῶν λαϊκῶν ὁ παράνομος ἐνομοθέτησε μεταμφιέννυσθαι, τὰ δὲ εἰς δόξαν θεοῦ ἱδρυμένα μοναστήρια στρατιωτῶν οἰκητήρια καὶ ἱπποστάσια καὶ κοπρῶνας ὁ κοπρόνους καὶ κοπρώνυμος πεποίηκεν. εἶτα πρὸς τῷ τέλει* 15 *τῶν κακῶν καὶ τοῦ θεοστυγοῦς αὐτοῦ βίου γενόμενος καὶ πυρετῶν ὀξύτησι καὶ φλογώσεσι καταπιμπράμενος τῆς ἐκδεξομένης αὐτὸν γεέννης προδήλως τὴν φλόγα προθεώμενος κατωπτρίζετο καὶ τοῦ ἀκοιμήτου σκώληκος τὰ δήγματα σύντονόν τε καὶ γεγωνότερον ἐμβοῶν ἐνδελεχέστατα· τῆς γεέννης*

1—11 Niceph. *l. l. cp.* 80 Migne 521 D. — 6 Sir. 1, 24. — Pr. 21, 15. — 12—14 Niceph. *ib. cp.* 64 *fin.* Migne 493 D. — 14—*p.* 765, 6 Niceph. *ib. cp.* 71 Migne 505 B.

1 *ἀπηνεσχύντησε* (*-ισε* CM) CLMPR. — 3 *εὐαγγελικὸν* BGV. — *μοναστικοῦ* AP Nic. *μοναδικοῦ* B *μοναχικοῦ* rell. — 7 *εἰς αὐτοὺς* ABPV Nic. *πρὸς αὐτοὺς* rell. — 8 *διηγήσηται* BD. — 9 *πρὸς τὸν θεὸν* B *παρὰ θεῷ* R. — 12 *θεοῦ* ABELP *τοῦ θεοῦ* CRV *om.* N. — 16 *ὀξύτητι* ERV. — *καταπιπράμενος* C *κατεμπιπράμενος* MV. — *ἐκδεξαμένης* N *ἐκδεχομένης* C. — 17 *προθέμενος* C *προχεόμενος* A. — 18 *κατοπτρίζετο* ACLP *κατωπρίζετο* R *κατοπτρίζεται* M. — *δήματα* B *δείγματα* CM. — 19 *γεγονότερον* CMP *γεγονὸς* B *γέγονε* A (*γεγωνὸς* Nic.). — *ἐμβοῶν* ADP *ἐκβοῶν* rell. Nic.

7 *Post κακούργοις* P *add.*: *καὶ βδέλυγμα δίκαιος ἀνὴρ ἀνδρὶ ἀδίκῳ* (Pr. 29, 27) *καὶ ἄνδρες αἱμάτων μέτοχοι μισοῦσι ὅσιον* (Pr. 29, 10).

ταῦτα προαύλια καὶ προοίμια. τοιαύταις οὖν καὶ τοσαύταις εὐπαθείαις ἐναναπαυσάμενος, ὑφ' ὧν δὴ καὶ Διοκλητιανόν τε καὶ Μαξιμιανὸν συντελεσθέντας ἀκούομεν, οὕτω κακῶς καὶ ἀθλίως ἀπολλύμενος καταστρέφει τὸν αἴσχιστόν τε καὶ κάκιστον βίον ὁ ἄσπονδος τοῦ Χριστοῦ καὶ τῶν ἁγίων 5 αὐτοῦ πάντων ἐχθρὸς καὶ πολέμιος δυσμενέστατος.

[λε'. Περὶ Λέοντος τοῦ ἐκ τῆς Χαζάρας.]

Μετὰ δὲ Κωνσταντῖνον τὸν Κοπρώνυμον ἐβασίλευσε Λέων ὁ ἐκ τῆς Χαζάρας υἱὸς αὐτοῦ ἔτη ε'. ὃς ἔδοξε μὲν πρὸς ὀλίγον χρόνον εὐσεβὴς εἶναι, μετὰ δὲ ταῦτα παρετράπη. 10 τολμήσας γὰρ φορέσαι τὸ στέμμα τῆς μεγάλης ἐκκλησίας 660 M. ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ αὐτοῦ, καὶ οὕτω πυρετῷ σφοδροτάτῳ συνεχόμενος καὶ φθειρόμενος ἐτελεύτησε τῆς ἱεροσυλίας τὰ ἐπίχειρα κομισάμενος.

Ἐφ' οὗ ἀνθρώπῳ τινὶ ὁδεύοντι μόνῳ κύων ἠκολούθει, 15 λῃστὴς δὲ ἐνόδιος τὸν ἄνθρωπον ἀποκτείνας ἀπέδρα, τοῦ 661 M. κυνὸς ἀπομείναντος ἐν τῷ τόπῳ καὶ φυλάσσοντος τὸ σῶμα τοῦ δεσπότου αὐτοῦ. ἕτερος δέ τις ἄνθρωπος κατὰ τὴν ὁδὸν ἐλθὼν καὶ τὸ σῶμα ἰδὼν καὶ σπλαγχνισθεὶς ὀρύξας

9—14 *cf.* Theoph. *p.* 449, 14; 453, 26.

1 ταῦτα τὰ προαύλ. R τὰ προαύλ. (*om.* ταῦτα) V. — 2 ἀναπαυσάμενος BM. — 3 τε *om.* ABM. — 13 καὶ φθειρόμενος *om.* BR. — 19 καὶ *ante* σπλαγχνισθεὶς *om.* MR.

5 βίον ἐτῶν ὑπάρχων νς' (ὀκτὼ πρὸς τοῖς πεντήκοντα Nic.) μηδὲν πλέον ἐπιζήσας ὁ ἄσπονδος P. — 6 καὶ πολέμιος *om.* P. — *Post* δυσμενέστατος P *partim e Nicephoro desumpta haec addit:* ποίας οὖν ἄρα κατηγορίας τε καὶ κατακρίσεως οὐκ εἶεν ἄξιοι οἱ μακαρίζοντες ἐκεῖνον ἀνοήτως μᾶλλον δὲ δυσσεβῶς, οὐκ αἰσχυνόμενοι καὶ τὸ οὐαὶ παρὰ τῆς θείας γραφῆς εἰκότως ἀποφερόμενοι. οὐαὶ γάρ, φησίν, οἱ λέγοντες τὸ πικρὸν γλυκὺ καὶ τιθέντες τὸ σκότος φῶς (Jes. 5, 20). *Tum sequitur narratio de Paulicianorum haeresi, quam reliqui codices p.* 718, 9 *sqq. exhibent. Reliqua chronici pars in cod.* P *deest.*

ἔθαψεν αὐτὸ τῇ γῇ. τοῦτο ἰδὼν ὁ κύων καὶ ἀποδεξάμενος ἠκολούθει τῷ θάψαντι εὐνοϊκὴν δουλείαν αὐτῷ ἀποπληρῶν. ἦν δὲ τὸ ἐπιτήδευμα τοῦ ἀνθρώπου κάπηλος. πάντας οὖν τοὺς εἰσιόντας καὶ ἐξιόντας εἰς τὸ ἐργαστήριον ἔσαινεν 5 ὁ κύων, χρόνῳ δέ ποτε συνέβη καὶ τὸν φονέα πιόμενον εἰς τὸ καπηλεῖον ἐλθεῖν· ὃν ἐπιγνοὺς ὁ κύων ὑλάκτει καὶ ἐπεπήδα εἰς τὸ πρόσωπον αὐτοῦ καὶ εἰσελθεῖν οὐκ εἴα τὸν ἄνθρωπον. τοῦτο δὲ πολλάκις γινόμενον εἰς ὑποψίαν πολλοὺς θείου τινὸς κινήματος ἤγαγεν. διὸ καὶ συσχεθεὶς εἰς 10 κρίσιν παρεδόθη, καὶ τὸ πραχθὲν ὁμολογήσας μετὰ πάσης ἀληθείας ἀνῃρέθη.

[λς'. Περὶ Κωνσταντίνου υἱοῦ Εἰρήνης.]

Μετὰ δὲ Λέοντα ἐβασίλευσε Κωνσταντῖνος υἱὸς αὐτοῦ ἔτη ιζ'. ἐφ' οὗ τὸ τῆς εὐσεβείας δόγμα ἔλαβεν ἀρχὴν παρ-15 ρησιάζεσθαι, καὶ ὁ λόγος τοῦ θεοῦ πλατύνεσθαι, καὶ τὰ 662 M. μοναστήρια μετὰ πάσης ἀδείας ἀνοικοδομεῖσθαι. ἐν δὲ τοῖς μακροῖς τείχεσι τῆς Θρᾴκης ἄνθρωπός τις ὀρύσσων εὗρε λάρνακα γεγραμμένην· Χριστὸς μέλλει γεννᾶσθαι ἐκ Μαρίας τῆς παρθένου, καὶ πιστεύω εἰς αὐτόν. ἐπὶ δὲ Κωνσταντίνου 20 καὶ Εἰρήνης τῶν εὐσεβῶν βασιλέων, ὦ ἥλιε, πάλιν με ὄψει. καὶ μέντοι καὶ τῆς πανευφήμου μάρτυρος Εὐφημίας τὸ λείψανον προβυθισθὲν ἐν τῇ θαλάσσῃ σὺν τῇ λάρνακι ὑπὸ τοῦ τυράννου καὶ μισαγίου εὑρέθη ἐν τῇ Λέσβῳ νήσῳ διὰ νυκτερινῆς ὄψεως, καὶ ἀνακομισθὲν μετὰ τῆς προσηκούσης

14—20 *cf.* Theoph. *p.* 455, 8. — 21—*p.* 767, 4 *cf.* Theoph. *p.* 439, 27.

1 *ἐθάμνισεν* (*-ησεν* E) AEL. — *ἐν τῇ γῇ* BN. — 2 *αὐτῷ δουλείαν* L *αὐτῷ om.* M. — 4 *ἔσενεν* ACM *περιέσαινεν* V. — 5 *ἀπιόμενον* C *πιόμεραν* B *om.* M. — 8 *τοῦτο — γενόμενον* CDR *τούτου — γενομένου* M. — 14 *αὐτοῦ καὶ Εἰρήνη ἔτη ιζ'* V *αὐτοῦ ἔτη ι'* (*sic*) *σὺν τῇ μητρὶ εἰρήνῃ* R. — 20 *εὐσεβεστάτων* V *om.* BR. — *με ὄψει* (*ὄψῃ* AE) ACEV Theoph. *ὄψει* (*vel ὄψῃ*) *με* rell. — 23 *τῇ*] *τε* M *om.* D. — *λεσβονήσσω* A *λευκονήσω* B *λεσβονήνω* G.

τιμῆς ἀπετέθη πάλιν ἐν τῷ ἰδίῳ τεμένει, ὅπερ αὐτὸς μὲν ὁ κοπρώνυμος καὶ κοπρόνους ἀρμαμέντον καὶ κοπροθέσιον ἐποίησεν, ὁ δὲ Κωνσταντῖνος ἅμα τῇ μητρὶ αὐτοῦ Εἰρήνῃ ἀνακαθάραντες αὖθις τοῦτο καθιέρωσαν.

Μετὰ δὲ ταῦτα ἐξοπλισάμενος Ἀαρὼν ὁ τῶν Σαρακηνῶν 5 663 M. *ἀρχηγὸς κατὰ τῆς πόλεως ἦλθεν ἐν μεγάλῃ δυνάμει καὶ περιεκάθισεν ἐν Χρυσοπόλει. ὁ δὲ βασιλεὺς πέμψας λαὸν καὶ τὴν Βάνην κρατήσας, εἰρήνην Ἀαρὼν αἰτεῖται μεταξὺ Ῥωμαίων τε καὶ Σαρακηνῶν γενέσθαι. συναρπασθέντες οὖν ἐπὶ τούτῳ Σταυράκιος ὁ λογοθέτης καὶ Πέτρος ὁ μάγιστρος* 10 *καὶ Ἀντώνιος ὁ δομέστικος καὶ τέκνα τῶν πρωτευόντων καὶ ἄνευ λόγου πρὸς αὐτὸν ἐξελθόντες ἐκρατήθησαν ὑπ' αὐτοῦ. διόπερ ἀναγκασθέντες οἱ τῆς πόλεως καὶ δῶρα πλεῖστα δόντες, ἀνεχώρησεν εἰρήνην μετὰ τῶν χριστιανῶν ποιήσας. καὶ δὴ βαθείας εἰρήνης γενομένης, ἐξῆλθεν ὁ βασιλεὺς σὺν τῇ μητρὶ* 15 *πρὸς τὰ μέρη τῆς Θρᾴκης μετ' ὀργάνων καὶ μουσικῶν καὶ λαοῦ πλείστου· οἳ καὶ τὴν Βερόην καὶ Ἀγχελὸν κτίσαντες ὑπέστρεψαν μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης.*

Ὁ δέ γε πατριάρχης Παῦλος ὁ Κύπριος ἀρρωστήσας καὶ τὴν ἐνθένδε μεταχώρησιν αὐτοῦ προγνοὺς ἐκ θείας ἀπο- 20 *καλύψεως καὶ τὸν θρόνον καταλιπὼν καὶ πρὸς τὴν μονὴν* 664 M. *τῶν Φλώρου ἀπελθὼν καὶ μονάσας, ἀπέρχεται πρὸς αὐτὸν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ μαθεῖν βουλόμενοι τῆς ὑποχωρήσεως τὴν αἰτίαν. ὁ δὲ μετὰ πολλῶν δακρύων ἔφη·*

5—14 *cf.* Theoph. *p.* 456, 2. — 14—18 *cf.* Theoph. *p.* 457, 6. — 19—*p.* 768, 15 *cf.* Theoph. *p.* 457, 13.

2 *ἀρμαμέντον* GV *ἀρμάμεντον* (*ἀρμ.* quidam) DR *ἀρμαμεντὸν m. 1 ex ἀρμεντὸν* A *ἀρμαμέντω* C. — 6 *ἐν om.* A. — *ἐν δυνάμει μεγάλῃ* RV. — 8 *τὴν βάνιν* E *τὸν βάνην* C *τὸν βαάνην* Exc. de legg. — 10 *ἐπιτοῦτω* A *ἐπὶ τοῦτο* BCERV *ἐπὶ τούτο* M *ἐπὶ τούτοις* Exc. — 14 *ἀνεχώρησαν* CGV. — *ποιήσαντες* C *ποιησάμενοι* V. — 15 *γενομένης* ABV *γεναμένης* rell. — 16 *καὶ ante μουσικῶν om.* BC. — 17. 18 *οἳ καὶ τὰ πολλῆς χ. καὶ εὐφρ.* (*om. rell.*) C. — 17 *βερόην* AE *βεροίην* V. — *ἀχελὸν* AN *ἀχελὼν* BRV *ἀχελῶν* E. — 19 *παῦλος καὶ κύπριος* A *π. ὁ καὶ κ.* B. — 22 *φλώρου* BV *φλόρου* rell.

εἴθε μηδ' ὅλως ἐκάθισα ἐν τῷ θρόνῳ τῆς ἐκκλησίας ταύτης ἀπεσχισμένης ὑπαρχούσης ἐκ τῶν λοιπῶν ἁγίων θρόνων καὶ ἀναθεματιζομένης. ταῦτα ἀκούσαντες οἱ βασιλεῖς μετὰ σκυθρωπότητος ἀνεχώρησαν, ἀποστέλλουσι δὲ πρὸς αὐτὸν τοὺς 5 *πατρικίους ἀκοῦσαι τὰ παρ' αὐτοῦ λεγόμενα. πρὸς οὓς μετὰ παρρησίας ἐν τῷ τέλει τῆς διδασκαλίας εἶπεν· ἐὰν οὖν μὴ σύνοδος οἰκουμενικὴ γένηται, καὶ τὸ σφάλμα διορθωθῇ τῆς πίστεως ὑμῶν, οὐκ ἔχετε σωτηρίαν. οἱ δὲ πρὸς αὐτόν· καὶ ἵνα τί καθυπέγραψας ἐν τῷ χειροτονεῖσθαί σε τοῦ μὴ προσ-* 10 *κυνεῖν εἰκόνας; καὶ διὰ τοῦτο γάρ, φησίν, ἐγὼ θρηνῶ καὶ πρὸς τὴν μετάνοιαν κατέφυγον δεόμενος, ἵνα μὴ ὡς ἱερέα με κολάσῃ ὁ θεὸς καὶ ποιμένα σιγήσαντα μέχρι νῦν καὶ μὴ κηρύξαντα τὴν ἀλήθειαν τῷ φόβῳ τῆς μανίας ὑμῶν καὶ μιαιφονίας. ταῦτα δὲ οὗτοι ἀκούσαντες ἀπῆλθον ἔχοντες* 15 *ἐν ἑαυτοῖς πολλὴν ἀπορίαν τε καὶ συζήτησιν. ἐν τούτοις οὖν πᾶσι τὸν τῆς ἀληθείας ἀναπτύσσων λόγον καὶ τὴν μυσαρὰν διαπτύων αἵρεσιν ἐκοιμήθη ἐν εἰρήνῃ τε καὶ ὀρθοδοξίᾳ μέγα πένθος καταλιπὼν τοῖς τε βασιλεῦσι καὶ τοῖς εὐσεβέσιν ἀνθρώποις τῆς πόλεως. ἦν γὰρ σεβάσμιος ἀνὴρ* 20 *πάνυ καὶ αἰδέσιμος καὶ πάσῃ ἀρετῇ κεκοσμημένος, ὅθεν καὶ πολλὴν πίστιν εἰς αὐτὸν ἐκέκτηντο πάντες. ἀντ' αὐτοῦ δὲ χειροτονηθέντος Ταρασίου τοῦ ἀπὸ ἀσηκρητῶν, καὶ διὰ* 665 M. *βασιλικῆς παρακλήσεως ἀπὸ Ῥώμης καὶ τῶν λοιπῶν ἁγίων θρόνων καὶ τῶν ὑπὸ τὴν βασιλεύουσαν πόλιν πάντων ἐπι-* 25 *σκόπων ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐπισυναχθέντων καὶ τὰς θείας γραφὰς ἀρξαμένων ὑπαναγινώσκειν καὶ ἀντι-*

17—21 *cf.* Theoph. *p.* 458, 1. — 21—*p.* 769, 4 *cf.* Theoph. *p.* 461, 12.

3 *ταῦτα ἀκούσας ὅ τε* (*τε om.* M) *βασιλεὺς καὶ ἡ μήτηρ αὐτοῦ μετὰ* N. — 4 *τοὺς om.* BM. — 6 *οὖν om.* CMV. — 8 *ὑμῶν* BC DE Theoph. *ἡμῶν* rell. — 11 *κατέφυγα* BM *καταφεύγω* R. — 14 *δὲ καὶ οὗτοι* AB. — 22 *ἀπὸ ἀσηκριτῶν* R *ἀπὸ ἀσικρητῶν* M *ἀπὸ ἀσικριτῶν* CE *ἀποασικρίτων* A *ἀπὸ ᾱ ασηκριτῶν* B *ἀποασηκρῆτις* V. — *καὶ τῶν διὰ* CEMRV. — 23 *ἀπό τε Ῥώμης* BN. — 24. 25 *ἐπισκόπων πάντων ἐπισυνάχθ. ἐν τῷ ναῷ τ. ἁγ. ἀποστ.* N.

βάλλειν εἰς ὑπήκοον τῶν βασιλέων καὶ τοῦ λαοῦ παντός, ἐστασίασαν κατ' αὐτῶν οἱ τοῦ Κοπρωνύμου σχολάριοι καὶ μαθηταὶ καὶ γυμνώσαντες αὐτῶν τὰ ξίφη τὸν σύλλογον διέλυσαν. οὓς οἱ βασιλεῖς αὐτίκα τῆς πόλεως ὑπεξαγαγόντες ἀόπλους προφάσει εὐωχίας εἰς τὰ Μαλάγινα πρὸς τὰς ἰδίας 5 *χώρας ἀτίμως ἐξήλασαν, τὸν δὲ θεῖον Ταράσιον σὺν τοῖς προρρηθεῖσιν ἐπισκόποις ἐν τῇ Νικαέων πόλει ἀποστέλλουσιν. καὶ γενομένης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ἀπέλαβε πάλιν ἡ ἐκκλησία τὸν ἀρχαῖον αὐτῆς κόσμον.*

Ἑβδόμη σύνοδος γέγονεν ἐν Νικαίᾳ τῆς Βιθυνίας συν- 10 *ελθοῦσα τὸ δεύτερον τν' πατέρων ἔτει τῆς Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς βασιλείας η'. ταύτης ἡγοῦντο Πέτρος πρεσβύτερος τοῦ ἁγίου ἀποστόλου Πέτρου καὶ Πέτρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Σάβα τὸν τόπον ἐπέχοντες Ἀδριανοῦ πάπα Ῥώμης, Ταράσιος Κωνσταντινου-* 15 *πόλεως, Ἰωάννης, Γεώργιος καὶ Θωμᾶς μοναχοὶ πρεσβύτεροι καὶ τοποτηρηταὶ τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως, τοῦ τε Πολιτιανοῦ Ἀλεξανδρείας καὶ Θεοδωρήτου Ἀντιοχείας καὶ Ἡλία Ἱεροσολύμων, κατὰ τῆς πρῴην ἀθέσμως*

4—7 *cf.* Theoph. *p.* 462, 5. — 8—9 Theosterieti vita Nicetae *cp.* 30.

1 *εἰς ὑπήκ. πάντων τῶν* (*τῶν om.* E) *τε βασ.* CERV. — *τοῦ λαοῦ παντός* AB *παντὸς τοῦ λαοῦ* rell. — 4 *ἐξαγαγόντες* AM. — 9 *πάλιν om.* MV. — *τὸν ἴδιον αὐτῆς καὶ ἀρχαῖον κόσμον* B *τὸν ἑαυτῆς κόσμον* (*om. ἀρχαῖον*) R. — *Post κόσμον* AB *in textu addunt: ἀπὸ γοῦν τῆς ς' ἕως τῆς ζ'* (*συνόδου add.* B) *ἔτη ρκ'* (*ρη'* B). *Eadem fere in mg.* ELN recc. plerique. Nonnulli codd. ante *ἀπὸ* exhibent *σύνοδος ζ'*. — 10 *ἑβδόμη* A *ἑβδόμη δὲ* B *ἡ δὲ ἑβδόμη* rell. — *βιθυν. τὸ δεύτερον συνελθόντων τν' πατέρων* B. — 11 *τν'* AB *τῶν τν'* (*τξζ'* R) rell. — *ἔτι* A *ἐπὶ* C. — 11—13 *ἔτει ὀγδόῳ τῆς βασιλείας κωνστ. καὶ εἰρ. τῆς αὐτ. μ. ἡγοῦντο δὲ ταύτης τῆς συνόδου πέτρος πρεσβύτ. ῥώμης καὶ πέτρος* N. — 13 *τοῦ ἁγίου* — 14 *πρεσβύτερος om.* R. — 14 *σάββα* BRV. — 15 *ἐπέχων* BR. — *ταρασίου κ. τ. λ. usque ad τοποτηρητῶν genitivi casu positum in* V. — 16 *μοναχὸς* N *μοναχοῦ* V. — 19 *ἠλία* B *et* recc. plerique *ἡλιοῦ* NV *ἠλιοῦ* recc. nonnulli. — *ἱεροσ. συνηθροίσθη οὖν ὡς εἴρηται ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ ζ'* (*ζ' om.* M) *σύνοδος κατὰ* N.

συναθροισθείσης παρὰ Κωνσταντίνου τοῦ τηνικαῦτα βασιλεύσαντος καὶ ἀθέως ὀνομασθείσης ἑβδόμης συνόδου ἐφ' ὕβρει
666 M. καὶ καταστροφῇ τῶν σεβασμίων εἰκόνων καὶ κενολογησάσης ὅτι ὡς θεοῖς ταύταις οἱ χριστιανοὶ προσεκύνησαν, ἀναθεμα-
5 τίσασα δὲ τοὺς ταύτης ἐξάρχους Θεοδόσιον τὸν Ἐφέσου, Σισίνιον Πέργης τὸ ἐπίκλην Παστιλλᾶν, Βασίλειον Ἀντιοχείας Πισιδίας τὸν λεγόμενον Τρικάκκαβον, τὴν τῶν σεπτῶν εἰκόνων ἀρχῆθεν παραδεδομένην τῇ ἐκκλησίᾳ τιμὴν ἀνανεώσασα ὥρισε παραπλησίως ταύτας τῷ σταυρῷ προσκυνεῖσθαι.
668 M. 10 Μετὰ δὲ ταῦτα τοῦ βασιλέως Κωνσταντίνου μισήσαντος
669 M. τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν καὶ τὴν Θεοδότην λαβόντος, ἀπέσχισε τῆς κοινωνίας Ταρασίου Πλάτων ὁ τῶν Σακκουδίου ἡγούμενος ὡς ἐπιτρέψαντος κουρευθῆναι τὴν Μαρίαν καὶ τὸν ἡγούμενον τῶν Καθαρῶν Ἰωσὴφ στεφανῶσαι τοῦτον
15 μετὰ Θεοδότης κελεύσαντος, καὶ τὸν αὐτὸν Κωνσταντῖνον εἰς κοινωνίαν δεξάμενον. κἀντεῦθεν ὁ βασιλεὺς τὸν μὲν Πλάτωνα ἐν τῷ παλατίῳ καθεῖρξεν, τοὺς δὲ λοιποὺς μοναχοὺς αὐτοῦ σὺν τοῖς ἀνεψιοῖς αὐτοῦ μαστιγώσας ἐξώρισεν ἐν Θεσσαλονίκῃ. οὓς ἡ μήτηρ αὐτοῦ ὑπερασπιζομένη ὡς τὴν
20 παρανομίαν ἐλέγχοντας ἐκίνησεν αὐτὸν κατ' αὐτῆς εἰς μῖσος. μαθὼν δὲ ὅτι καὶ ὁ λαὸς ἄχθεται κατ' αὐτοῦ καὶ δυσχεραίνει μᾶλλον, ἐξέπλευσεν εἰς Πύλας βουλόμενος πρὸς τὸ

10—20 *cf.* Theoph. *p.* 469, 23; 470, 24. — 21—*p.* 771, 5 *cf.* Theoph. *p.* 471, 32.

1 παρὰ τοῦ τότε βασιλεύοντος κωνστ. τοῦ κοπρωνύμου N. — 3 καὶ *ante* κενολογησάσης *om.* N. — 5 τοὺς ἐξάρχους αὐτῆς N. — 6 σισίνιον BCER σισίννιον rell. — τὸν ἐπίκλην B τὸν τὸ ἐπίκλ. AV. — παστιλλᾶν EV παστιλλάν CDL παστίλλαν AM παστηλᾶν B παστηλάν G παστιλάν R. — 7 τρικάκκαβον ADV τρικάκαβον rell. — 7—9 τρικ. καὶ ἀνανεώσασα τὴν — τιμὴν ὥρισε ταύτας προσκ. παραπλ. τῷ τιμίῳ σταυρῷ N. — 12 σακουδίου EN στουδίου A *manu corr.* — 14 τὸν καθαρὸν AB. — 17 μοναχοὺς αὐτοῦ ACDL αὐτοῦ μοναχοὺς MRV αὐτοῦ *om.* BE. — 18 μαστιγώσας σὺν τοῖς ἀνεψ. ἐξώρισεν RV. — 19 ἡ μήτηρ αὐτοῦ εἰρήνη N. — 22—*p.* 771, 1 βουλ. παραγενέσθαι πρὸς τὸ θ. τῶν ἀν. N.

θέμα τῶν ἀνατολικῶν γενέσθαι. οἱ δὲ συνόντες αὐτῷ μεγιστάνες ὑφορώμενοι τὴν ἐπανάστασιν τοῦ λαοῦ καὶ τὴν τῆς πόλεως σύγχυσιν πείθουσιν αὐτὸν διὰ παρακλήσεως ὑποστρέψαι πάλιν ἐν τῇ πόλει. καὶ δὴ παραγενόμενον ἐν τῷ 670 M. *παλατίῳ, καὶ τῆς μητρὸς αὐτοῦ μὴ παρούσης μήτε μὴν* 5 *γινωσκούσης τὴν βουλὴν αὐτῶν, ἐκτυφλοῦσιν αὐτόν, καὶ μετὰ χρόνον τινὰ τέθνηκεν.*

[λζ'. Περὶ Εἰρήνης.]

Μετὰ δὲ Κωνσταντῖνον ἐβασίλευσεν Εἰρήνη ἡ μήτηρ αὐτοῦ μόνη ἔτη ε'. ἐφ' ἧς νεωτερισταί τινες, φρουρουμένων 10 671 M. *τῶν υἱῶν τοῦ θεομάχου καὶ κοπρωνύμου ἐν τῷ παλατίῳ τῶν Θεραπείας Κωνσταντίνου καὶ Νικηφόρου, πείθουσι προσφυγεῖν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ λόγον ἀπαθείας αἰτῆσαι. καὶ τῇ προφάσει ταύτῃ ὡς βασιλεῖς αὐτοὺς εὐφημήσαντες καὶ λαὸν πολὺν συγκινήσαντες, ἐξάγει τούτους Εἰρήνη τῆς* 15 *ἐκκλησίας καὶ μηδενὸς αὐτοῖς προσχόντος ἐξώρισεν εἰς Ἀθήνας. οὓς δὴ κἀκεῖσέ τινες ἀναγορεῦσαι βουληθέντες, ἐξετύφλωσε καὶ τὸ πονηρὸν τοῦ θεοστυγοῦς ἐξέκοψε σπέρμα τοῦ μηκέτι βασιλεύειν καὶ τυραννεῖν καὶ τὴν ἐκκλησίαν τοῦ θεοῦ διώκειν. εἶτα πρὸς τὸ παλάτιον ἀπελθούσης αὐτῆς τῶν* 20 *Ἐλευθερίου, Νικηφόρος ὁ πατρίκιος καὶ γενικὸς λογοθέτης ἔρχεται σὺν τοῖς ὁμόφροσιν αὐτοῦ νυκτὸς εἰς τὴν χαλκῆν πύλην τοῦ παλατίου, καὶ ὡς δῆθεν παρὰ τῆς βασιλίσσης* 672 M. *πεμφθεὶς εἰσέρχεται μετὰ λαμπάδων καὶ ὅπλων εἰς τὸ πα-*

10—17 *cf.* Theoph. *p.* 473, 11. — 17 *cf.* Theoph. *p.* 474, 1. — 20—*p.* 772, 4 *cf.* Theoph. *p.* 476, 3.

1 *παραγενέσθαι* B(N). — 4 *παραγενόμενον* BDE *παραγενομένων* A *παραγενομένου* RV *παραγενόμενος* (*-άμενος* M) CM. — 5 *μὴν om.* RV. — 9 *ἐβασ. μόνη ἡ μήτηρ αὐτοῦ* (*om. Εἰρήνη*) N. — *ἡ μήτηρ αὐτοῦ om.* A. *ἡ om.* B. — 12 *θεραπίας* ACE. — 15 *ἡ εἰρήνη* EM. — 17 *ἐξετύφλωσαν* MR. — 20. 21 *τῶν ἐλευθ. ἀπελθούσης αὐτῆς* N. — 20 *τῶν ἐλευθερίων* CERV. — 24 *πεμφθεὶς* AB Exc. de insid. *ἀποσταλεὶς* rell.

λάτιον, κἀκεῖθεν εὐθὺς ἀποστείλας καθ' ὅλην τὴν πόλιν, ἐξευφήμησαν αὐτὸν βασιλέα. πρωΐας δὲ γενομένης, ἡ μὲν ἐν τῷ παλατίῳ κατεκλείσθη, ὁ δὲ βασιλεὺς ἐπὶ πάντων ἀνηγορεύθη διὰ Ταρασίου πατριάρχου.

5 [*λη'. Περὶ Νικηφόρου.*]

Μετὰ δὲ Εἰρήνην ἐβασίλευσε Νικηφόρος ἔτη η' ἥμισυ. 673 M. *ὃς Εἰρήνην αὐτίκα περιορίσας ἐν τῇ Λέσβῳ νήσῳ, Βαρδάνης ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν τὸ ἐπίκλην Τοῦρκος ἀνηγορεύθη βασιλεὺς ὑπὸ τῶν περατικῶν θεμάτων.* 674 M. 10 *ὅς γε πολλὰ τοῦτο παραιτησάμενος καὶ διαδρᾶσαι μὴ ἰσχύσας, ἀλλὰ βίᾳ κατελθὼν ἐν Χρυσοπόλει καὶ περιπολήσας ἡμέρας ν' καὶ μὴ δεχθεὶς ὑπὸ τῆς πόλεως ὑπέστρεψε πρὸς τὰ Μαλάγινα. καὶ δὴ φοβηθεὶς τὸν θεὸν καὶ λογισάμενος μήπως δι' αὐτοῦ γένηται σφαγὴ χριστιανῶν λαβὼν παρὰ* 15 *Νικηφόρου λόγον ἀπαθείας ἀπῆλθε νυκτὸς λάθρα τοῦ λαοῦ πρὸς τὴν μονὴν Ἡρακλείου καὶ παραχρῆμα γέγονε μοναχός. ἐρχομένου δὲ αὐτοῦ διὰ τοῦ σταλέντος βασιλικοῦ χελανδίου ἐν τῇ Πρώτῃ νήσῳ εἰς τὸ μοναστήριον αὐτοῦ, ὃ ἦν αὐτὸς προκατασκευάσας, Λυκάονές τινες ἄνδρες ἢ μᾶλλον εἰπεῖν* 20 *λυκάνθρωποι ἐκτυφλοῦσιν αὐτὸν παρὰ γνώμην τοῦ βασιλέως. διὸ καὶ λύπῃ πολλῇ συσχεθεὶς πάντας μεθ' ὅρκων ἐπληροφόρει ἀναίτιον αὐτὸν εἶναι τοῦ τοιούτου τολμήματος. τεκμήριον δὲ ἐπὶ τοῖς λεγομένοις· καὶ γὰρ οὐδὲ φαίνεται χριστιανὸν πώποτε φονεύσας ἢ μέλος αὐτοῦ παντάπασιν ἀκρω-* 25 *τηριάσας εὐσεβὴς ὑπάρχων ἄγαν καὶ χριστιανόφιλος πάνυ.*

Ἐφ' οὗ ἐν τῷ τρίτῳ ἔτει τῆς βασιλείας ὁ τῶν Σαρακη-

---

7 *cf.* Theoph. *p.* 479, 8. — 7—19 *cf.* Theoph. *p.* 479, 15. — 19—22 *cf.* Theoph. *p.* 480, 16.

1 *εὐθὺς* ABV Exc. *om.* rell. — 2 *ἐξευφήμισαν* AE *ἐξεφήμησαν* B *ἐξεφύμησαν* CR. — 13 *μαλάγηνα* AB Exc. — 21 *ὁ βασιλεὺς συσχεθεὶς* E *συσχεθεὶς ὁ βασιλεὺς* LM. — 23 24 *χριστιανὸν φαίνεται* RV. — 24 *πώποτε*] *ποτε* R Exc. — 25 *πάνυ om.* B Exc. — 26 *τῆς βασιλείας* ABN *et ut vid.* E *τῆς αὐτοῦ βασιλείας* rell.

νῶν φύλαρχος κατ' αὐτοῦ παρεγένετο ἐν τῷ Ἀμωρίῳ μετὰ δυνάμεως πολλῆς. ἐξῆλθε δὲ καὶ Νικηφόρος ἐν ὄχλῳ βαρεῖ πρὸς τὸ Δορύλαιον δηλοποιῶν τῷ πρωτοσυμβούλῳ ταῦτα· ἵνα τί ἐπιχαίρεις ταῖς ἀδικίαις καὶ ταῖς αἱματεκχυσίαις τῶν ἀνθρώπων μὴ ἀρκούμενος εἰς τὰ ἴδια, ἀλλὰ παραβαίνεις 5 *ὅρους ἀρχαίους καὶ πατρῴους; ποῖος γάρ σοι προφήτης ἢ διδάσκαλος θεῖος ταῦτα ποιεῖν ἐδίδαξεν; οὐχὶ Μουχούμεδ ὁ προφήτης σου παρήγγειλε χριστιανὸν ὡς ἀδελφὸν ἔχειν* 675 M. *καὶ λέγειν; μὴ γὰρ ὁ πάντων δημιουργὸς καὶ προνοητὴς [ἀμφοτέρων] αἵμασιν ἀνθρώπων ἀδίκως ἐκχυνομένων χαίρει,* 10 *μὴ γένοιτο. ἢ ἀργυρίου καὶ χρυσίου καὶ τῶν λοιπῶν ὑστερούμενος ἐξῆλθες ἀδικήσων τοὺς μὴ ἀδικήσαντάς σε; καίτοι γε τὰ κάλλιστα καὶ δυσπόριστα καὶ ἡμῖν ἐπέραστα κατακόρως ἔχων ἐκ τῆς ἱερᾶς γῆς καὶ πλουσιωτάτης. εἰ δέ τι τῶν ἡμετέρων ἐνδεῶς ἔχεις, αὐτίκα παρέχομεν φιλοστοργίας* 15 *τρόπῳ. μὴ τοίνυν ὡς ἄθεοι καὶ ἀθάνατοι κατ' ἀλλήλων ἀντιστρατευόμεθα καὶ τὸν κατὰ τῶν ἀνθρώπων δαιμόνων πόλεμον ἐκ φθόνου καὶ μισανθρωπίας ἐκμιμούμεθα, γινώσκοντες ὅτι μικρὸν ὕστερον τελευτήσομεν καὶ πρὸς κριτὴν ἀδέκαστον ἀπελευσόμεθα, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα* 20 *αὐτοῦ. ταῦτα ὁ βασιλεὺς Νικηφόρος ἀποστείλας μετὰ δώρων τινῶν, ὁ Σαρακηνὸς ἀγαθυνθεὶς καὶ ἀνταμείψας δῶρα πλεῖστα*

---

1 *ἀμορίω* CDER Exc. de legg. *ἀμμορίω* B. — 2 *δὲ om.* AB. — *σὺν ὄχλῳ* RV. — 3 *δωρύλαιον* (*-εον* M) BM *δορύλλαιον* R *δορυλάειον* Exc. — 6 *σοι*] *σὲ* B *σου* R. — 7 *μουχούμεδ* ABEL Exc. *μουχουμὲδ* D *μουχούμετ* BMRV. — 9.10 *προν. ἀνθρώπων αἵμασιν ἐκχ.* Exc. *προν. ἀμφ. αἵμ. ἀδίκως ἀνθρώπων ἐκχυν.* N. *In archetypo ἀμφοτέρων errore scriptum sprscr. voce ἀνθρώπων correxisse librarius videtur.* — 10 *ἐκχυννόμενον* A *ἐκχυνομένοις* (*ἐκχυνν.* M) N — 12 *ἀδικήσων*] *ἀδικῆσαι* BR *et* codd. quidam Exc. de legg. — *ἀδικήσαντας* ABE *ἀδικοῦντας* rell. *et* Exc. — 15 *παρέχωμεν* AC *παρέξομεν* Exc. — 17 *ἀντιστρατευώμεθα* NV *στρατευόμεθα* C *στρατευώμεθα* R. — *τῶν om.* BL. — 17.18 *ἀνθρώπων πόλεμον δαιμόνων πόλεμον* CENR *ἀνθρώπων πόλεμον* (*om. δαιμόνων*) V Exc. *ἐκ δαιμόνων κατὰ ἀνθρ. πόλεμον* L. — 18 *ἐκμιμώμεθα* V *μιμώμεθα* L (*ἀναδεχόμεθα* Exc.). — 19 *τελευτήσωμεν* ABCLMR. — 20 *ἀπελευσώμεθα* ALM. — 22 *δῶρα πλεῖστα* AB Exc. *δῶρά τε πλεῖστα* rell.

καὶ θαυμάσια μετ' εἰρήνης ὑπέστρεψε τὴν Νικηφόρου σύνεσιν καὶ φρόνησιν ὑπερθαυμάσας.

Τῆς δὲ Εἰρήνης τελευτησάσης ἐν τῇ ἐξορίᾳ, μετεκόμισε τὸ σῶμα αὐτῆς Νικηφόρος ὁ βασιλεὺς ἐν τῇ μονῇ, ἣν αὐτὴ 5 *ᾠκοδόμησεν ἐν τῇ Πριγκήπῳ νήσῳ. σφόδρα γὰρ εὐσεβὴς καὶ φιλάρετος οὖσα πολλὰ μὲν ξενοδοχεῖα καὶ γηροκομεῖα καὶ μοναστήρια κατεσκεύασε καὶ φόρων κουφισμοὺς καὶ ἄλλα τινὰ πλεῖστα καὶ διάφορα καὶ ἀναρίθμητα κατορθώματα πεποίηκεν εἰς παραμυθίαν καὶ ἀνάπαυσιν τῶν πενομένων.*

676 M. 10 *Ταρασίου δὲ τοῦ πατριάρχου τελευτήσαντος, καὶ Νικηφόρου τοῦ ἀπὸ ἀσηκρητῶν χειροτονηθέντος, Θεόδωρος ὁ ἡγούμενος τῶν Στουδίου καὶ Ἰωσὴφ ὁ ἀδελφὸς αὐτοῦ καὶ Θεσσαλονίκης ἐπίσκοπος ἅμα Πλάτωνι τῷ ἐγκλειστῷ καὶ τοῖς λοιποῖς αὐτῶν μοναχοῖς τῆς κοινωνίας ἀπέστησαν Νικηφόρου* 15 *διὰ Ἰωσὴφ τὸν στεφανώσαντα παρανόμως Κωνσταντῖνον καὶ ὑπ' αὐτοῦ δεχθέντος εἰς ἱερωσύνην. ὁ δὲ βασιλεὺς κατ' αὐτῶν σύνοδον ἐπισκόπων συγκροτήσας εἰς ἐξορίαν αὐτοὺς ἐξέπεμψεν. εἶτα κατὰ Βουλγάρων ἐπιστρατεύσας ἐνίκησεν αὐτοὺς κατὰ κράτος, ὥστε καὶ τὴν λεγομένην αὐλὴν τοῦ* 20 *ἀρχηγοῦ αὐτῶν Κρούμνου πυρπολῆσαι. ἐκείνου δὲ δηλώσαντος παρακλήσεως λόγους· ἱκανούσθω σοι, ὦ βασιλεῦ καὶ τῆς νίκης ἐπώνυμε, ἕως τούτου. ἰδοὺ γὰρ λίαν νενίκηκας*

3—5 *cf.* Theoph. *p.* 480, 6. — 5—9 Theostericti vita Nicetae *cp.* 30. — 10—18 *cf.* Theoph. *p.* 484, 19. — 18—*p.* 775, 12 *cf.* Theoph. *p.* 490, 26.

3 *τῆς δὲ εἰρήνης* AB *τῆς δὲ εἰρ. τῆς βασιλίδος* CEL *τῆς δὲ εἰρ. τῆς βασιλίσσης* N *τῆς δὲ βασιλίδος εἰρ.* V *τῆς δὲ βασιλίσσης εἰρ.* R. — 4 *ἣν*] *ἣ* E *ἡ* D *ἢ* CM *ἡ* A. — *αὐτῇ* ABR. — 5 *τῇ om.* CEM *et* recc. plerique, *post Πριγκήπῳ ins.* V. — *πρινκήπῳ* AM *πριγκίπῳ* D. — *νήσῳ om.* E. — 11 *ἀπὸ ἀσικριτῶν* C *ἀποαδσικριτῶν* E *ἀποσικριτῶν* M *ἀπὸ σεκριτῶν* R *ἀποασηκρῆτις* V *προασηκριτῶν* B *ἀσικρίτου* A. — 12 *αὐτοῦ, ὁ καὶ θεσσ. ἐπ.* B *αὐτοῦ, ἐπίσκοπος θεσσ.* N. — 13 *ἐγκληστῷ* A *ἐγκλείστῳ* BELV *ἐγκλίστῳ* M. — 16 *δεχθέντα* B. — 16. 17 *σύνοδον κατ' αὐτῶν ἐπισκόπων* A *σύνοδον ἐπισκ. κατ' αὐτῶν* N *κατ' αὐτῶν σύνοδον* (*om. ἐπισκόπων*) L. — 21 *ὦ om.* N. — *νενίκηκας* ENRV Theoph. *ἐνίκησας* ABCL.

ἡμᾶς, οὐ προσήκατο παντελῶς τῆς εἰρήνης τὰ ῥήματα διὰ πολλὴν ἀπληστίαν. ἐφ' οἷς χαλεπήνας ὁ βάρβαρος τὰς τῆς χώρας εἰσόδους καὶ ἐξόδους περιπεφραγμένας ὀχυρώμασι ξυλίνοις πέμψας κατησφαλίσατο, καὶ μεθ' ἡμέρας β' συναθροίσας λαὸν ἄπειρον καὶ κατὰ τῆς τοῦ βασιλέως σκηνῆς 5 ἐπελθὼν ἀναιρεῖ τοῦτον καὶ πάντας τοὺς σὺν αὐτῷ μεγιστάνας καὶ ἄρχοντας τῶν θεμάτων καὶ στρατόπεδον ἀναρίθμητον. τὴν δὲ Νικηφόρου κεφαλὴν ἐκκόψας καὶ ἐπὶ ξύλου κρεμάσας ἡμέρας τινάς, εἶθ' οὕτω γυμνώσας τὸ ὀστοῦν καὶ περιαργυρώσας ἔξωθεν ἐκέλευσε πίνειν εἰς αὐτὴν τοὺς 10 ἄρχοντας τῶν Βουλγάρων ἐγκαυχώμενος κατὰ τοῦ ἀπληστευθέντος καὶ τὴν εἰρήνην μὴ θελήσαντος. ὅθεν ἡ γραφὴ 677 M. προασφαλιζομένη τὸν τοιοῦτον φάσκει· μὴ ἀπληστεύου, ὅτι δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν. ὁ δὲ προσέχων ζωὴν προσθήσει. καί· πολλοὺς ἀπώλεσε τὸ χρυσίον καὶ καρδίας 15 βασιλέων ἐξέκλινεν. πόσοι γὰρ τοῦ πλείονος ἐπιθυμοῦντες τοῦ παντὸς ἐξέπεσον, καὶ τὰ περιττὰ συναγαγόντες ἀπώλεσαν εἰκότως καὶ τὰ ὀλίγα καὶ ἀναγκαῖα, καὶ τοὺς νενομισμένους ὅρους ὑπερβάντες καὶ τῶν μετρίων ἐγυμνώθησαν. ὅθεν οὖν χρὴ περικόπτειν ἐμφρόνως τὰ περιττά, ἵνα καλῶς ἐν τοῖς 20 ἀναγκαίοις πλουτῶμεν. οὐ γὰρ τὸ πλοῦτον ἔχειν, ἀλλὰ τὸ μὴ δεῖσθαι πλούτου πλοῦτός ἐστι μέγιστος. τὸν δέ γε τρόπον τῆς τοῦ βασιλέως σφαγῆς οὐδεὶς τῶν περισωθέντων σαφῶς διηγήσατο. πλὴν ἔφασάν τινες τῶν ἀκριβεστέρων, ὅτι πεσόντα χριστιανοὶ τοῦτον ἐπέτρωσαν ὡς αἴτιον τῆς τούτων 25 πανωλεθρίας. ὁ δὲ υἱὸς αὐτοῦ Σταυράκιος πληγωθεὶς καιρίως κατὰ τοῦ δεξιοῦ μηροῦ καὶ μόγις ἐξελθὼν τῆς μάχης φορείῳ τὴν πόλιν κατέλαβεν.

13 Sir. 37, 29; 31. — 15 Sir. 8, 2. — 22—26 *cf.* Theoph. *p.* 491, 24. — 26—28 *cf.* Theoph. *p.* 492, 2.

6 ὑπελθὼν B ἀπελθὼν N ἐπανελθὼν A. — 13 φάσκει AB ἔλεγεν RV φησίν L φησίν *post* ἀπληστεύου *ins.* N *om.* CE. — 17 ἐξέπεσαν CER. — 21 γὰρ τὸν πλοῦτον AC *et* recc. quidam. — 24 ἔφησάν B ἔφθασάν CM. — 26 πανολεθρίας CEM.

[λθ'. Περὶ Σταυρακίου.]

Μετὰ δὲ Νικηφόρον ἐβασίλευσε Σταυράκιος υἱὸς αὐτοῦ ἔτος α' μῆνας β'. ὃς ἐν τῷ παλατίῳ κείμενος διὰ τὴν πληγὴν τοῦ μηροῦ καὶ ἀνορθοῦσθαι μὴ δυνάμενος ἀπρόϊτος
678 M. 5 ἦν καὶ ἀφανὴς τοῖς ἔξω τοῦ παλατίου. κἀντεῦθεν Μιχαὴλ ὁ γαμβρὸς αὐτοῦ καὶ κουροπαλάτης ἐξαίφνης ἀναγορεύεται βασιλεὺς ἐν τῷ ἱππικῷ παρὰ τῆς συγκλήτου καὶ τῶν ταγμάτων ὡς ἤδη ἀπεγνωσμένου τοῦ Σταυρακίου διὰ τὴν χρόνιον ἀρρωστίαν. ὅπερ μαθὼν Σταυράκιος καὶ τὸ μοναδικὸν αὐτίκα
10 σχῆμα σὺν τῇ γυναικὶ αὐτοῦ Θεοφανῷ περιθέμενος εἰς τὰ Βρακὰ λεγόμενον μοναστήριον ἐτελεύτησεν.

[μ'. Περὶ Μιχαὴλ τοῦ κουροπαλάτου.]

Μετὰ δὲ Σταυράκιον ἐβασίλευσε Μιχαὴλ γαμβρὸς αὐτοῦ ἔτος α' μῆνας θ'. ὃς εἰς πάντα μὲν χρηστὸς ἦν καὶ ἐπι-
15 εικής, εἰς δὲ τὴν τῶν πραγμάτων διοίκησιν ἀκυβέρνητος παντελῶς ὑπῆρχε καὶ δεδουλωμένος ματαίων ἀνθρώπων βου-
679 M. λαῖς καὶ ἀπειροπολέμων. ὅθεν ἐπιστρατεύσας κατὰ Βουλγάρων καὶ μετὰ μεγάλης ἥττης ὑποστρέψας, ἀναγορεύεται Λέων ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν ὑπὸ τοῦ
20 λαοῦ καὶ τῶν ἀρχόντων ἐν τῷ τριβουναλίῳ. καὶ δὴ τοῦτο Μιχαὴλ ἀκούσας καὶ τὸ μοναδικὸν σχῆμα σὺν γυναικὶ καὶ τέκνοις ἀμφιασάμενος καὶ λόγον ἀπαθείας αἰτησάμενος εἰς τὸ πλησίον τῆς πόλεως νησίον περιορίζεται, ἐν ᾧ καὶ ἐτελεύτησεν.

3—5 *cf.* Theoph. *p.* 495, 15. — 5—11 *cf.* Theoph. *p.* 493, 21. — 14—17 *cf.* Theoph. *p.* 499, 31. — 17—23 *cf.* Theoph. *p.* 502, 1.

2 ὁ υἱὸς DLRV. — 3 καὶ μῆνας ALMR. — 6 κοροπαλάτης ACDE Exc. de insid. — 9 μοναχικὸν BR. — 10 εἰς τάβρακα A εἰς τὰ ἑβραϊκὰ G Theoph. εἰς τὰ σταυραινὰ recc. quidam εἰς τὰ σταυρικὰ recc. alii. — 13 ὁ γαμβρὸς AERV. — 14 ἓν καὶ μῆνας AR. — πάντας GM. — 16 ὑπῆρχε παντελῶς A ὑπῆρχε *om.* L. — 21 γυναιξὶ ABR. — 22 καὶ λόγον ἀπαθείας αἰτησάμενος ABV *om.* rell.

[μα'. *Περὶ Λέοντος τοῦ Ἀρμένη.*]

Μετὰ δὲ Μιχαὴλ ἐβασίλευσε Λέων ὁ Ἀρμένης καὶ παραβάτης ὕστερον ἀναφανεὶς ἔτη ζ' μῆνας ε'. μετὰ γὰρ δύο χρόνους ἀποστατήσας πρὸς τὴν ἀσέβειαν ὥσπερ καὶ Σαοὺλ ἐξώκειλεν. καὶ γὰρ κἀκεῖνος δύο ἔτη βασιλεύσας ἐννόμως, 5 *εἶτα παρατραπεὶς καὶ τῆς θείας χάριτος γυμνωθεὶς καὶ πονηρῷ πνεύματι παραδοθεὶς κατὰ τοῦ εὐεργέτου Δαυὶδ ἐξωπλίσθη καὶ τὰς τῶν ἱερέων εἰργάσατο μιαιφονίας· ὡσαύτως καὶ ὁ δύστηνος οὗτος καὶ ἀντίθεος μετὰ δύο ἔτη κατὰ τῆς εὐσεβείας μανεὶς καὶ λυσσήσας καὶ, τὸν στέψαντα* 10 *αὐτὸν θεῖον Νικηφόρον ἐξορίσας καὶ Θεόδοτον πατριάρχην δῆθεν ἀντιχειροτονήσας, ἄλογον ἄνδρα, μᾶλλον δὲ ἀνδράποδον καὶ ἀφωνότερον τῶν ἰχθύων καὶ μηδὲν πλέον τῆς ἀσεβείας ἐπιστάμενον, διωγμὸν ἄσπονδον κατὰ τῆς ἐκκλησίας* 680 M. *ἀνερρίπισεν. εἰ οὖν χρὴ Παῦλον ἐπὶ φαύλων θαυμάζειν* 15 *μετάθεσιν, τοῦτον δὴ μᾶλλον καὶ τοὺς ἀμφ' αὐτὸν ἢ Γαλάτας θαυμάσεται λίαν οὕτω ταχέως μετατιθεμένους ἀπὸ τοῦ καλέσαντος αὐτοὺς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο εἰ μὴ πρὸς τὸ παροργίσαι τὸν θεὸν καὶ τὴν θείαν ὀργὴν ἐπισπάσασθαι. καὶ γοῦν ὤφθη* 20 681 M. *τηνικαῦτα κομήτης ἐν σχήματι δύο λαμπρῶν σεληνῶν ἑνωθέντων καὶ πάλιν διαιρεθέντων εἰς διάφορα σχήματα, ὡς καὶ εἰς ἀκεφάλου διάπλασιν ἀνδρὸς τυπωθῆναι, ὅπερ τὴν ἀκέφαλον κεφαλὴν τῶν μετὰ ταῦτα στασιασάντων κατὰ τῶν χριστιανῶν καὶ τὸν μάταιον Θωμᾶν κεφαλὴν καὶ ἀρχηγὸν* 25

---

15 Gal. 1, 6. — 20—23 *cf.* Theoph. *p.* 499, 6.

2 *ἀρμένιος* AV. — *ὁ καὶ παραβάτης* BV *ὁ πατρίκιος καὶ παραβάτης* R. — 3 *καὶ μῆνας* ALRV. — 10 *λυττήσας* NV. — 11 *καὶ θεόδοτον* AB *καὶ om.* rell. — 11. 12 *δῆθεν πατριάρχην* CRV. — 12 *ἄνδρα ἄλογον* R *ἄνδρα ἀλογώτατον* V. — 13 *καὶ ante μηδὲν om.* N. — 15 *Παῦλον*] *φαύλων* R. — *ἐπὶ φαύλων* BERV *et* D *m. 1* *ἐπὶ φαῦλον* CM *et* D *m. 2* *ἐπιφαῦλον* L *ἐπιφαύλον* A. — 21 *κομίτης ἀστὴρ* LV. — *σελήνων* AR (*σεληνίων* Theoph.). — 24 *τῶν om.* RV. — 25 *καὶ τὸν — p.* 778, 1 *χριστιανῶν om.* AM.

τῆς ἐκ τῶν ἄλλων χριστιανῶν διαιρέσεως ἐσχηκότων προεμήνυεν. καὶ μέντοι καὶ σεισμοὶ φοβεροί τε καὶ ἐπάλληλοι καὶ λιμοὶ καὶ αὐχμοὶ καὶ ἀέρος φλογώσεις γεγόνασιν, καὶ στάσεις ἐμφύλιοι κατὰ πᾶσαν χώραν καὶ πόλιν ἐκ τῶν ἡμερῶν ἀρξάμενοι τοῦ θεοστυγοῦς καὶ ἀλάστορος, μέχρι πολλοῦ τὸ δεινὸν τῆς ἐμφυλίου συμφορᾶς ἐπικρατῆσαι συμβέβηκε νόσημα.

Τοίνυν ἐκμιμούμενος τὸν πάλαι τῆς μυσαρᾶς ταύτης αἱρέσεως ἀρχηγὸν ὁμώνυμον αὐτοῦ καὶ ὁμότροπον ἤρξατο τῆς αὐτῆς ἔχεσθαι δυστροπίας, εἶτα συμμάχους καὶ συμμύστας κατὰ τῆς εὐσεβείας ἐκζητήσας εὗρεν Ἰωάννην τὸν λεγόμενον Γραμματικόν, μᾶλλον δὲ Ἰαννῆν ἄλλον ἢ Σίμωνα ἐπί τε λεκανομαντείαις καὶ φαρμακείαις καὶ αἰσχρουργίαις διαβεβοημένον, καὶ ἑτέρους τινὰς Ἰαννίτας καὶ Ἰαμβρίτας καὶ Σιμωνίτας ὁμόφρονας καὶ πάσης κακίας πεπληρωμένους. οὓς δὴ καὶ παρ' ἑαυτῷ κατέχων ἐν τῷ παλατίῳ προσκαλεῖται Νικηφόρον τὸν ἀοίδιμον πατριάρχην καὶ τοὺς σὺν αὐτῷ προύχοντας ἐπισκόπους τε καὶ διδασκάλους ἐνώπιον τῆς συγκλήτου καί φησιν· ἰστέον ὡς ἀνέστησάν τινες λέγοντες 682 M. *μὴ δεῖν προσκυνεῖσθαι τὰς εἰκόνας, οὓς εἰ βούλεσθε παραστῆναι καὶ διαλεχθῆναι περὶ τούτων ἐκδηλότερον τὸ ἀληθὲς φανήσεται. πρὸς ὃν ὁ θεῖος Νικηφόρος οὐδὲν ἀπεκρίνατο, ἔφη δὲ πρὸς τοὺς παρισταμένους μεγιστάνας· εἴπατέ μοι, τὸ μὴ ὂν δύναται πεσεῖν· τῶν δὲ τῇ ἀσαφείᾳ τῆς πεύσεως*

2—7 *cf.* Epist. ad Theophilum *cp.* 24 Migne Tom. 95, 376 D. — 8—12 Theostericti vita Nicetae *cp.* 31. — 23—*p.* 779, 6 Theoster. *ib. cp.* 33.

4 *στάσεις* (*στάσις* A) *ἐμφύλιοι* ABE *στάσεις* (*στάσις* quidam) *ἐμφυλίων* R *στάσις ἐμφύλιος* rell. (*περὶ στάσεων ἐμφυλίων etiam mg.* V). — *πόλιν καὶ χώραν* BR. — 6 *τὸ δεινὸν usque ad p.* 780, 10 *εὐσεβείας uno folio interciso om.* C. — *ἐμφυλίας* R *om.* B. — 9 *αὐτῷ* N. — 10 *αὐτῆς*] *αὐτοῦ* BRV. — 11 *ἰαννὴν* ABDR *ἰωάννην* G *ἰω̄* M. — 13 *λεκανομαντίαις* ALMR. — *καὶ φαρμακείαις om.* N. — 24 *ἀσαφεία* (-*ίᾳ* A) ABV Theost. *ἀσφαλείᾳ* (-*ίᾳ* E) rell. — *πεύσεως* ABLV Theost. *πίστεως* rell.

ἀπορηθέντων καὶ μηδὲν ἀποκριθέντων, ἤρετο πάλιν ὁ πατριάρχης· ἔπεσον ἐπὶ Λέοντος καὶ Κωνσταντίνου τῶν Ἰσαύρων αἱ ἅγιαι εἰκόνες ἢ οὔ; τῶν δὲ κατανευσάντων καὶ τὸ ναὶ προσειπόντων· οὐκοῦν ἵσταντο πάντως, ἔφη, καὶ ἦσαν, καὶ ἀρχαϊκὸν αὐτῶν τὸ ἀναστήλωμα. τὸ γὰρ μὴ ὂν μηδὲ ἱστάμενον πῶς εἶναι δύναται ἢ πεσεῖν; εἶτα καὶ τῶν ἄλλων ἐπισκόπων τοιαῦτά τινα προτεινάντων εἰς ἀνατροπὴν τῆς αἱρέσεως ὁ ἱερὸς Εὐθύμιος Σάρδης παρρησιασάμενος λέγει· πρόσεχε, βασιλεῦ, τοῖς δι' ἐπιτομῆς ῥηθησομένοις. ἀφ' οὗ Χριστὸς ἦλθεν ἐπὶ τῆς γῆς μέχρι νῦν ὀκτακόσια παρῆλθον ἔτη καὶ πανταχοῦ σκιαγραφεῖται Χριστὸς καὶ ἐν εἰκόνι προσκυνεῖται. ποῖος οὖν αὐθάδης τολμήσειε τὴν τοσούτων χρόνων ἀποστολικήν τε καὶ πατρικὴν παράδοσιν ἀθετῆσαι ἢ μετασαλεῦσαι; μάλιστα τοῦ ἀποστόλου λέγοντος· ἄρα οὖν, ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν. κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. μεθ' ὃν ἀπεκρίθη καὶ Θεόδωρος ὁ ζηλωτὴς καὶ θερμὸς τῆς ὀρθοδοξίας πρόμαχος καὶ τῶν Στουδίου ἡγούμενος λέγων· μὴ παρασάλευε, βασιλεῦ, κατάστασιν ἐκκλησιαστικήν. εἴρηκε γὰρ ὁ ἀπόστολος· καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκάλους. οὐκ εἶπε βασιλεῖς. σοὶ μὲν γὰρ ἡ πολιτικὴ κατάστασις ἐπιστεύθη καὶ τὸ στρατόπεδον. τούτων φρόντιζε καὶ τὴν ἐκκλησίαν ἔασον ποιμέσι καὶ διδασκάλοις κατὰ τὸν θεῖον λόγον. εἰ δὲ μὴ βούλει τούτοις προσέχειν εἵνεκα τῆς

6—p. 780, 3 Theosterícti vita Nicetae cp. 35. — 14 2. Thess. 2, 15. — 16 Gal. 1, 8. — 21 Ephes. 4, 11.

1 *ἀπορ. καὶ μηδὲν om.* R. — *ἀποριθέντων* A *ἀπορρηθέντων* D. — 7 *τοιαῦτά τινα* ABV *τινα om.* rell. — 8 *σάρδεων* BV. — 10 *παρῆλθον ἔτη* AB *ἔτη παρῆλθον* rell. — 14 *ἆρα* BMV. — 15 *ἐδιδάχθητε* AB Theost. *παρελάβετε* N *καὶ παρελάβετε* EL *ἐλάβετε* RV. — 16 *ἡμῶν om.* RV. — 25 *καὶ τὴν*] *τὴν δὲ* N. — 26 *εἵνεκα* ELV Theost. *εἰ ἕνεκα* N *ἕνεκα* AB *καὶ εἶναι μετὰ* R.

πίστεως ἡμῶν, κἂν ἄγγελος ἐξ οὐρανοῦ κατελθὼν βουληθείη παρατρέψαι ἡμᾶς, οὐκ ἀκουσόμεθα αὐτοῦ, μήτι γε σοῦ, βασιλεῦ. ὁ δὲ τύραννος ἀκούσας ταῦτα καὶ ὑπερζέσας τῷ θυμῷ καὶ λεόντειον ὁ πιθήκειος βρύξας καὶ πάντας μεθ'
5 ὕβρεως ἀπελάσας καὶ τὸν Θεόδωρον ἐξορίσας, εἶθ' οὕτω καὶ τὸν μέγαν Νικηφόρον τῆς πόλεως ἐξεώσας καὶ περιορίσας ἀντιχειροτονεῖ τὸν ἀπὸ σπαθαρίων Θεόδοτον τὸ ἐπίκλην Κασσιτερᾶν καὶ τῆς θυμέλης τὴν προσηγορίαν ἐπειλημμένον. καὶ οὕτως ὁ ἀλιτήριος καὶ θηριότροπος μᾶλλον ἢ θηριώ-
10 νυμος ἐπαρθεὶς κατὰ τῆς εὐσεβείας μειζόνως ἐδίωκε τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ ἐπόρθει σφόδρα σφόδρα, μέχρις οὗ τοῦτον ἐνδίκως ἡ θεία δίκη μετῆλθεν.

Οὗ τὴν κακίστην γένεσιν καὶ μοχθηρίαν καὶ θεοστυγῆ προαίρεσιν καὶ δυσσέβειαν καὶ μέν γε καὶ τὴν χαλεπὴν τοῦ
15 βίου καταστροφὴν ὁ θεσπέσιος Νικηφόρος διαρρήδην στηλιτεύων φάσκει· παρορᾷ θεός, καὶ ἦρξε καθ' ἡμῶν ἄνθρωπος, οὐκ οἶδα εἰ ἄνθρωπον χρὴ λέγειν, ἀλλὰ μὴ θηρίον καὶ τῶν θηρίων ἀγριώτερόν τε καὶ πικρότερον. τί γὰρ τῆς συμφορᾶς ταύτης ἐλεεινότερον καὶ τῆς δυστυχίας ἀθλιώτερον;
20 ἡλίκον κακὸν εἰς τὴν βασίλειον ἀρχὴν εἰσεκώμασεν, διφυὴς μὲν τὸ γένος καὶ μιξοβάρβαρος, πολυειδὴς δὲ τὸν τρόπον καὶ ἀνελεύθερος καὶ τὴν γνώμην ἀστάθερος. τὸ μὲν οὖν προσεχῶς αὐτῷ ὑπηργμένον καὶ πολλοῖς γνώριμον ἐκ τῆς Ἀρμενίων ὡρμᾶτο γῆς, ὅθεν εἰπεῖν τὸ δύστροπον καὶ κακό-

3—8 Theosterícti vita Nicetae *cp.* 36; 37. — 15 Hunc Nicephori locum in editis eius operibus non inveni.

2 *ἀκουσώμεθα* AGN. — *μήτοι γε* AMR. — 4 *λεόντιον* ABLMV. — *πιθήκιος* BELN *πιθικὸς* A *πιθήνιος* R. — 8 *κασσιτερᾶν* (-*ὰν* B) ABN *κασσιτηρᾶν* rell. — 11 *σφόδρα σφόδρα* ABDEL *αὐτὴν σφόδρα* V *σφόδρα* CMR. — 14 *μέν γε καὶ τὴν* AB *μέν γε τὴν* CELN *μέν τοι γε τὴν* V *μέντοι καὶ* (*om.* *τὴν*) R. — 17 *λέγειν χρή* CRV. — 18 *πικρότερόν τε καὶ ἀγριότερον* A *ἀπανθρωπότερόν τε καὶ ἀγριώτερον* B. — 20 *εἰςτ' βασίλειον* B *εἰς τὴν βασιλείαν* A (*om. in utroque ἀρχὴν*). — *εἰσεκόμασεν* CLRV *εἰσεκόμισεν* (-*ησεν* M) AN.

ηθες, τὸ δὲ ὡς πορρωτάτω καὶ παλαιὸν τυγχάνον, καθὰ 684 M. τῶν πρεσβυτέρων ἐξιστοροῦσί τινες, οἳ τὰ ἐκείνου καὶ τῶν ἐκείνου πατέρων ἐκ πολλοῦ παραδοθέντα ἴσασιν, οὐδὲ ἐντεῦθεν καθαρῶς ποθεν ἐκπεφυκέναι, εἴπερ ἐκ τῆς Ἀσσυρίων φυλῆς κακίστην παραφυάδα ἐκδῦναι, ἐξ ὧν τὸ πατρῷον 5 ἐπεφήμιζεν αἷμα. κατῆχθαι γὰρ ἐκ τῶν Σεναχειρὶμ παίδων, ὃς δὴ τῶν Ἀσσυρίων ἦρξέ ποτε καὶ ὑπὸ τῶν φύντων καιρίαν τὴν πληγὴν ἐδέδεκτο. καὶ γὰρ οἵγε φονίας δεξιὰς τῷ γεννήτορι ἐπανετείναντο τῷ πατρῴῳ λύθρῳ ἐμμολυνόμενοι, αὐτόχειρές τε τῆς σφαγῆς τοῦ τεκόντος γενόμενοι 10 αὐτίκα πρὸς τοῖς χωρίοις τῶν Ἀρμενίων φυγάδες ὀχούμενοι ἀνασώζονται. τούτου δὴ τοῦ πατροφόνου σπόρου κατὰ τὴν ἡμετέραν γενεὰν πικρῶς τηρηθεὶς καὶ παραβλαστήσας ἀνδροκτόνος καρπὸς οὐκ οἶδ' ὅθεν Ῥωμαίων τοῦτο κατακριθέντων τὸ δεινὸν ἐκεκλήρωτο· ὃς εἰς τόδε τὸ φῶς, οἷς οἶδεν 15 ὁ ἀνασχόμενος κρίμασιν, προαχθεὶς πονηροῖς καὶ ὀλεθρίοις ἐντρέφεται καὶ συναύξεται ἤθεσί τε καὶ πράξεσιν. ἐκ τῆς Ἀσσυρίων γοῦν λεαίνης καὶ τῆς Ἀρμενίας παρδάλεως ἑτεροθαλὲς σύνθετόν τε καὶ ἀλλόκοτον τίγριδος εἶδος ἐκ νόθου καὶ κιβδήλου ἐξέφυ γονῆς, Ἀρμένιον ἢ Ἀσσύριον εἰδεχθὲς 20 τέρας, καὶ λέων μὲν τὴν προσηγορίαν, λέοντος δὲ τὸ μὲν ἁρπακτικὸν εἰς τὸ ἀσφαλὲς κεκτημένος, τὸ δὲ ἐλευθέριον οὐδαμῶς προϊέμενος, χαμαιλέων δὲ ὥσπερ οὖν τὸ εἶδος οὕτω

---

4 καθαρός ER. — πόθεν CR ποθὲν NV *om.* B. — ἀσυρίων CDG. — 6 ἐπευφήμιζεν V ἐπευφήμιζον R. — σεναχειρὶμ L σεναχιρὶμ C σεναχερὶμ E σεναχηρεὶμ BRV σενναχειρεὶμ (-ρὶμ M) AN. — 7 ἀσυρίων CD *item v.* 18. — 8 ἐδέξατο BL. — φονείας (φων. M) BM φονώσας V. — 9 πατρῴῳ ABC πατρωλῴῳ EM πατρολῴῳ DV *sed in* V ο *in lit.* πατρωωλῴῳ R. — 11 ὀχούμενοι RV οἰχούμενοι B ὀχόμενοι M ὠχόμενοι (ὠχ. C) CDE οἰχόμενοι A. — 12 τοῦτο N. — δὲ CRV. — 13 πικρὸς BM. — ἀνδροφόνος A ἀνδροκτοφόνος G ἀνδροφοκτόνος R *om.* LN. — 14 κατακριθέντων AB κατακριθὲν rell. — 15 ὃς] οἷς AE. — 17 αὔξεται AB συναυλίζεται C. — πράγμασι RV. — 19 τε] τι AB. — 20 ἐξέφυεν ὗς ἀρμένιος ἢ ἀσσύριος εἰδεχθέστερος R. — ἀρμενίων ἢ ἀσσυρίων AL. — εἰδεχθὲς τέρας B εἰδεχθεστέρας rell. — 21 τὸ μὲν *om.* V μὲν *om.* R.

δὴ καὶ τῆς ψυχῆς τὸ πολύμορφον διὰ τὸ τοῦ γένους ὕπουλόν τε καὶ ὕφαλον, ἐξ ὧν ἐμεγαλαύχει τῆς δυστροπίας καὶ τοῦ δόλου τὸ κεκρυμμένον καὶ ἀνεξαγόρευτον. καὶ γὰρ ἐμηχανᾶτο λανθάνειν τὸ ἐνδόμυχον τῆς γνώμης σκοτεινὸν καὶ 5 παλίμβολον καὶ πρὸς τὸ βλάπτον ἐπιρρεπές, καί πως ἦν ἐκπεπονημένον αὐτῷ καὶ ἐπιτετηδευμένον μήποτε συμφωνήσειν καρδίαν τοῖς χείλεσιν, ὡς ἕτερα μὲν ἐκμελετᾶν κατὰ νοῦν, ἄλλα δὲ προφέρειν ἐν στόματι. ἐπὶ τοσοῦτον γὰρ ἀφιλοθεΐας καὶ πονηρίας ἐξώκειλεν ὁ βίος αὐτοῦ, ὥστε καὶ 10 δυσφορώτατον καὶ δυσκατάληπτον αὐτοῦ τὴν δαιμονιώδη γνώμην καὶ πονηρίαν τοῖς πᾶσι γίνεσθαι.

685 M.

Ἐπεὶ οὖν τῆς βασιλείου ἀρχῆς μᾶλλον δὲ τυραννίδος θεοῦ συγχωρήσει λαβόμενος κατὰ τῆς ἀμωμήτου πίστεως ὅλον ἐκχέει τὸν θυμὸν καὶ τὸν δόλον, καὶ ἁμιλλᾶται κατὰ 15 πάντα τὸν πρὸ αὐτοῦ δυσσεβῆ Κοπρώνυμον καὶ ὡσαύτως μιαροῖς τισι καὶ παμπονήροις ἀνθρώποις τὸ πᾶν τῆς ζωῆς καταπιστεύει ἀσελγέσι τε καὶ ἐπὶ βίου αἰσχρότησι βεβοημένοις καὶ κατεφθαρμένοις τὴν ψυχὴν καὶ τὸ σῶμα γόησι καὶ φαρμακοῖς καὶ λαοπλάνοις καὶ πᾶν εἶδος κακίας ἀσκή- 20 σασι καὶ ἁπαξαπλῶς τὴν χριστιανῶν ἠρνημένοις θεοσέβειαν, καὶ δὴ τούτοις ἀσπασίως εἰσοικίζεται καὶ περιπτύσσεται καὶ ὑποκύπτει ταῖς ματαίαις αὐτῶν καὶ ψυχοφθόροις διδαχαῖς καὶ μυήσεσιν, καὶ οἷα τῆς ἁμαρτίας ἀνδράποδον ἐξανδραποδίζεται καὶ τῷ ἀγκίστρῳ τῆς ἀπάτης καὶ παρανομίας δε- 25 λεασθεὶς ὁ παράπαιστος δεινῶς περιπείρεται. τρία γὰρ αὐτῷ

1 δὴ B δὲ A *om.* rell. — 3 δόλου] λόγου BM. — 4 ἐνδομυχοῦν LRV. — 5 παλίμβουλον V ἀπαλίμβολον B. — βλάπτων CE βλάπτειν MV βλέπειν L. — πῶς D *et* recc. quidam ὅπως V. — 6 συμφωνήσειν BLV συμφωνήσιν CE συμφωνήσει (-ση AR) ANR. — 7 καρδία NR. — ἐκμελετᾶν AB μελετᾶν rell. — 8 πρὸς φέρειν AM προσφέρων R. — ἐν τῷ στόματι RV. — 11 τοῖς] αὐτοῖς CER. — γενέσθαι AR. — 17 αἰσχρότησι ABV αἰσχρότητι rell. — διαβεβοημένοις B *et* recc. quidam. — 19 ἀσκήσαντας ABE ἀσκήσαντες R. — 21 τούτους NR. — 22 ταῖς ματαίοις B τοῖς ματαίοις CR. — 23 ἀνδραποδίζεται LR. — 25 παράπεστος CRV παράπταιστος LN.

προὔθηκαν τὰ ὑπεσχημένα, τῆς ἀκριβοῦς καὶ ὀρθοδόξου πίστεως ἡμῶν τὴν ἄρνησιν, τῶν θείων εἰκόνων τὴν καθαίρεσιν, τῶν εὐσεβούντων τὴν δίωξιν. καὶ οὕτως εἰς ἄκρον εὐημερίας ἐλάσεις, φησίν, ὡς καὶ ἐπὶ πλεῖστον καὶ μήκιστον χρόνον τὴν παροῦσαν ζωήν, εἴ καί τις ἄλλος, διανύσαι. 5 *ταύταις οὖν καὶ ταῖς τοιαύταις ὀλεθρίοις ἀπάταις φενακισθεὶς ὁ ματαιόφρων καὶ κτηνώδης καὶ καθάπερ ἦν εἰδεχθὴς καὶ δυσέντευκτος καὶ τὴν θέαν αἰσχρότερος (εἰ γὰρ καὶ λεόντειον τοὔνομα πιθήκειον τὸ βλεπόμενον) γίνεται φαυ-* 686 M. *λότερος τὸν τρόπον, σοβαρώτερος τὸ ἦθος, θηριωδέστερος* 10 *τὴν γνώμην, ἀτίθασσος τὴν ὁρμήν, ἀκάθεκτος καὶ ἀνυπόστατος καὶ ἀλογιστότερός τε καὶ ἐμβριθέστερος καὶ τυραννικώτερος. ἀναπτερωθεὶς γὰρ ὁ δείλαιος καὶ ταλαίπωρος τῇ ψευδομαντείᾳ καὶ βουλῇ τῶν ἀλιτηρίων ἐκείνων οὕτως ἐπανατείνεται κατὰ Χριστοῦ τὸν πόλεμον. καὶ πρῶτον μὲν* 15 *κινεῖ κατὰ τῶν ἱερῶν δογμάτων ἡμῶν τὴν θεομάχον γλῶσσαν, ἔπειτα δὲ ζηλοῖ κἀνταῦθα τὸν δυσσεβέστατον Κωνσταντῖνον καὶ ὁμοίως ἀθροίσας πονηρόν τε καὶ ἀγυρτῶδες ἐργαστήριον, μᾶλλον δὲ ἰουδαϊκὸν συνέδριον, οὗ καὶ σύνεδρος καὶ πρόεδρος ὁ ἐξάγιστος γενόμενος, ὁρᾶται πάλιν ἐν ναῷ* 20 *κυρίου τὸ βδέλυγμα τῆς ἐρημώσεως, καὶ ἀνοίγεται στόμα λαλοῦν μεγάλα κατὰ τῆς δόξης κυρίου καὶ κατὰ τῆς θείας οἰκονομίας μεγαλορημονοῦν καὶ ἀλαζονευόμενον. καὶ οὕτως ὁ δεύτερος Καϊάφας μετὰ τῆς χριστομάχου σπείρας ἐκείνης*

20 Dan. 12, 11. — 21 Dan. 7, 8; 20.

1 *ἀκριβοῦς καὶ* (*καὶ om.* CEN) *ὀρθοδόξου πίστεως ἡμῶν* ACELN *ἀκριβοῦς π. ἡμ. καὶ ὀρθοδόξου* R *ἀληθοῦς καὶ ἀκριβοῦς ὀρθοδόξου π. ἡμ.* V *ὀρθοδόξου καὶ ἀκριβοῦς π. ἡμ.* B. — 6 *ὀλεθρίαις* AM. — 9 *λεόντιον* ACELMV. — *τὸ ὄνομα* N. — *πιθήκιον* ABCLV *πυθίκηον* M. — 12 *καὶ ante ἀλογιστότερος om.* BLNV. — *τε om.* R. — 14 *βουλῇ* ABV *ὑποβολὴ* L *ἐπιβουλῇ* rell. — 15 *κατὰ Χριστοῦ*] *καὶ ταχὺ* CR *καὶ ταχύνει* V. — 16 *In verbo ἱερῶν desinit cod.* B. — 17 *δὲ καὶ ζηλοῖ* A. — 19 *οὗ* AN *ᾧ* EL *ὃ* C *ὁ* RV. — 20 *πρόεδρος — οἴκῳ p.* 786, 14 *om.* E *uno folio interciso.* — 21 *ἀνοίγεται πάλιν στόμα* A.

πολλὰ καὶ μάταια κατὰ τῆς ἀληθείας κενολογήσας καθαιρεῖ πᾶσαν ἱερὰν τῆς ἐκκλησιαστικῆς †ἀναστήλωσιν μίσει τῷ εἰς Χριστὸν καὶ τοὺς αὐτοῦ θεράποντας, ἐπειδὴ βαρὺς ἦν αὐτῷ Χριστὸς καὶ ἐν εἰκόσι βλεπόμενος καὶ ἐπὶ μνήμης φερόμενος 5 καὶ οἱ τούτου φίλοι τε καὶ δοῦλοι.

Διὸ δὴ καὶ ἀνοηταίνων κατεφλυάρει πᾶσαν εἰκονικὴν ἀναστήλωσιν ἀπόβλητον εἶναι τῇ θείᾳ γραφῇ καὶ λίαν ἀγνώριστον. τί οὖν πρὸς ταῦτα φήσειέ τις; ὅτι σοφία μωροῦ ἀδιεξέταστοι λόγοι, καί· ὁ μωρὸς μωρὰ λαλήσει. ἀμαθὴς γὰρ 10 σφόδρα καὶ ληρώδης ὑπάρχων οὐκ ᾔδει πάντως τὰ χρυσότευκτα ἐκεῖνα χερουβίμ, ἅπερ ὁ ἱεροφάντης Μωϋσῆς θεοῦ 687 M. *προστεταχότος ἐτεκτήνατο, καὶ ἡ παλαιὰ καὶ ἔννομος σκηνὴ καθύπερθεν τῆς κιβωτοῦ ἔφερεν, ἃ δὴ οὐ παρὰ Ἰουδαίοις μόνον δεδόξαστο, ἀλλὰ καὶ τῆς χάριτος ὁ κῆρυξ χερουβὶμ 15 δόξης ἀποκαλεῖ σαφῶς ἤτοι τὰ δεδοξασμένα. ἔτι μὴν καὶ ὅσα ἡ Σολομῶντος κατεσκεύασε σοφία, τῷ θεσπεσίῳ Ἰεζεκιὴλ ὦπται, καὶ εἴ τι τοιοῦτον κατὰ τὰς ἱερὰς βίβλους ἱστόρηται καὶ τετίμηται, ἅπερ οὐ πέφρικεν ὁ βέβηλος ἐν εἰδώλων μοίρᾳ θεῖναι, ὡς ἀθετεῖν μᾶλλον ἢ προσίεσθαι τὰς θεοπνεύστους 20 γραφὰς προελόμενος· ἐξ ὧν λοιπὸν καὶ Ἰουδαίων ἀπιστότερος καὶ ἀγνωμονέστερος εἰκότως νομισθείη σὺν τοῖς ὁμόφροσιν αὐτοῦ. ἄξια γὰρ ὡς ἀληθῶς τῆς ἑαυτῶν βδελυρίας ἀπιστίας τε καὶ ἀλογίας φρονήσαντες καὶ ἐκφωνήσαντες. καὶ γὰρ τῷ Χριστῷ κἀνταῦθα προφανῶς ἀπομάχονται, ὃς λαβὼν*

8 Sir. 21, 18. — 9 Jes. 32, 6. — 14 Hebr. 9, 5.

1 *καθαίρει* ACLR. — 2 *τῆς ἐκκλησιαστικῆς* ACD *τῆς ἐκκλησίας* M *τῆς ἐκκλησιαστικῆς καταστάσεως* R *ἐκκλησιαστικὴν* LV. — *μισητὸς εἰς χριστὸν* A *μισεῖται χριστὸν* G *μισεῖ τὸν χριστὸν* R. — 4 *εἰκόσι* AV *εἰκόνι* rell. — *φερόμενος* CV *ἐπιφερόμενος* R *ἐρχόμενος* AN. — 8 *ἢ ὅτι* A. — *σοφία μωροῦ* AV *σοφία θεοῦ* (*τοῦ θεοῦ* M) CN *τῇ σοφίᾳ θεοῦ* R. — 16 *ἡ*] *ὁ* DG *ἡ* *m. 1 ex ὁ* M. — 19 *προσίεσθαι* LN *πρὸς οἴεσθαι* A *προΐεσθαι* CRV. — 22 *ὡς om.* A *ὡς ἀληθῶς om.* M *et* recc. nonnulli. — 23 *καὶ ἐκφρονήσαντες* A *om.* CD.

ὀθόνην λαμπρὰν καὶ τὸ ὑπέρλαμπρον καὶ ὑπέρκαλον ἐναπομαξάμενος θεῖον εἶδος ἐκπέμπει τῷ πιστῶς αἰτήσαντι τῶν Ἐδεσηνῶν ἡγεμόνι Αὐγάρῳ. ἐξ ἐκείνου δὲ καὶ μέχρι τήμερον ἀποστολικῇ παραδόσει καὶ εἰσηγήσει γνώσεώς τε καὶ μνήμης ἕνεκεν, ὧν ὑπὲρ ἡμῶν ἔδρασέ τε καὶ πέπονθε 5 *Χριστός, καθὰ δὴ καὶ τὰ ἐν ταῖς ἱεραῖς τῶν εὐαγγελίων δέλτοις ἀνιστόρηται, σεβασμίως ἐκτυποῦμεν καὶ προσκυνοῦμεν, κἂν οἱ χριστομάχοι διαρρήγνυνται. καὶ μέντοι καὶ πρὸς τούτοις παράδοσις καὶ λόγος ἐχόμενος πειθοῦς μέχρις ἡμῶν κάτεισι τὸν θεῖον εὐαγγελιστὴν Λουκᾶν ἐν εἰκόνι δια-* 10 *γράψαι τὸν κύριον, πρὸς δὲ καὶ τὴν πανάχραντον αὐτοῦ μητέρα, καὶ τὰς ἱεροτυπίας ταύτας διαφυλάσσειν τὴν Ῥωμαίων πόλιν. τί δεῖ λέγειν περί γε τῆς Ἱεροσολυμιτῶν, ὡς ἱστορήσαντες οἱ αὐτόθι γενόμενοι περιαγγέλλουσιν, ὡς πλεῖστα* 688 M. *μέχρι τοῦ δεῦρο πιστῶς καὶ εὐλαβῶς ἱερογραφίας ἐκ παλαιοῦ* 15 *δι' ἀκριβείας ἀναστηλωμένας σεμνῶς περιέποντες προσκυνοῦσιν; ὡσαύτως δὲ πάλιν ἀναγέγραπται, ὅτι Πέτρος καὶ Παῦλος οἱ κορυφαῖοι τῶν ἀποστόλων τὰ μεγαλεῖα τοῦ θεοῦ κηρύσσοντες ἐν τῇ Ῥώμῃ καὶ ἃ πεποίηκεν ὁ Χριστὸς θαύματα πρῶτα τῆς θείας μεταμορφώσεως ἐξεικονίσαντες Ῥω-* 20 *μαίοις παραδεδώκασιν, καθὼς καὶ ὤφθη Μωϋσῇ καὶ Ἡλίᾳ ἐν μέσῳ τοῖς ἁγίοις προφήταις, ἃ δὴ καὶ μέχρι νῦν σώζεται. πῶς οὖν ἀντιβλέψουσιν οἱ ἀπειθεῖς καὶ ἀγνώμονες πρὸς τὸ μέχρι τοῦ παρόντος ᾀδόμενον καὶ ὁρώμενον ἐν τῷ ναῷ τῆς θεομήτορος θαῦμα τὸ ἐν τῇ πόλει τῇ καλουμένῃ* 25 *Λύδδῃ; ὅνπερ ναὸν ἔτι περιούσης κατὰ τὸν τῇδε βίον οἱ ἀπόστολοι ἐδομήσαντο. πολλοὶ γὰρ τεθέανται προσκυνούμενον*

---

1 *ὑπέρκαλλον* ALMV *et* recc. plerique *ὑπερβάλλον* D. — 3 *ἐδεσηνῶν* RV *ἐδεσινῶν* CLM *αἰδεσινῶν* D *αἰδεσσινῶν* A. — *αὐγάρῳ om.* A. — 6 *τοῖς ἱεροῖς* R. — 7 *βίβλοις* RV. — 8 *καὶ ante πρὸς om.* A. — 11 *κύριον*] *χριστόν* A. — 13 *δεῖ*] *δὶ* A *δὴ* CRV. — *γε*] *τε* CV *δέ γε* R. — *ἱεροσολυμητῶν* ACGN. — 19 *κηρύττοντες* A. — *Ῥώμῃ*] *πόλει* A *πόλει ῥώμῃ* V. — *καὶ om.* A. — 21. 22 *μ. ἐμμέσῳ καὶ ἡλίᾳ* A. — 26 *λίδδῃ* M *λύδῃ* V *λυδδίῃ* A.

εὐλαβῶς καὶ τιμώμενον τὸ ἀχειρότευκτον ἐκεῖνο καὶ σεβάσμιον ἀπεικόνισμα πλαξὶ τετυπωμένον λαμπραῖς καὶ διαυγέσι καὶ διὰ βάθους κεχωρηκὸς ὅλον, ὃ δή τινες τῶν δυσμενῶν Ἑλλήνων τε καὶ Ἰουδαίων ἀπαχρειοῦν πειραθέντες διέξεσαν 5 μανικῶς. ἀλλὰ διήμαρτον μάλα τῆς ἀνοσίου ἐγχειρήσεως. οὐδὲν γὰρ ἧττον ἐπὶ σχήματος ἕστηκεν ἡ μορφὴ εἶδός τε καὶ στολὴν καὶ τἄλλα τῆς θέας ἀνεξάλειπτα καὶ ἀλώβητα διασώζουσα. ἱστόρηται γὰρ ὑποσχέσει τῆς πανάγνου παρθένου τῇ πρὸς τοὺς ἀποστόλους αὐτόματον ἀναδοθῆναι τὸ 10 σεβάσμιον τουτὶ χρῆμα.

689 M, *Ὅτι δὲ ἀρχαιοτάτη τούτων ἡ ποίησις καὶ παράδοσις μάρτυς μὲν πρὸς τοῖς ἄλλοις ὁ θεῖος ἀνδριάς, ὃν ἔστησεν ἡ αἱμόρρους γυνὴ τῷ θεραπευτῇ Χριστῷ παρὰ τῷ ἑαυτῆς οἴκῳ στήλην ἐναργεστάτην καὶ ἀπαράγραπτον κήρυκα τοῦ 15 θαύματος ταῖς μετέπειτα γενεαῖς τὸ κατ᾽ αὐτὴν θαυματουργηθὲν παράδοξον δημοσιεύουσα. περὶ οὗ καὶ ὁ μέγας παρὰ τοῖς εἰκονομάχοις διδάσκαλος Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ μνημονεύσας τὰ τελούμενα θαύματα παρὰ τῆς ἐκεῖθεν φυομένης ἱερᾶς καὶ θεοβλάστου πόας, καὶ ὡς ἦν ἅπασιν 20 ἀλεξίκακον ἐπικούρημα, ἐπήγαγε φάσκων ὅτι· καὶ τῶν ἀποστόλων τὰς εἰκόνας Πέτρου καὶ Παύλου καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστορήσαμεν. μάρτυς δὲ καὶ ἡ ὄψις, διδάσκαλος ἀψευδής, τό τε μήκιστον τοῦ χρόνου σαφῶς δείκνυσι καὶ τῶν σεπτῶν ναῶν ἡ κτίσις, 25 ἔτι καὶ τῶν ἀνέκαθεν ἱερῶν σκευῶν παρὰ τῶν εὐσεβούντων ἡ ποίησις καὶ ἀφιέρωσις ἄπειρος τῷ πλήθει τυγχάνουσα, οὐ μὴν δὲ ἀλλὰ καὶ αὐταὶ αἱ πτύχαι τοὺς ἱεροὺς τύπους ἔξωθεν φέρουσι παρὰ χριστιανοῖς τῷ εὐαγγελίῳ συμπροσκυνουμένους,*

---

16 Euseb. Hist. eccl. VII, 18.

2 *καὶ αὐγέσι* C *διαυγέσι* (*om. καὶ*) DV. — 5 *μᾶλλον* RV. — 14 *ἀπαρέγραπτον* EG *ἀπαρέγγραπτον* AM. — 21 *δι᾽ αὐτοῦ* CE. — *τοῦ χριστοῦ* ARV Eus. *τοῦ om.* rell. — 23 *ἡ om.* N. — 28 *συμπροσκυνουμένους* (*συνπρὸς κυν.* A) AV *προσκυνουμένους* rell.

οἵ τε θεῖοι κίονες καὶ αἱ σολίαι καλούμεναι, ἃ τὸ σεβάσμιον τοῦ ἱεροῦ διατειχίζουσι θυσιαστήριον. καὶ γὰρ οὐδενὶ ἑτέρῳ λόγῳ ἢ τοῦ προσκυνεῖσθαι πάντως εἵνεκα ἅμα τῷ συμπαρακειμένῳ τοῦ σταυροῦ τύπῳ εὐσεβῶς ἀρχῆθεν ἐνταῦθα καθιστόρηνται. 5

Ἀλλ' ὅ γε θηριώνυμος καὶ λεοντότροπος ταῦτα παραγραψάμενος πάντα ἔσπευδεν ὅτι μάλιστα πᾶσαν θείαν εἰκόνα καταστρέφειν καὶ λήθῃ βαθείᾳ παραπέμπειν. ταύτῃ τοι θεομαχῶν ἐπὶ δήμου τοιαῦτα κατατολμήσας ὁ ἐμβρόντητος παρρησιάζεται λέγων· ὥσπερ οὖν ἐκ τῶν ὄψεων ὑμῶν, ἀδελφοί, 10 *τὰς εἰκόνας ἐξωλοθρεύσαμεν, οὕτω δὴ καὶ ἐκ τῶν ψυχῶν* 690 M. *ὑμῶν περιαιρήσειν ὑμεῖς ὡς θεοῦ καὶ τοῦ βασιλέως φίλοι καὶ δοῦλοι σπουδάσατε. καὶ γὰρ ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς κύριον πλάνησιν. κἀντεῦθεν τοίνυν τοὺς εὑρι-* 15 *σκομένους ἔχοντας εἰκόνα Χριστοῦ ἤ τινος ἁγίου καὶ προσκυνοῦντας δειναῖς τιμωρίαις καὶ κολάσεσι κατεδίκαζεν ὁ ἀλάστωρ καὶ αἱμοβόρος, καὶ οὕτω κρεονομούμενοι καθ' ἑκάστην ἡμέραν καὶ καταθυόμενοι διεφθείροντο πανταχοῦ οἱ θεοσεβεῖς ἄνθρωποι. καὶ ταῦτα μὲν κατὰ τῶν ὀρθοδοξούντων ἀφειδῶς* 20 *καὶ ἀπανθρώπως διεπράττετο, κατὰ δὲ τῶν ἐν τέλει καὶ τῶν εὐπορωτέρων ἄλλην ἐπίνοιάν τινα πονηρὰν ὁ πονηρὸς καὶ παμμήχανος ἐμηχανήσατο βουλόμενος αὐτοὺς ἐλεεινοὺς καὶ πένητας ἀπεργάσασθαι. τί γὰρ ποιεῖ; αἰτίαις αὐτοὺς ἀφύκτοις*

13 Jes. 32, 6.

1 *σολίαι* AV *σολέαι* R *σολαίαι* G *σωλαίε* C *σωλαῖαι* (*σωλ. in* D *in σολ. mut., incertum an manu librarii*) EN. — 3 *ἤνεκεν* A *εἵναικα* C. — 4 *καθιστόρηται* N. — 6 *καὶ λεοντότροπος* AN. *καὶ om.* rell. — 6. 7 *πάντα ταῦτα παραγρ. ἔσπευθεν* A. — 7 *θείαν πᾶσαν* V *θείαν om.* C. — 11 *ἐξωλοθρεύσαμεν* DER *et ut vid.* L *ἐξολοθρεύσαμεν* rell. — 12 *ὑμῶν* GL *et* D *m. 2* *ἡμῶν* rell. — *καὶ τοῦ βασιλέως om.* RV. — *φίλοι καὶ δοῦλοι* AM *δοῦλοι καὶ φίλοι* rell. — 17 *κολάσεσι*] *θανάτῳ* A. — 18 *κρεωνομούμενοι* ER. — 21 *τῶν ante εὐπορωτέρων om.* RV. — 22 *πονηράν τινα* D *τινα om.* M.

καὶ ἐγκλήμασι περιβάλλει προφασιζόμενος προφάσεις ἐν ἁμαρ-
τίαις, ἵνα τῷ δέει τῶν ἐγκλημάτων πᾶσαν αὐτῶν τὴν οὐσίαν
ἀλογήσωσιν ὑπὲρ τῆς οἰκείας σωτηρίας, ἔσθ' ὅτε δὲ καὶ συν-
εσκίαζε καθ' ὧν τινων ἀνδρικωτέρων ἢ εὐφυεστέρων βασκαί-
5 νων τῆς εὐανδρίας καὶ εὐφυΐας αὐτοῖς ὡς νεωτερίσειν ὑπο-
πτεύων· τινῶν μὲν τοὺς ὀφθαλμοὺς ἐξώρυττεν, ἄλλων δὲ τὰ
μέλη ἠκρωτηρίαζεν καὶ ἑτέρους δεσμοῖς κατέχων μεθ' ἡμέρας
τινὰς δεινῶς ἀνῄρει.

Ἐξ ὧν ὑπῆρχε Μιχαὴλ ὁ τὴν τοῦ ἐκσκουβίτου τάγματος
691 M. 10 ἀρχὴν διέπων, ὃν εἱρκτῇ καὶ πέδαις εἶχε τηρούμενον, καὶ
τὴν γενέθλιον τοῦ σωτῆρος ἡμέραν ἐνστᾶσαν ἐκδεχόμενος
διελθεῖν καὶ οὕτως αὐτὸν διαχειρίσασθαι. ἀλλά γε θείᾳ
ψήφῳ καὶ δορυφόρων ξίφει κρεουργηθεὶς αὐτὸς ἐνδίκως
μέσον τοῦ θείου ναοῦ τὴν πολλοὺς ἁγίους ναοὺς καὶ ψυχὰς
15 καὶ σώματα λίαν ἀτιμάσασαν ψυχὴν ἀπορρήξας, εὐθὺς ἐπι-
κοσμεῖται τῷ τῆς βασιλείας ὁ δεσμώτης διαδήματι, ὃς ἐν
ἐλπίσιν ὢν τῆς ζωῆς τὴν στέρησιν ὑπομεῖναι στεφηφόρος
ἀντὶ δεσμοφόρου καθίσταται. οὕτως οὖν καταστρέφει τὸν
βέβηλον αὐτοῦ καὶ βαρβαρώδη βίον καὶ τὴν ἀνόσιον καὶ
20 παμπόνηρον ψυχὴν ἀπορρήγνυσιν ἐν τῷ παλατίῳ, ἐν ᾧ οὐδεὶς
τῶν πρὸ αὐτοῦ βεβασιλευκότων ἀνῄρηται. γενόμενος πολυ-
στόμου μαχαίρας ἔργον πικρὸν καὶ ὀλέθριον τῆς αἰσχίστης

9—15 Ignatii vita Nicephori *p.* 207, 30 ed. meae in Nicephori opusculis historicis. — 15—18 *ib. p.* 209, 1.

3 ἀναλογήσωσιν EG ἀναλογίσωσιν R ἀναλογήσουσιν A. — οἰκείας] ἰδίας LM ἐκείνων R. — συνεσκεύαζε κατά τινων *coni.* Muralt. — 5 εὐανδρείας LM *et* recc. plerique ἀνδρείας D. — νεωτερήσειν AD νεωτερήσιν CMR. — 7 δεσμοὺς C δεσμίους Exc. de ins. — 9 ἐκσκουβήτου AD ἐξκουβίτου V ἐξουβίτου R. — 10 ὃν *om.* codd. *praeter* R Exc. — παῖδες AEG παίδες recc. nonnulli πέδες Exc. — εἶχε AR Exc. τοῦτον εἶχε CDEG εἶχε τοῦτον MV. — καὶ *ante* τὴν *om.* Exc. — 11 τοῦ σωτῆρος ἡμέραν ἐνστᾶσαν A Exc. ἐνστᾶσαν ἡμέραν τοῦ σωτῆρος rell. — 12 ἀλλ' ἄγε CDG *lit. corr. in* D. — 16 διαδήματι ὁ δεσμώτης AGM invito Ignatio. — 17 τῆς ζωῆς *om.* CR. — 22 πικρὸν A Exc. πικρὰν rell. — ὀλεθρίαν RV.

καὶ βδελυρᾶς ζωῆς δέχεται τὴν περαίωσιν καὶ δίκην τῶν τετολμημένων εἰσπράττεται παράδοξον καὶ ἐξαίσιον ἐν τόποις, οὓς καὶ ζῶν ὁ ἐξάγιστος καὶ τρισάθλιος κακῶς ἐβεβήλωσεν, καὶ σφαγιαζόμενος αἰσχρῶς τῷ λύθρῳ τῶν ἐναγῶν αἱμάτων ὁ πολλῶν αἱμάτων χριστιανῶν ἐμφορηθεὶς ἔχρανεν. μετὰ 5 δὲ ταῦτα ῥακίοις εὐτελέσι καὶ τραχέσι περιβληθὲν καὶ ἀκατίῳ μικρῷ εἰς τοῦτο εὐτρεπισθέντι ἐμβάλλεται τὸ παμμίαρον καὶ ἀκάθαρτον αὐτοῦ σῶμα καὶ κατὰ τὴν καλουμένην Πρώτην 692 M ἐκφέρεται νῆσον καὶ κατορύττεται, οὐκ οἶδα ἀνθ' ὅτου ταύτην κατακριθεῖσαν τὴν συμφορὰν τοσοῦτον κακὸν ὑποδέξασθαι. 10

Προσεκτέον δὲ ὡς, εἴ γε ἰσχύν τινα εἶχεν ὁ λόγος τῶν δυσμενῶν τούτων καὶ δυσωνύμων, καὶ ἀληθείας ἔναυσμά τι ἐν τοῖς παρ' αὐτοῖς δογματιζομένοις ἀμυδρῶς πως ἐφέρετο, κἂν ταῖς ἄλλαις ἱεραρχίαις ὑπῆρξέ που πάντως πεφυλαγμένα καὶ γινωσκόμενα, νῦν δὲ οὐδαμόθεν ἐπιγνῶναι τοῦτο πάρ- 15 εστιν. ὁμοῦ τε γὰρ ἑῴα καὶ ἑσπερία λῆξις τὸ εὐαγγελικὸν δὴ τοῦτο καὶ ἀποστολικὸν περιέποντες διατελοῦσι κήρυγμα, καὶ οὔποτε ἐν ἄλλῃ ἐξουσίᾳ, ἔνθα χριστιανοί, τὸ ἔκθεσμον ἐκεῖνο καὶ παράνομον καὶ τῆς χριστιανῶν θεοσεβείας ἀλλότριον παραφυὲν καταλαμβάνεται θεοστυγὲς δόγμα οὐδὲ ὅσον 20 εἰς μνήμην ἀφῖχθαι τῶν πονηρῶν καὶ μυσαρῶν συνταγμάτων, ἀλλ' ἢ μόνον κατὰ τὴν δούλην ταύτην καὶ ἠνδραποδισμένην καὶ τὰ θεῖα κατ' ἐξουσίαν παίζουσαν, ἐν ᾗ τὸ ἐμπαθὲς καὶ πρόσυλον τῶν περὶ γῆν στρεφομένων καὶ ἰλυσπωμένων γήϊνον καὶ ἀλαζονικὸν καὶ ὑπερήφανον πρυτα- 25 νεύει φρόνημα, ἔνθα τὸ φίλαρχον, τὸ φίλαυτον, τὸ φιλήδονον, τὸ φιλόδοξον ἢ κενόδοξον, ἡ πάντων καταθυμίων ἀπόλαυσις, τὸ πάντων ἐθέλειν ἄρχειν καὶ μηδὲ πρὸς αὐτοῦ

4 αἰσχρὸς C αἰσχρῷ RV. — 6 δὴ DELV. — καὶ τραχέσι *om.* A. — καὶ *ante* ἀκατίῳ *delendum videtur*. — 7 μιαρὸν CRV. — 10 κατακριθεῖσα AEGL. — τοσούτων κακῶν AR. — 12 ἐν αὔσματι CV ἐναύματι EG ἐν ἄσματι (ἐνάσμ. M) N ἐναυγάσματι A ἐν ἄσμασι R. — 13 παρ' αὐτοῦ C παρ' αὐτῶν E. — 24 ἰλυσπομένων CGN ἰλυσπώμενον (-όμενον A) AR. — 27 ἡ] ἢ ACV. — καταθύμιον DV *m. 2 corr. in* D καταθύμιος MR.

θεοῦ ἄρχεσθαι, καὶ ἡ τῆς ἀνθρωπίνης δόξης, ἢ αἰσχύνης
μᾶλλον εἰπεῖν, κτῆσις καὶ προσποίησις. ἐντεῦθεν ἡ κατὰ τοῦ
θεοῦ καὶ τῶν ἁγίων ὕβρις καὶ τῆς ἐκκλησίας ὁ διωγμός,
ἐντεῦθεν κατακυριευόμενον ἢ τυραννούμενον τὸ ὑπήκοον τοῖς
5 ἐκεῖθεν δόγμασι καὶ θελήμασιν ὑποκύπτειν ἐκβιάζεται, ὧν
ἕνεκεν τὸ ἔμψυχον κεχάλκευται καὶ ἐσχεδίασται ὅπλον, σχή-
ματι μὲν τοῦ σωματοφυλακεῖν ἠθροισμένον, ταῖς ἀληθείαις
δὲ τοῦ ἐκπορθεῖν τὴν ἐκκλησίαν Χριστοῦ καὶ ληΐζειν ἐπι-
νενοημένον προφάσει τοῦ συμπεριγράφεσθαι τὴν Χριστοῦ
693 M. 10 θεότητα ἐν τῇ εἰκόνι παραληροῦντες, ὡς εἴ τις καὶ τὸ
ἡλιακὸν δὴ τοῦτο δισκοειδὲς σῶμα γεγραμμένον ἔν τινι
τόπῳ, καθὼς ἔν τισιν ὁρᾶται γινόμενον, ὑποδείξειεν, ἐδογμά-
τισαν ἂν καὶ τὴν τοῦ φωτὸς οὐσίαν καὶ αὐγὴν συγγράφε-
σθαι καὶ περιγράφεσθαι ἢ πάντως ἐκ τοῦ ἡλίου τὸ φῶς
15 ἀποτέμνεσθαι· ἢ πάλιν ἀκτῖνα ἡλίου εἴ που δένδρῳ προσ-
βάλλουσαν ἴδοιεν, τμηθείη δὲ τὸ δένδρον, συνεκκοπήσεσθαι
καὶ τὴν ἀκτῖνα παραφρόνως ἐνομίσθη. καὶ μέντοι καὶ ἐπὶ
πυρὸς καὶ ἄλλων τινῶν διανοηθήσονται. ἵνα ἐνδίκως παρὰ
παίδων παιζόντων παιχθήσωνται φρονοῦντες ἀσυνετώτερα.
20 εἰ γὰρ ἐπὶ τῶν εἰρημένων οὔτε γίνεσθαι οὔτε ὁρᾶσθαι πέ-
φυκεν οὔτε μὴν λέγεσθαι χώραν ἕξει, πόσῳ μᾶλλον ἐπὶ τῆς
ἀπορρήτου καὶ θείας φύσεως ἢ ἐπὶ τῆς ἀφράστου καὶ ἀνερ-
μηνεύτου Χριστοῦ οἰκονομίας ταῦτα λέγειν ἢ ἐννοεῖν ἀδύ-
νατα καὶ ἀνεπιχείρητα. οὐδὲ γὰρ σαρκούμενος ἢ πάσχων

10—17 Iisdem similitudinibus utitur Niceph. Antirrh. I, *cp*. 37. Migne Tom. 100, 292 B.

1 ἢ] ἡ C *om*. A. — 2 κτίσις ACMR. — 6 ἐσκεδίασται CG ἐσκεδίαστο A διεσχεδίασται D. — ὅπλον] ὅπερ N. — 9 τὴν χριστοῦ—14 περιγράφεσθαι *om*. M. — 10 παραπληροῦντες CDG. — 14 καὶ περιγράφεσθαι *om*. AD. — 15 ἤ που ADE ἢ ποῦ C ἤπου GM ὑπὸ R. — δένδρων G δένδρον NR. — προσβάλουσαν D προσβαλοῦσαν CGV. — 16 ἴδοιεν (εἴδ. CG), τμηθείη CEGV ἤδοι, ἐντμηθείη (ἐκτμ. *m. 2*) D ἴδοι, ἐτμηθείη M ἴδοι. ἐκτμηθίη A ἤδη τμηθῆναι (-εῖναι alii) R. — συνεγκοπήσεσθαι CE. — 19 παιχθήσονται ACGM τεχθήσονται R.

ὑπὲρ ἡμῶν σώματι τούτων τι πέπονθεν, ἐπεὶ οὕτω γε καί,
εἰ ἄνθρωπος τῶν καθ᾽ ἡμᾶς εἰκονίζοιτο σώματι, ἀνάγκη καὶ
τὴν ψυχὴν συνεικονίζεσθαι ἢ πάντως τεθνήξεσθαι χωρι-
ζόμενον. τί γὰρ ἕτερον θάνατος ἢ χωρισμὸς ψυχῆς ἀπὸ
σώματος; ὅθεν ἐν τούτοις φαίνονται προδήλως οὐδὲν ἧττον 5
ἀσεβοῦντες ἢ ἀμαθαίνοντες· οὐ γὰρ ἴσασιν ὅσον γραπτοῦ
καὶ περιγραπτοῦ τοῦ τε γράφειν καὶ περιγράφειν τὸ ἰδιάζον
καὶ διηλλαγμένον, καὶ διὰ τοῦτο φενακιζόμενοι ματαιο-
λογοῦσιν. ποῦ δὲ ὅλως σῶμα ἄγραφον ἢ ἀπερίγραφον ἐκ
τοῦ παντὸς αἰῶνος ἤκουσται; ἢ πῶς ὁ τοῦ σώματος ὅρος 10
καὶ λόγος σωθήσεται, εἰ μὴ ταῦτα ἔχοι; ὁ τοίνυν μὴ δο-
ξάζων γράφεσθαι ἢ περιγράφεσθαι τὸν Χριστὸν σώματι ἢ ὅ
τι ἔστι σῶμα οὐκ ἔγνω, ἐξ οὗ μηδὲ δόξαν ὀρθὴν κέκτηται,
ἢ γνοὺς σῶμα καὶ ψυχὴν σώζεσθαι παρῄτηται. ὁ γοῦν ὁμο-
λογῶν σῶμα τὸν Χριστὸν ἀνειληφέναι ὁποῖον τὸ ἡμέτερον, 15
τοῦτο δὲ γραπτὸν καὶ περιγραπτόν, ἐξ ἀνάγκης κἀκεῖνο
γραπτὸν καὶ περιγραπτὸν εἶναι συνομολογήσειεν. εἰ δὲ τὸ
δεύτερον οὐ δώσει, οὐδὲ τὸ πρῶτον ἄρα, ὃ πάντῃ ἄλογον 694 M.
καὶ καταγέλαστον. οὐ περιγράφομεν οὖν ἡμεῖς, ἀλλὰ γρά-
φομεν. κἂν κενολογοῦσιν οἱ ἄθλιοι καὶ ἄλλως ἀτοπώτερον. 20
ὃν γάρ φασιν ἀπερίγραπτον, οὐκ οἶδ᾽ ὅπως ὑπ᾽ εὐηθείας
συμπεριγράφεσθαι τῇ εἰκόνι τερατεύονται. εἰ δὲ δὴ μὴ
χρῆναι τὸν Χριστὸν εἰκονίζεσθαι πάλιν κενολογήσωσιν, ἡ
τῶν διδασκάλων αὐτῶν χάρυβδις αὐτοῖς μέγα περικέχηνεν,
Μάνεντος, Οὐαλεντίνου τε καὶ Μαρκίωνος. δοκήσει γὰρ 25
καὶ φαντασίᾳ τὸν θεῖον λόγον σεσωματῶσθαι δοξάζοντες
οὐδὲν ἧττον τῇ προτέρᾳ τοῦ ψεύδους βλασφημίᾳ περιπαρή-

2 εἰκονίζοιτο σώματι CG εἰκονίζοι τὸ σ. A εἰκονίζοι (-ει MR) τῷ σώματι rell. — 3 εἰκονίζεσθαι A. — 9 ὅλον (τὸ *add.* M) σῶμα N σῶμα ὅλως V. — 13 ὀρθὴν *om.* N. — 14 μὴ ὁμολογῶν A. — 17 εἰ δὲ καὶ τὸ A. — 18 ἄρα N ἄρα A ἄραι CV. — πάντι GM παντὶ A. — 19 περιγράφωμεν — γράφωμεν ACGN. — 20 κἂν] καὶ CR. — 23 χρῆναι: *Desinit cod.* E. — 24 μέγα AGN μεγάλα CRV. — 25 τε *om.* N. — μαρκίονος AGM. — 27 τῆς προτέρας ψευδοῦς βλασφημίας A.

σονται, οἵ γε πρὸς πᾶσαν τὴν οἰκουμένην παρατάττόμενοι δυσσεβῶς οὐ κατερυθριῶσιν. καὶ ταῦτα τίνες; οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, τὰ ἀχάριστα κτίσματα κατὰ τὴν θεολόγον 5 γλῶσσαν.

[μβ΄. Περὶ Μιχαὴλ τοῦ Ἀμορραίου.]

Μετὰ δὲ Λέοντα ἐβασίλευσε Μιχαὴλ ὁ Ἀμορραῖος ἔτη η΄ μῆνας θ΄ καὶ ἀπέθανεν ἐκ δυσουρίας καὶ τῆς τῶν νεφρῶν σφοδροτάτης ἀλγηδόνος τε καὶ ἀρρωστίας. ὃς μικρόν 10 τι τῆς προκατασχούσης κακίας ὑπενδούς, ὅσον τοὺς ἐν εἱρκταῖς καὶ πόνοις καὶ ἐξορίαις ἐλευθερίαν τε καὶ ἄνεσιν ὀνειρώδη φαντάζεσθαι, τὸ τοῦ προηγησαμένου δυσωνύμου καὶ δυσσεβοῦς ὑπέθαλπε θεοστυγὲς φρόνημα, καὶ ὁμοίως τῷ αὐτῷ ἀμφιβλήστρῳ περιπαρεὶς τῆς δεινῆς αἱρέσεως ἰχθύος δίκην 15 τοῖς τῶν δογμάτων σαθροῖς καὶ ἀσεβέσιν ἐναπέθανεν ἐξ ἀκροτάτης ἀβελτηρίας τε καὶ ἀλογίας. ἀμύητος γὰρ σφόδρα καὶ ἀπαίδευτος ἐτύγχανεν, ἀμαθίαν [γὰρ] ἐκ πατρῴας ἀλογίας καὶ ἀπειροκαλίας ὥσπερ ἱκανὴν οὐσίαν κληρωσάμενος, ὅθεν 695 M. ἐπὶ λαοῦ δημηγορήσας φησίν· οἱ μὲν οὖν πρὸ ἡμῶν ἐρευνη- 20 σάμενοι τῶν ἐκκλησιαστικῶν δογμάτων αὐτοὶ καὶ τὸν περὶ αὐτῶν εἰσπραχθήσονται λόγον, εἰ καλῶς ἢ κακῶς ἐθέσπισαν. ἡμεῖς δὲ ἐν ᾧ τὴν ἐκκλησίαν εὕρομεν βαδίζουσαν ἐν τούτῳ

9—16 Ignatii Vita Niceph. p. 209, 7. — 16—p. 793, 6 ib. p. 209, 26.

1 παραττόμενοι C ταραττόμενοι R. — 4 θεολόγου γλῶτταν A. — 7 ἀμορραῖος ALRV ἀμοραῖος C ἀμωραῖος GN ἀμοραίος lit. ex ἀμορραίος Exc. de virt. — 8 καὶ μῆνας AGLR. — δισουρίας CGV δησουρίας M. — 9 ἀρρωστίας τὲ καὶ ἀλγιδώνος A. — 10 προκατασχούσης GN Exc. Ign. προκατεχούσης CRV προκαταρχούσης A. — 15 ἀπέθανεν A. — 16 ἀβελτερίας CM. — 17 γὰρ del. vid.; nisi forte v. 18 scribendum: ἱκανὴν ἣν οὐσίαν κληρωσάμενος. — 18 ἀπειροκακίας A. — 19 ἐρευνησάμενοι] ἐν ἐρεύνῃ γενόμενοι Ign. — 20. 21 τῶν — λόγον AM τῶν — λόγων CD. — 21 εἰ] ἢ ACNR. — 22 ἡμεῖς — βαδίζουσαν om. A. — εὕρωμεν codd. praeter V et recc. quosdam.

καὶ διαφυλάττειν προκρίνομεν. τοῦτο δὲ ἐπακριβοῦντες διαβεβαιοῦμεν ὡς μὴ θαρρεῖν τινα κατὰ εἰκόνων ἢ ὑπὲρ εἰκόνων παρρησίᾳ κινεῖν τὴν γλῶτταν, ἀλλ' ἐκποδὼν ἔστω καὶ οἰχέσθω καὶ ἡ Κωνσταντίνου σύνοδος καὶ ἡ Ταρασίου καὶ ἡ νῦν ἐπὶ Λέοντος κροτηθεῖσα περὶ τῶν τοιούτων ζητη- 5 μάτων, καὶ σιγὴ βαθεῖα τῆς τῶν εἰκόνων μνήμης γινέσθω.

Ἐφ' οὗ Θωμᾶς ὁ ἀντάρτης ἐκ τῶν ἀνατολικῶν μερῶν ἀπάρας ἤδη καὶ λαὸν ἀγυρτώδη καὶ ἐπίμικτον προσυλλεξάμενος καὶ ἐπισυρόμενος ἐπὶ τὸ Βυζάντιον ἐκίνησε τῆς βασιλείας πανούργως καὶ παρ' ἀξίαν ἐφιέμενος. ἐκ γὰρ τῆς 10 Ῥωμαίων γῆς ὁρμώμενος δυσγενής τε καὶ ἀφανὴς πρὸς τὰ μέρη τῆς Συρίας ἀφίκετο Κωνσταντῖνον ἑαυτὸν μετονομάσας καὶ υἱὸν Εἰρήνης τῆς βασιλίσσης, κἀντεῦθέν γέ τοι πολλοὺς τῶν βαρβάρων καὶ Χριστιανῶν ἀπατήσας καὶ λαὸν ἄπειρον ἐκ διαφόρων ἐθνῶν συναθροίσας ἐπῄει τῇ Κωνσταντινου- 15 πόλει ἐν ὄχλῳ βαρεῖ καὶ στόλῳ μεγάλῳ, καθάπερ τι θηρίον ἀλλόκοτον καὶ πολύμορφον ποικίλον τε καὶ πολυκέφαλον τὰ πολυειδῆ γένη τῶν ἐθνῶν συναθροίσας καὶ ἀνειλημμένος. καὶ οἷά τις ἄλλος Σεναχειρὶμ κατὰ τῆς νέας Ἱερουσαλὴμ ἐξοπλισάμενος ἐμεγαλαύχει τῷ πλήθει τῶν ἑπομένων καὶ 20 κατηλαζονεύετο, μὴ πάμπαν ὡς ἔοικεν ἐννοήσας κατὰ πολλὴν ἀβελτηρίαν, ὡς οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ 696 M. *οὐ σωθήσεται. καί· κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθε- 25 τεῖ δὲ λογισμοὺς λαῶν καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει. εἰ γὰρ καὶ τὰ μά-*

22 Psalm. 32 (33), 16; 17. — 25 *ib.* *v.* 10; 11.

1 *προκρίνωμεν* codd. *praeter* DV. — 6 *γινέσθω* N *γενέσθω* rell. (*ἐμπολιτευέσθω* Ign.). — 10 *καὶ om.* A. — 13 *τοι*] *τοὺς* A. — 15 *ἐπίει* C *ἐπείη* D *ἐποίει* M *ἐπι* (*sine acc.*) A *ἐπὶ* R. — *τὴν κωνσταντινούπολιν* N *τὴν κωνστ. ἀπῄει* R. — 19 *σεναχειρεὶμ* D *σεναχηρεὶμ* RV *σενναχειρὶμ* AM. — 21 *ἐννοήσας* A *νοήσας* rell. — 22 *ἀβελτερίαν* N. — 27 *μένει εἰς τὸν αἰῶνα* DGV.

λιστα ἡ πόλις οὐκ εἶχεν Ἐζεκίαν εὐσεβῆ καὶ ἐνάρετον βασιλέα, ἀλλ' οὔ τί που διὰ τὴν τοῦ κρατοῦντος ἐκ πολλῆς ἀγνωσίας καὶ ἀπροσεξίας πεφενακισμένην καὶ διεφθαρμένην γνώμην τε καὶ πίστιν περιεῖδεν ὁ τοῦ παντὸς πρύτανις καὶ
5 φιλάνθρωπος κύριος πολιορκούμενον τὸν λαὸν αὐτοῦ, ἀλλ' εἵνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων ἔφη καὶ τότε που πάντως· νῦν ἀναστήσομαι καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης, οὐ δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν δοῦλόν μου, καθὼς εἴρηκε τηνικαῦτα πρὸ τῆς
10 ἐνσάρκου οἰκονομίας, ἀλλὰ δι' ἐμὲ καὶ διὰ τὸν ἐκ σπέρματος φύντα Δαυὶδ υἱόν μου καὶ διὰ τὴν νέαν Ἱερουσαλήμ, ἣν ἐξελεξάμην. καὶ γὰρ καὶ ἐπὶ τοῦ δυσσεβοῦς Ἀχαάβ, τοῦ Σύρου πολλὰς μυριάδας κατ' αὐτοῦ συνειληχότος καὶ βρενθυομένου καὶ λέγοντος· εἰ ἐκποιήσει Σαμάρεια ταῖς δραξὶ
15 παντὶ τῷ λαῷ τοῖς πεζοῖς μου, διέλυσε ῥᾳδίως εὐθὺς τοῦ τρισαθλίου βασιλέως ὁ φιλοικτίρμων θεὸς τὸ δέος φάσκων· ἰδοὺ ἐγὼ δίδωμι αὐτὸν εἰς τὰς χεῖράς σου, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος. ὅπερ καὶ γέγονεν. καὶ δὴ παραυτίκα δέδειχε καὶ τοῖς οἰκείοις καὶ τοῖς ἀλλοτρίοις τὴν ἰδίαν ἰσχὺν καὶ
20 τὸν ἱεροψάλτην ἀληθεύοντα· κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέμῳ. τῆς γὰρ συμπλοκῆς γεγενημένης δυοκαίδεκα τῶν ἀντιπάλων μυριάδας ὁ Ἰσραὴλ κατηκόντισεν. ἵνα δὲ κἀκεῖνοι καὶ οὗτοι μάθωσιν, ὡς θεήλατος ἡ πληγή, τῶν διαπεφευγότων εἴς τινα πόλιν καταπεσὸν τὸ τεῖχος κατ-
25 έχωσε χιλιάδας κζ'.

697 M. Τὴν τοίνυν βαρβαρικὴν ὀφρὺν καὶ ἀλαζονείαν τοῦ τε Ἀσσυρίου καὶ τοῦ Σύρου χρησάμενος καὶ Θωμᾶς ὁ μαται-

6 Psalm. 11 (12), 6. — 7 4. Regg. 20, 6. — 14 3. Regg. 21 (20), 10. — 17 *ib.* *v.* 13. — 20 Psalm. 23 (24), 8.

2 τὴν] τῆς A *om.* CV. — ἐκ *om.* A. — 4 περιίδεν A οὐ περιεῖδεν N. — 6 ἕνεκεν A. — 10 διὰ *om.* RV. — 12 καὶ ἐπὶ A καὶ *om.* rell. — 14 σαμαρεία DV σαμαρία AC σαμάρια M. — 17 γνώσει ACN. — 18 δέδειχε] γέγηθεν A. — 27 ἀσυρίου CG. — ὁ ματαιόφρων θωμᾶς N.

ὀφρῶν καὶ τὴν Κωνσταντινούπολιν μᾶλλον δὲ Θεούπολιν ἐφ' ἕνα χρόνον ἐκπορθήσας καὶ τὴν Θράκην δῃώσας καὶ λαφυραγωγήσας μετρίως καὶ οὐχ ὡς ὀνειροπολῶν ἀπεκαραδόκει, ἀλλ' ὡς ἡ θεία προμήθεια συνεχώρει διὰ τὰς ἁμαρτίας ἡμῶν, οὐδὲν πλέον ἤνυσεν ὧν προσεδόκησεν. καὶ γοῦν 5 οὐ μόνον εἰς ἐναντίωσιν αὐτῷ περιέστη καὶ περιετράπη τε καὶ ἀπέσβη τὸ σπουδαζόμενον, ἀλλά γε καὶ ὅπερ ἔχειν ἐδόκει καὶ κατεφαντάζετο κλέος τε καὶ σθένος ἀπεγυμνώθη μικροῦ δεῖν καὶ διόλωλεν. οἱ γάρ τοι πολῖται γενναίως τε καὶ σφοδρῶς ἀντιπαρατατόμενοι τῇ ῥοπῇ καὶ συμμαχίᾳ τοῦ 10 κρείττονος, καὶ μετὰ τοιαύτης ἐλπίδος τειχομαχοῦντες καὶ ναυμαχοῦντες καὶ μέντοι καὶ πεζομαχοῦντες ἀνδρικῶς καὶ καρτερῶς, ἅπαν αὐτοῦ σχεδὸν τὸ σαθρὸν φρύαγμα κατέλυσαν. τὰ γὰρ ὀχυρώματα, ἐφ' ἃ πεποιθὼς ἀνοήτως ἄγαν ἐναβρύνετο καὶ κατεθρασύνετο, λέγω δὴ τὰς πλείστας ναῦς, πυρ- 15 πολήσαντες καὶ τοὺς λογάδας τῶν πολεμίων καὶ στρατοπεδάρχας τροπωσάμενοι, σκοτοδινία πολλὴ καὶ ἀμηχανία περιέσχε τὸν εὐρίπιστον καὶ κουφότατον, ναὶ μὴν καὶ τὰς πολυμηχάνους καὶ πολυτρόπως ἐξευρημένας ἑλεπόλεις αὐτοῦ πάσας ἀκαταμαχήτους οὔσας καὶ δυσαλώτους, ὡς ᾤετο, διέφθειραν 20 καὶ κατέλυσαν εὐπετῶς ἄρδην. καὶ οὕτως ὁ μὲν οἶκος Δαυίδ, 698 M. ἤτοι Χριστοῦ πόλις, ἐπορεύετο καὶ ἐκραταιοῦτο, ὁ δὲ οἶκος Σαούλ, τῶν πολεμίων τὸ στῖφος, ἐπορεύετο καὶ ἠσθένει τῷ ὄντι, καὶ θεὸς ἐδοξάζετο, καὶ ἦν ἰδεῖν ἐναργῶς ὄντως ἐπ' αὐτῷ πληρούμενον καὶ τὸ θάτερον ἱερὸν λόγιον· καθεῖλες 25

21 2. Regg. 3, 1. — 25 Psalm. 88 (89), 41 *sqq.*

2 *δῃώσας* AV *διώσας* rell. — 5 *προσεχώρησεν* A *προσεδόκει* N *sed om.* 5—7 *καὶ γοῦν — ἐδόκει.* — 6 *περιέστη* AGL *παρέστη* CRV. — 7 *ὅπερ ἐδόκην ἔχει* A. — 11 *καὶ ναυμαχοῦντες καὶ μέντοι om.* N. — 12 *καὶ post μέντοι om.* A. — 13 *ἅπαν αὐτοῦ σχεδὸν τὸ σ. φρύαγμα* ADG Exc. de ins. *ἅπαν αὐτ. τὸ σ. φρ. σχεδὸν* M *ἅπ. σχ. τὸ σ. αὐτ. φρύαγμα* RV. — 15 *πλείστας* AV *πλείστους* rell. — 18 *πολυμηχάνους αὐτοῦ (om. αὐτοῦ v.* 19) RV. — 19 *πολυτρόπως* CL *πολυτρόπους* rell. — 20 *καὶ om.* CN. — 23 *πολεμίων*: *desinit cod.* G. — 25 *καὶ om.* CLN.

πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ. ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ,
5 *ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ. ἔνθεν οὖν λοιπὸν οἱ μὲν τῆς πόλεως ἔψαλλον· οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ*
10 *ἀνωρθώθημεν. ὁ δὲ θεῖος λόγος αὖθις παρεγγυώμενος καὶ προευαγγελιζόμενος αὐτοῖς εὖ μάλα τὴν ἀθρόαν καὶ ταχίστην κατάπτωσιν τοῦ ἐχθροῦ αὐτῶν ἀπεφήνατο μονονουχὶ λέγων· τέκνα, μακροθυμήσατε τὴν παρὰ θεοῦ ἐπελθοῦσαν ὑμῖν ὀργήν· κατεδίωξε γάρ σε ὁ ἐχθρός σου, καὶ ὄψει αὐτοῦ τὴν*
15 *ἀπώλειαν ἐν τάχει καὶ ἐπὶ τραχήλους αὐτῶν ἐπιβήσῃ. θαρσεῖτε, τέκνα, καὶ βοήσατε πρὸς τὸν θεόν· ἔσται γὰρ ὑμῖν ὑπὸ τοῦ ἐπαγαγόντος μνεία. ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ τῆς σωτηρίας ὑμῶν.*

20 *Ἐπεὶ οὖν ἀποκαμὼν ὁ τάλας καὶ πεπλανημένος ἀνόητα πολεμῶν καὶ ματαιοπονῶν καὶ μάλα δὴ ἀπογνοὺς ὡς τοῦ σκοποῦ διαμαρτήσας ἐκ διαμέτρου, καὶ τῶν πραγμάτων αὐτῷ κατόπιν προδήλως φερομένων ἡμέρᾳ καὶ ἡμέρᾳ, καὶ πρὸς τούτοις μαθών, ὡς ὁ βασιλεὺς Μιχαὴλ τοὺς Βουλγάρους εἰς συμμαχίαν κατ' αὐτοῦ προσεκαλέσατο, παραχρῆμα τὴν πόλιν*

7 Psalm. 19 (20), 7; 8. — 13 Baruch 4, 25; 27; 29.

1 *αὐτοῦ*] *αὐτῶν utroque loco* A *altero loco etiam* R. — 2 *ἐγεννήθη* AV. — 4 *εὔφρανας* — 5 *ῥομφαίας om.* N. — 6 *λοιπὸν om.* CN. — *οἱ μὲν* A *μὲν om.* rell. — 8 *μεγαλυνθησώμεθα* CM. — 9 *ἔπεσαν* CD Psalm. — 10 *ἀνορθώθημεν* ALM. — 12 *ἀπεφίνατο* A *ἀπεκρίνατο* rell. — 13 *παρὰ θεοῦ* AMV *et* recc. quidam *παρὰ τοῦ θεοῦ* rell. Bar. — *ἡμῖν* AR *et ut vid.* M. — 16 *ὑμῖν τὰ ὑπὸ* A. — 17 *τὰ om.* A. — 19 *ἀνόνητα* Exc. de insid.

ἐάσας κατ' αὐτῶν θᾶττον ᾤχετο. οὓς δὴ καὶ μαχησάμενος καὶ πολλοὺς αὐτῶν διαφθείρας εἰς Ἀρκαδιούπολιν ἑαυτὸν ἀσφαλίζεται δῆθεν τὴν κατὰ πρόσβασιν ἀσθένειαν αὐτοῦ καὶ ἐλάττωσιν ὑφορώμενος. ὅθεν οἱ περὶ αὐτὸν αἰσθόμενοι 699 M. σαφέστερον τήν τε δεινὴν οἰκείαν ἀπάτην καὶ τῆς κενῆς 5 ἐλπίδος ἀποτυχίαν καὶ τὴν ἐκείνου πλησιάζουσαν πανωλεθρίαν ἤρξαντο κατὰ μικρὸν ὑποχωρεῖν καὶ ὑπορρέειν καὶ καταλιμπάνειν αὐτὸν ὡς μάταιον καὶ λαοπλάνον. ὁ δὲ Μιχαὴλ ταῦτα μεμαθηκὼς αὐτίκα τῆς πόλεως ὑπεξελθὼν μετὰ πλείστης δυνάμεως πρὸς αὐτὸν ἐξώρμησεν, καὶ δὴ περικαθίσας 10 βραχύν τινα καιρὸν καὶ τοῦτον ἀμογητὶ χειρωσάμενος, οὗ καὶ τὸν τράχηλον κατὰ τὴν ἀρχαίαν συνήθειαν πεπατηκὼς καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖρας καὶ πόδας καὶ οὕτως ἀνασκολοπίσας κατέπαυσε τὸν ἐν τρισὶν ἔτεσι δι' αὐτοῦ κατάρξαντα καὶ διαρκέσαντα χαλεπὸν καὶ δύσοιστον ἐμφύλιον 15 πόλεμον.

[μγ'. Περὶ Θεοφίλου.]

Μετὰ δὲ Μιχαὴλ ἐβασίλευσε Θεόφιλος υἱὸς αὐτοῦ ὁ νέος Βαλτάσαρ καὶ θεομισὴς καὶ τῶν ἁγίων ὑβριστὴς καὶ καθαι- 700 M. ρέτης καὶ βέβηλος ἔτη ιβ' μῆνας γ', καὶ ἀπέθανε δυσεντερι- 20 κῶς. ἐφ' οὗ καὶ πρὸς τὴν πατρίδα καὶ πόλιν τοῦ ἀλιτη- 701 M. ρίου καὶ τυράννου μετὰ πολλῆς δυνάμεως οἱ Σαρακηνοὶ παραγενόμενοι καρτερῶς ὠχυρωμένην εὗρον καὶ κατησφαλισμένην πάνυ καὶ ὑπὸ στρατηγῶν ὀκτὼ μετὰ τῶν λογάδων αὐτῶν καὶ στρατευμάτων φρουρουμένην. καὶ ταύτην δι' ἡμε- 25 ρῶν ιε' τοῦ Αὐγούστου μηνὸς ἐκπορθήσαντες καὶ δορυάλωτον εἰληφότες, ᾐχμαλωτίσθη καὶ ἀνῃρέθη χριστιανῶν πλῆθος

1 καὶ *om.* A. — μαχεσάμενος Exc. — 6 πανολεθρίαν LNV. — 7 ὑπορέειν ALN. — ὑπορ. καταλιμπάνοντες αὐτὸν A. — 8 δὲ AN Exc. δέ γε rell. — 9 ταῦτα CLNR Exc. καὶ ταῦτα AV. — 10 περικαθήσας ACM Exc. παρακαθήσας L. — 12 ἀρχῆθεν A. — 15 καὶ *ante* δύσοιστον *om.* CNV. — 20 καὶ μῆνας AL. — τέθνηκε A. — δυσεντερικός LN. — 23 ὀχυρωμένην ANV. — 26 δωρυάλωτον AM δοριάλωτον C. — 27 αἰχμαλωτίσθη A.

ἄπειρον, καὶ ἡ πόλις ἐκαύθη καὶ κατερυπώθη. ἀλλὰ μὴν
702 M. καὶ πλήθη πλοίων αὐτῶν ἐξελθόντα τὰς Κυκλάδας νήσους
ἠρήμωσαν καὶ τὴν Κρήτην καὶ τὴν Σικελίαν παρέλαβον.
καὶ ψῦχος δὲ πολὺ γέγονεν ἀγριώτατον καὶ δριμύτατον, καὶ
5 λιμὸς ἰσχυρὸς καὶ ἀέρος αὐχμοὶ καὶ δυσκρασίαι καὶ ἀνω-
μαλίαι καὶ σεισμοὶ φοβεροὶ καὶ ἐπάλληλοι, τὴν ἄμετρον
ἀπελέγχουσαι τοῦ κρατοῦντος μοχθηρίαν καὶ κακουργίαν.
εἰς τοσαύτην γὰρ ἀφιλοθεΐαν καὶ ἀπόνοιαν ἐξώκειλε καὶ τὴν
τοῦ Κοπρωνύμου καὶ τῶν θηριωνύμων χαλεπὴν καὶ μυσαρω-
10 τάτην αἵρεσιν διαδεξάμενος καὶ ἀναδεξάμενός τε καὶ ἀνα-
καινίσας, ὡς μηδὲν ἧττον ὀφθῆναι τῆς ἐκείνων δυσσεβείας
καὶ παροινίας τυραννίδος τε καὶ ἐμβροντησίας ὁ πεφενα-
κισμένος καὶ ματαιόφρων. ἐπεὶ οὖν τῇ αὐτῇ συσχεθεὶς
τῶν ἀσεβῶν ἐκείνων καὶ παλαμναίων ἀπάτῃ καὶ παρα-
15 πληξίᾳ τε καὶ οἰστρηλασίᾳ τὸν ἐκ Μανιχαϊκῆς μανίας καὶ
Ἀρειανικῆς λύσσης ὁρμώμενον πάλαι διωγμὸν καὶ αὐτὸς
708 M. κατὰ τῆς ἐκκλησίας ὡσαύτως ἐπανετείνατο, συμμύστην καὶ
σύμμαχόν τε καὶ συνίστορα τῆς αἱρέσεως ἔχων ὁ δεύτερος
Νεκταναβὼ τὸν προρρηθέντα Ἰαννῆν φατριάρχην, μᾶλλον δὲ
20 μαντιάρχην καὶ δαιμονιάρχην, τὸν νέον ὄντως Ἀπολλώνιον
ἢ Βαλαὰμ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις κακῶς ἀναφανέντα
λεκανομάντιν καὶ πάσης θεοστυγοῦς πράξεως καὶ τερατείας

1 καὶ ἡ — κατερυπώθη *hic om.* A *et v.* 3 *post* παρέλαβον *ins.* — καὶ κατερυπώθη *om.* M. — κατερυπώθη (-πόθη C) ACD κατερριπώθη R κατηριπώθη V. — ἀλλὰ μὴν *om.* A μὴν *om.* D μὴν καὶ *om.* M. — 3 τὴν *ante* Σικελίαν *om.* A. — 4 δὲ *om.* A. — 7 μοχθηρίαν τε καὶ N. — 10 καὶ ἀναδεξάμενος *om.* LN Exc. de virt. — 11 μηδὲ N. — 15. 16 τὸν — ὁρμώμενον L τῶν — ὁρμώμενον A τῶν — ὁρμωμένων rell. Exc. (*in quibus* ὁρμωμένων *m. 1 ex* ὁρμώμενος *corr.*). — 17 ἐπανετείνετο V Exc. — 18 σύμμαχόν τε καὶ CN συμμαχοῦντα καὶ A σύμμαχον καὶ LV Exc. — τῆς αἱρέσεως ἔχων ADL Exc. ἔχων τῆς αἱρέσεως rell. — 19 νεκταναβῶ A νεκταναβώι Exc. νεκτεναβὼ RV νεκτενναβὼ L κεκταβὼ (-ῶ CM) CN. — προρηθέντα ALM. — ἰαννὴν CLN ἰωάννην V Exc. ἰωάννην μᾶλλον δὲ ἰαννὴν R. — 20 μαντιάρχην A Exc. μαντριάρχην LN ματριάρχην CV μανδριάρχην R. — 22 λεκανομάντιν Exc. λεκανομάντην codd.

δεινὸν ὑποφήτην, ὑφ' οὗ καὶ τὰ γράμματα παιδευθεὶς καὶ ὑπονοθευθεὶς ὁ εὐρίπιστος καὶ δείλαιος ὑπηρέτης δόκιμος ἐχθίστων πραγμάτων καὶ τοῦ διαβόλου ἐπιτήδειον ὄργανον γέγονεν. οὓς ἂν ἐνδίκως ὁ θεῖος λόγος ἐπαράσεται σχετλιαστικῶς φάσκων· οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύ- 5 *θησαν καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. οὗτοί εἰσι γογγυσταὶ καὶ μεμψίμοιροι κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι ἐν ταῖς ἀπάταις αὐτῶν.*

Ἐφαρμόσειε δ' ἂν αὐτῷ μάλα εἰκότως καὶ τὰ κατὰ τοῦ 10 *ὁμοτρόπου αὐτοῦ Ἰουλιανοῦ παρὰ τῇ θεολόγῳ στηλιτευόμενα γλώσσῃ· σφόδρα γὰρ ἐμφερὴς ἀναπέφηνε καὶ εἰς μηδὲν ἀπεοικὼς τῆς ἐκείνου κακουργίας καὶ δυστροπίας. ἔφη γοῦν· πῶς μὴ δακρύσω τὸν ἄθλιον; πῶς μὴ πλέον μὲν τῶν δεδιωγμένων τοὺς προσδραμόντας, πλέον δὲ τῶν αὐτομολη-* 15 *σάντων εἰς τὴν κακίαν θρηνήσω τὸν συναρπάσαντα; μᾶλλον* 709 M. *δὲ τοῖς μὲν οὐδὲν δεινὸν τὸ ὑπὲρ Χριστοῦ παθεῖν, ἀλλὰ καὶ πάντων μακαριστότατον οὐκ ἐκεῖθεν μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐντεῦθεν εὐδοξίαν καὶ παρρησίαν, ἣν διὰ τῶν κινδύνων ἑαυτοῖς ἐχαρίσαντο, τοῖς δὲ προοίμιον τῶν ἀπειλου-* 20 *μένων, ἅπερ ἤδη πεπόνθασιν. καὶ βέλτιον ἦν αὐτοῖς, εἰ ἐνταῦθα μακρότερον ἐκολάσθησαν, ἢ τοῖς ἐκεῖ δικαιωτηρίοις ἐταμιεύθησαν. καὶ γὰρ ὥσπερ τὸν χαμαιλέοντα λόγος παντοῖον γίνεσθαι ῥᾳδίως καὶ πάσας μεταβάλλειν χροιὰς πλὴν μιᾶς τῆς λευκότητος, οὕτω κἀκεῖνος πάντα ἦν καὶ ἐγίνετο* 25 *χριστιανοῖς πλὴν ἡμερότητος, καὶ ἦν λίαν ἀπάνθρωπον αὐτῷ*

---

5 Ep. Judae *v.* 11. — 7 *ib. v.* 16. — 14—23 Greg. Naz. Or. 4, ctr. Julianum 1, *cp.* 51 Migne Tom. 35, 576 A. — 23—*p.* 800, 2 *ib. cp.* 62 Migne 565 A.

7 *καὶ om.* CLN Jud. — 10 *τὰ om.* CM *κατὰ om.* R. — 12 *ἐναπέφηνε* RV. — 15 *προσδραμόντας* A Greg. *προδραμόντας* rell. — 17 *μὲν μηδὲν* R *μηδὲν μὲν* V. — 19 *διὰ τὸν κίνδυνον* N. — 20 *ἑαυτοὺς* CR. — 23 *παντοίων* codd. *praeter* D. — 25 *ἐγένετο* CNR.

τὸ φιλάνθρωπον καὶ τὸ πιθανὸν βίαιον, καὶ ἀπολογία τῆς ἀγριότητος ἡ χρηστότης. ὅθεν λεκτέον πρὸς αὐτόν· εὐηθέστατε καὶ ἀπαιδευτότατε τὰ μεγάλα, σὺ κατὰ τοσούτου κλήρου καὶ τῆς οἰκουμένης ἀντέστης; σὺ κατὰ τῆς Χριστοῦ θυσίας
5 τοῖς σοῖς μιάσμασιν; σὺ κατὰ τοῦ τὸν κόσμον καθήραντος αἵματος τοῖς σοῖς μιαροῖς αἵμασιν; σὺ μετὰ Ἡρώδην διώκτης καὶ μετὰ Ἰούδαν προδότης, πλὴν ὅσον οὐκ ἀγχόνῃ τὴν μετάνοιαν ἔδειξας ὥσπερ ἐκεῖνος, καὶ χριστοκτόνος μετὰ Πιλάτον καὶ μετὰ Ἰουδαίους μισόθεος, ὁ τῶν ἁγίων ὑβρι-
10 στής. Ἱεροβοὰμ εἰπεῖν οἰκειότερον ἢ Ἀχαὰβ τὸν Ἰσραηλίτην τοὺς παρανομωτάτους, ἢ Φαραὼ τὸν Αἰγύπτιον, ἢ Ναβουχοδονόσωρ τὸν Ἀσσύριον, ἢ πάντα ταῦτα συνελόντες ἕνα καὶ τὸν αὐτὸν ὀνομάσωμεν, ἐπεὶ καὶ τὰς πάντων κακίας εἰς ἑαυτὸν φαίνεται συλλεξάμενος, Ἱεροβοὰμ τὴν ἀποστασίαν,
15 Ἀχαὰβ τὴν μιαιφονίαν, Φαραὼ τὴν σκληρότητα, Ναβουχοδονόσωρ τὴν ἱεροσυλίαν, πάντων ὁμοῦ τὴν ἀσέβειαν. ποῦ εἰσιν οἱ θυσίαι καὶ τελεταὶ καὶ μυστήρια; ποῦ σφάγια φα-
710 M. νερά τε καὶ ἀφανῆ; ποῦ τερατεία προγνώσεως καὶ σημεῖα ἐγγαστριμύθων; ποῦ αἱ κατὰ χριστιανῶν μαντεῖαι καὶ ἀπει-
20 λαί; οἴχεται πάντα, διέψευσται, διερρύηκεν, ὄναρ ἐφάνη τῶν ἀσεβῶν τὰ κομπάσματα. ἔπεσε Βήλ, συνετρίβη Δαγών· οὐκέτι μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν. καὶ νῦν ταῦτα μικρὰ τοῖς ἀθλίοις ἴσως. ἔσται δὲ καιρός, ἡνίκα ὄψομαι τοὺς

2—8 Greg. Naz. or. 4, *ctr.* Julianum 1, *cp.* 67; 68 Migne 588 C; 589 A. — 8—16 Greg. Naz. or. 5, *ctr.* Julian. 2, *cp.* 3 Migne 668 A. — 16—21 *ib. cp.* 25 Migne 693 C. — 21—22 *ib. cp.* 29 Migne 701 A. — 21 Jes. 46, 1; 32, 5. — 22—*p.* 801, 3 Gregor. *ib. cp.* 37 Migne 713 A.

1 πειθανὸν AR. — 4 οἰκουμένης] ἐκκλησίας A. — ἀνέστης RV. — τῆς τοῦ χριστοῦ V *et* recc. quidam. — 5 καθάραντος V καθαίροντος R. — 9 μετὰ ἰουδαίων N. — 12 ἀσύριον AC. — 13 ὀνομάσομεν V. — 13 ἐπεὶ — 15 σκληρότητα *om.* N. — 17 μυστήριον A. — σφαγία V σφαγία τε A. — 18 τερατία AD τεράστια CR. — 19 κατὰ τῶν χριστιανῶν A. — 20 διερρύη RV. — 21 ἔπεσε Βήλ] ἐπὶ βεσελεήλ CV. — καὶ συνετρίβη A. — δαγῶν AD. — 23 ἡνίκα] ἵνα καὶ N.

ἐμοὺς ὑβριστὰς καὶ τὸν μέγαν τούτων καθηγητὴν ἀποκλαιομένους τὴν ἑαυτῶν κακίαν, ὅτε πᾶσα κρίνεται καὶ βασανίζεται κακία καὶ πονηρία.

[μδ'. *Περὶ Μιχαὴλ καὶ Θεοδώρας.*]

Μετὰ δὲ Θεόφιλον ἐβασίλευσε Μιχαὴλ υἱὸς αὐτοῦ ἔτη κε'. 5 717 M. *σὺν τῇ μητρὶ αὐτοῦ Θεοδώρᾳ κατέσχεν ἔτη ιδ' καὶ μόνος αὐτοκρατόρησεν ἔτη ια' μῆνας γ'. ἐν τῇ οὖν αὐτοκρατορίᾳ* 720 M. *αὐτοῦ Ἀποδήναρ ὁ Σαρακηνῶν φύλαρχος ἐκ πολλῶν χρόνων ἑτοιμαζόμενος ἐν δυνάμει βαρείᾳ δρομόνων τετρακοσίων φοβερῶν καὶ καταπλήκτων ἤρχετο κατὰ τῆς θεοφρουρήτου Κων-* 10 *σταντινουπόλεως. ἀλλὰ τοῦτον ἡ θεία δίκη προφθάσασα διώλεσεν, πάντων τῶν πλοίων αὐτοῦ αὐτάνδρων συντριβέντων ἐν ἀκρωτηρίῳ τῶν Κιβυρραιωτῶν λεγομένῳ Χελιδόνια, διασωθέντων εἰς Συρίαν ζ' καὶ μόνον ἐξ αὐτῶν. ὅς γε τὴν* 717 M. *μὲν πατρῴαν βασιλείαν σὺν τῇ μητρὶ Θεοδώρᾳ διαδεξάμενος* 15 *τὴν θεοστυγῆ παρεισφρήσασαν τῇ ἐκκλησίᾳ καὶ δεινῶς ἐπικωμάσασαν νέαν θρησκείαν εὖ μάλα γνησίως ἀποσεισάμενος τὴν ἔκπαλαι θεοφιλῆ καὶ θεοβράβευτον ἱεράν τε καὶ ὀρθοτάτην πίστιν ἀνεκήρυξεν. εἰ γὰρ καὶ νήπιος ἐτύγχανεν, ἀλλ' ὁ ἐκ* 718 M.

19 Psalm. 8, 3.

1 *μέγα* A. — *τούτων* NR Greg. *τοῦτον* rell. — 5 *Inde abhinc codd.* LRV *a redactoribus tantum mutati sunt, ut ad textum genuinum constituendum nihil fere ex iis lucrari possimus.* — *ἔτη εἴκοσι πέντε* A *om.* rell. — 6 *μητρὶ αὐτοῦ* A *αὐτοῦ μητρὶ* rell. — 7 *ἔτη ια'* N *ἔτη ιβ'* C *ἔτη ..δεκα* A, *pergamena ante δέκα ita corrosa, ut quid scriptum fuerit pro certo affirmare nequeam, sed ἕνδεκα verisimilius.* — *καὶ μῆνας* A. — 7 *ἐν τῇ οὖν* — 14 *ἐξ αὐτῶν v.* 19 *post ἀνεκήρυξεν ins.* CN. — 8 *ἀποδινὰρ* A. — *ὁ σαρακινὸς ἐκ* A. — 10 *καὶ om.* A. — 12 *πλ. αὐτάνδρων* A *πλ. αὐτοῦ τάνδρων* M. — 13 *κιβυρραιωτῶν* L *et* D *in quo ω ex ο corr. m. 2 κυβεριωτῶν* A *κηυβρεωτῶν* C *κλυβυριοτῶν* M *κυβερνιτῶν* R. — *λεγομένῳ* L *λεγομένων* C *λεγόμενον* AN *τὸ λεγόμενον* R. — *χελιδονία* recc. quidam *χεληδονία* A *χελιδόνιον* M. — 14 *μόνων* CR. — *ἐξ αὐτῶν om.* A. — *τὴν μὲν* ADL *μὲν om.* CMR. — 16 *τὴν δὲ θεοστυγῆ* CD. — *ἐπικωμάσασαν* CD *ἐπικωμήσασαν ut vid.* M *ἐπικωμάσαν* A *ἐπικομῶσαν* R.

στόματος νηπίων καὶ θηλαζόντων καταρτίσας αἶνον αὐτὸς καὶ τοῦτον παρεσκεύασε τὴν ἀλήθειαν τοῦ θείου δόγματος ἀνυμνῆσαι καὶ φανερῶσαι πρὸς δόξαν τοῦ δι' ἄκραν εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν σαρκωθέντος θεοῦ λόγου καὶ 5 *τοῖς ἀνθρώποις ἐπὶ γῆς ὀφθέντος καὶ συναναστραφέντος κατὰ τὴν ἱερὰν χρησμολογίαν. σύνοδον γὰρ ὁσίων πατέρων καὶ θεηγόρων ἐν Κωνσταντινουπόλει συναθροίσας, ὑφ' ὧν* 719 M. *ἡ τῶν κακῶν καὶ δυσωνύμων κάκιστος αἵρεσις τῶν εἰκονομάχων ἀκριβῶς ἐλεγχθεῖσα καὶ τὰ βδελυρὰ ταύτης λη-* 10 *ρήματα διαρρήδην ἀνατραπέντα, φαιδρὸς ὁ τῆς ὀρθοδοξίας λόγος ἐξανέτειλεν ὥσπερ ἔκ τινων μυχάτων καὶ δυσδιεξοδεύτων λαβυρίνθων καὶ σκοτεινῶν βαράθρων τῆς ἐξαγίστου καὶ πεφενακισμένης αἱρέσεως. καὶ οὕτως ὁ μὲν ταύτης προλεχθεὶς ἔξαρχος καὶ διδάσκαλός τε καὶ συνίστωρ Ἰαννῆς* 15 *φατριάρχης ἐκβάλλεται καὶ ἀναθεματίζεται δικαίως καὶ θεοκρίτως πάνυ σὺν τοῖς ὁμόφροσιν αὐτοῦ διώκταις καὶ ὑβρισταῖς ὡς ἀνήκεστοι πάμπαν καὶ λυσσώδεις ἅμα καὶ τῆς ἀληθείας ἀντίθετοι λίαν, ὥσπερ δὴ καὶ οἱ τῆς μυσαρᾶς καὶ δαιμονιώδους θρησκείας τῶν Μανιχαίων, ἀφ' ὧν καὶ* 20 *τὴν μάχην καὶ μανίαν κατὰ τῆς ἐνσάρκου θείας οἰκονομίας τὴν ἀφορμὴν καὶ ἀρχὴν εἰλήφασιν, ἀντεισάγεται δὲ κοινῇ ψήφῳ καὶ θείᾳ προβολῇ τε καὶ χάριτι Μεθόδιος ὁ ἀοίδιμος καὶ τῆς ὀρθοτομίας καὶ ὀρθοδοξίας πρόμαχος, ὅς γε πᾶσαν ὡς ἔπος εἰπεῖν τοῦ τε διαβόλου τὴν ὀλέθριον* 25 *κατὰ τῶν ἱερῶν εἰκόνων μεθοδείαν καὶ τὴν βέβηλον κενοφωνίαν τῶν αἱρεσιαρχῶν καὶ φοιτητῶν τῆς ἐκείνων κακονοίας καὶ φρενοβλαβείας ἄριστα καὶ σαφέστατα προδιελέγξας καὶ ἀνατρέψας εἴ καί τις ἄλλος, καὶ διὰ τοῦτο πολλοὺς μὲν*

---

1 *καταρτήσας* A *κατηρτήσας* C *καταρτισάμενος* R. — 2 *παρεσκεύαζε* A. — 10 *φαιδρῶς* A. — 11 *ἐπανέτειλεν* M *ἀνέτειλεν* R. — *μυχαιτάτων* R. — 12 *καὶ τῆς ἐξ.* CNR. — 14—15 *διδάσκαλος καὶ συνδικαίως* (*om.* *-ίστωρ* — *ἀναθεματίζεται*) C. — 14 *ἰαννῆς* (*-ὴς* D) *φατριάρχης post ἀναθεματίζεται v.* 15 *ins.* N. — 18 *ὅπερ* A. — 20 *καὶ τὴν μανίαν* C. — *θείας om.* N. — 24 *ὥς γε* AC. — *γε καὶ πᾶσαν* A. — 25 *μεθοδίαν* codd.

προϋπέστη διωγμοὺς καὶ κινδύνους τε καὶ θλίψεις πολλὰς καὶ κακάς, ἐξ ἐπιμέτρου δὲ σφόδρα σφόδρα ὑπὸ τοῦ θεηλάτου Θεοφίλου. τίς γὰρ ἀριθμήσειε τοὺς ποικίλους καὶ ἐπαλλήλους διωγμοὺς καὶ πειρασμοὺς καὶ βόθρους ἀφεγγεῖς καὶ ζοφώδεις κατακλείσεις καὶ τῶν ἀναγκαίων στερήσεις 5 *φίλων τε καὶ ὁμοδόξων, ἃς ἀνέτλη γενναίως καὶ προθύμως,* 720 *καὶ τὰ σύμβολα τῆς κακουχίας ἧς ὑπέμεινε παρὰ τῶν ἀνοσίων ἀεὶ περιφέρων ἐναργῶς εἰς τύπον καὶ ὑπογραμμὸν ὑπομονῆς τοῖς φερεπόνοις, καὶ σιωπῶσα παραίνεσις προδήλως γενόμενος. καὶ οὕτως ὁ θεσπέσιος τὴν ἐκκλησίαν εὐδοκίᾳ* 10 *τοῦ κρείττονος καὶ συνεργείᾳ τῶν θεοφόρων πατέρων παραλαβών, ὁ μὲν οἶκος τοῦ θεοῦ, τὸ σύστημα τῶν ὀρθοδόξων, ἐπορεύετο καὶ θείᾳ ῥώμῃ σαφῶς ἐκραταιοῦτο καὶ διέπρεπεν ἔργῳ καὶ λόγῳ, ὁ δὲ τῶν αἱρετιζόντων σύλλογος καὶ Ἰουδαϊκὴ τῷ ὄντι σπεῖρα καὶ συμμορία κατῃσχύνετο κομιδῇ καὶ* 15 *ἠσθένει προφανῶς ἐπιστομιζομένη καὶ ἀνατρεπομένη καθ' ἑκάστην ἡμέραν. καὶ δὴ λοιπὸν αὐτίκα διὰ βασιλικῆς ἐπιτροπῆς καὶ συνεργείας ἀνεκλήθησάν τε καὶ ἀνέθησαν οἱ ἐν ἐξορίαις καὶ πικραῖς φυλακαῖς πατέρες, ἅμα καὶ τὸ πλῆθος τῶν μοναζόντων, καὶ μέντοι καὶ τῶν εὐσεβῶν κοσμικῶν οὐκ* 20 *ὀλίγιστοι, ὧν ὁ τάλας καὶ ἀλιτήριος τυραννικῶς τὰς ὑπάρξεις ἀφελόμενος καὶ τοὺς μὲν δυσθανατώσας, τοὺς δὲ μάστιξι πολυειδέσι καὶ πολυτρόποις καὶ δειναῖς τιμωρίαις παραδοὺς ἐξώρισε μὴ πειθομένους παντελῶς μήτε τῇ θωπείᾳ μήτε μὴν τῇ ἀπειλῇ καὶ κακοδοξίᾳ τοῦ φένακος καὶ* 25 *ἀλάστορος.*

---

1 *διωγμούς τε καὶ κινδ. καὶ* L. — *πολλάς τε καὶ* N. — 6 *γενναίως* — 10 *γενόμενος omnino fere interierunt in* A. — 10 *γενόμενος* LN *γινόμενος* C *γινομένη* R. — 11 *συνεργίᾳ* DL *et* recc. quidam. — *θεοφόρων* AR *θεοσόφων* CLN. — 15 *σπεῖρα* M *σπήρα* D *πεῖρα* A. — 16 *ἐπιστομιζόμενοι καὶ ἀνατρεπόμενοι* N. — 22 *δυσθανάτως* A. — 24 *πειθομένους* CR *πειθομένων* AN. — 26 *δυσμενοῦς ἀλάστορος* A.

Γίνονται οὖν ἀπὸ μὲν τοῦ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη ͵βσμβʹ.

Ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας φκεʹ.

Ἀπὸ δὲ τῆς πυργοποιΐας ἕως τοῦ Ἀβραὰμ υκεʹ.

5 *Ἀπὸ δὲ τοῦ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου υλʹ.*

Ἀπὸ δὲ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ Σολομωντείου ναοῦ ψνζʹ.

Ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἕως τῆς αἰχμαλωσίας 10 *τοῦ Ἰσραὴλ υκεʹ.*

Ὁμοῦ ἔτη ͵δωπʹ.

Ἀπὸ δὲ τῆς αἰχμαλωσίας ἕως Ἀλεξάνδρου τοῦ Μακεδόνος τιηʹ.

Ἀπὸ δὲ Ἀλεξάνδρου ἕως Χριστοῦ τγʹ.

15 *Ὁμοῦ ἔτη ͵εφʹ.*

Ἀπὸ δὲ τοῦ Χριστοῦ ἕως τοῦ μεγάλου Κωνσταντίνου τοῦ βασιλέως τιηʹ.

Ἀπὸ δὲ Κωνσταντίνου μέχρι τοῦ προκειμένου Μιχαὴλ υἱοῦ Θεοφίλου φνεʹ.

20 *Ὁμοῦ τὰ πάντα ἔτη ͵ϛτοεʹ.*

1—20 *cf.* Nicephori Breviarium *p.* 102 edit. meae.

4 *τετρακόσια εἴκοσι* C *χίλια πεντακόσια αʹ* (*͵αφαʹ* M) N. — *ἕως τοῦ Ἀβραὰμ τῶν διχοτομημάτων ἔτη υκεʹ. ἀπὸ δὲ τῶν διχοτομημάτων ἕως τέλους Ἀβραὰμ ἔτη οϛʹ* Niceph. — 7 *σολομωντείου* D *σολομωντίου* AC *σολομοντίου* LM. — 8 *ἔτη ψνζʹ* A *et sic deinceps ἔτη in* A *add.* — 9 *ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ* A Suid. *v. Ἀδάμ. ἀπὸ δὲ τῆς τοῦ ν. οἰκοδομῆς* N *ἀπὸ δὲ τ. οἰκ. τοῦ σολομωντίου* (*-μοντίου* L) *ναοῦ* CL. — 12 *ἀλεξάνδρου τοῦ βασιλέως* A *Ἀλεξ. Μακεδόνος τοῦ βασιλέως* Suid. — 14 *ἕως τοῦ χριστοῦ* LN *ἕως Χριστοῦ τοῦ θεοῦ ἡμῶν* Suid. — 15 *͵εφαʹ* N. — 16 *τοῦ ante Χριστοῦ om.* A. — 18 *προειρημένου* C. — 20 *͵ϛτοδʹ* N.